A. 21. In sehr mannigfaltiger Beziehung bezeichnet das substantivierte Neutrum Gegenstände des Besitzes: Besitztümer, Güter, Mittel, Macht, Angelegenheiten, Geschäfte, Interessen, Rechte ꝛc. Δοὺς τῇ τύχῃ τὸ μικρὸν ἐκλήψει μέγα. Γνω. 479. Ἀκρασία ποιεῖ τὸ χεῖρον ἀντὶ τοῦ βελτίονος αἱρεῖσθαι. Ξε. ἀπ. 4, 5, 6. — Δεῖ ἀπέχεσθαι τῶν δεσποσύνων καὶ μὴ κλέπτειν. Ξε. οἰκ. 14, 1. Οὐκ ἔξεστι τοῖς νέοις ἀπολλύναι τὰ αὑτῶν. Πλ. πολ. 555, c. Βραχεῖ μορίῳ ξυμπαραγενόμενοι μεγάλα σώσετε. Θ. 6, 92, 5. Ἀρκεῖ μοι μικρὰ καὶ μειζόνων αἰσχρῶς οὐκ ἐπιθυμῶ. Αἱ. 3, 218. — Τὸ αὑτοῦ ἕκαστος ἔπραττε καὶ οὐκ ἐπολυπραγμόνει. Πλ. πολ. 433, a. Τὸ τὰ αὑτοῦ πράττειν δικαιοσύνη ἐστίν. Πλ. πολ. 433, b. Ἕνα ἕκαστον ἓν δεῖ ἐπιτηδεύειν τῶν περὶ τὴν πόλιν. Πλ. πολ. 433, a. — Τὸ μὲν κοινὸν ξυνδεῖ, τὸ δὲ ἴδιον διασπᾷ τὰς πόλεις. Πλ. νό. 875, a. Δίκαιόν ἐστι τὸ ἴσον ἔχειν. Πλ. Γο. 488, e. Ἐν τῷ τυραννικῷ ἐστι τὸ πλεῖον οἴεσθαι χρῆναι πάντων ἔχειν. Ξε. Κυ. 1, 3, 18. — Μῶν ἓν τῶν καλλίστων ἐστὶ τὸ περὶ τοὺς θεούς; Πλ. νό. 966, b.

D. Faktisches.

A. 22. Eben so bezeichnet es Lagen und Zustände, Leiden und Genüsse ꝛc. Τὸ ἀκίνδυνον ἡ εἰρήνη παρέχει. Θ. 5, 16, 3. Ἐλπίδος ἐν τῷ

ἀπόρῳ ἡ ἰσχύς. Θ. 2, 62, 5. Τὸ παρὸν ἀεὶ βαρὺ τοῖς ὑπηκόοις. Θ. 1, 77, 3. Ἔλεγεν ἐν μὲν τῷ σφετέρῳ καλῷ, ἐν δὲ τῷ ἐκείνων ἀπρεπεῖ τὸν πόλεμον ἀναβάλλεσθαι. Θ. 5, 46, 1. — Ἐκ τῶν πόνων καὶ τὰ μαλακὰ γίγνεται. Ξε. Ἑλ. 6, 1, 15. Εἰ μὴ καθέξεις γλῶσσαν, ἔσται σοι κακά. Μέ. μο. 662. Τοῦ ἀντὶ τῶν ὠφελούντων τὰ βλάπτοντα προαιρεῖσθαι ποιοῦντος οἴει τι ἀνθρώπῳ κάκιον εἶναι; Ξε. ἀπ. 4, 5, 7.

A. 23. Ähnlich bezeichnet es ferner Verhalten und Benehmen, Verhältnisse, Leistungen und Handlungen, Begegnisse und Erscheinungen, Äußerungen und deren Stoff, Gedanken, Sätze, Lehren, Ansichten, Gründe, Mitteilungen und Worte 2c. Τὸ ἄκαιρον πανταχοῦ λυπηρόν. Ἰσ. 1, 31. Μαθὼν ἥκει ἀντὶ τοῦ βασιλικοῦ τὸ τυραννικόν. Ξε. Κυ. 1, 3, 18. Ἀστρονομία πολλῶν καὶ ὠφελίμων ἀποκωλύει. Ξε. ἀπ. 4, 7, 5. Μεγάλα ἤθελεν ἀντὶ μικρῶν εὐεργετεῖν. Ξε. Κυ. 8, 2, 12. Ξύγγνωμόν ἐστι τὸ ἀκούσιον. Θ. 3, 40, 1. Εἰ δείν' ἔδρασας, δεινὰ καὶ παθεῖν σε δεῖ. Σο. Αἴ. Λ. 11 (18). — Τοῖς μὲν πολεμάρχοις βασιλεὺς φράζει τὸ δέον, οἱ δὲ τοῖς λοχαγοῖς. Θ. 5, 66, 3. Πολλαχοῦ τὸ τάχος μᾶλλον τῆς βίας τὰ δέοντα διαπράττεται. Ξε. Ἑλλ. 6, 4, 21. Τὸ παρεληλυθὸς ἀεὶ παρὰ πᾶσιν ἀφεῖται. Δη. 18, 192. — Τὸ μέλλον ἀόρατον. Ἰσ. 1, 29. — Τῷ ἀδοκήτῳ ἐξέπληξεν. Θ. 4, 36, 2. Χαλεπώτερον φυλάξασθαι τὸ ἀφανὲς τοῦ φανεροῦ. Ξε. Ἑλ. 2, 3, 29. — Τὸ ἀληθὲς οὐδέποτε ἐλέγχεται. Πλ. Γο. 473, b. Σοφὸν τὸ σαφές, οὐ τὸ μὴ σαφές. Εὐ. Ὀρ. 397. — Περὶ σμικροῦ πολλὰ λέγει. Πλ. νό. 624, a. Ἀεὶ κράτιστόν ἐστι τἀληθῆ λέγειν. Μέ. 476 (487). Μὴ ἐν πολλοῖς ὀλίγα λέγε, ἀλλ' ἐν ὀλίγοις πολλά. Πυθ. Στ. 35, 8. Φημὶ μηδένα ἂν ἐν βραχυτέροις ἐμοῦ ταῦτα εἰπεῖν. Πλ. Γο. 449, c. — Σωκράτης διὰ τῶν μάλιστα ὁμολογουμένων ἐπορεύετο. Ξε. ἀπ. 4, 6, 15. Οὐκ ἀμελήσει τῶν διδασκομένων. Ξε. οἰκ. 7, 8. Αἱ διὰ τῶν εἰκότων τὰς ἀποδείξεις ποιούμενοι λόγοι εὖ μάλα ἐξαπατῶσιν. Πλ. Φαίδ. 92, d. Τό τοι νομισθὲν τῆς ἀληθείας κρατεῖ. Σο. Ἀλε. 107 (84), 3. — Μὴ τὰ παρ' ἐμοῦ οὕτως ἀποδέχου ὡς παίζοντος. Πλ. Γο. 500, b. [z. Xen. An. 2, 3, 4.]

A. 24. Manche Plurale so substantivierter Neutra bezeichnen überhaupt das dem Begriffe Zugehörige, das bei ihm Vorkommende oder Vorgekommene, zum Teil mit einer historisch festgestellten Beziehung. So bezeichnet τὰ τακτικά die taktischen Geschäfte und Leistungen; τὰ Τρωικά die Vorfälle des troischen Krieges. Τὴν θήραν ἡγεῖτο ἀρίστην ἄσκησιν πολεμικῶν εἶναι. Ξε. Κυ. 8, 1, 34. Μικρόν τι μέρος ἐστὶ στρατηγίας τὰ τακτικά. Ξε. Κυ. 1, 6, 14. Σφόδρα ἐν τοῖς μουσικοῖς τὰ νέα καὶ ἀνθηρὰ εὐδοκιμεῖ. Ξε. Κυ. 1, 6, 38. Ὅμηρος πολλῷ ὕστερον τῶν Τρωικῶν ἐγένετο. Θ. 1, 3, 3.

A. 25. In gleicher Weise substantiviert sind die Namen von Festen und Feierlichkeiten, wie (τὰ) Παναθήναια, Διονύσια, ἐπινίκια Siegesfeier. Ähnlich νικητήριον das für den Sieg Gehörige, der Siegespreis, εὐαγγέλια Opfer für glückliche Botschaft 2c. Τὰ ἀρχαιότερα Διονύσια τῇ δωδεκάτῃ ποιεῖται ἐν μηνὶ Ἀνθεστηριῶνι. Θ. 2, 15, 3. Νικητήρια καὶ ἀριστεῖα ἑκάστοισι δεῖ διανέμειν. Πλ. νό. 829, c.

A. 26. Τό und τά mit dem Possessiv oder einem Genitiv bezeichnen teils das dem Begriffe Zugehörige, so wie Interessen, Partei 2c., teils den Begriff selbst mit. Vgl. A. 21. Ἐμὲ νῦν νόμισον καὶ τὸ σὸν σπεύδειν. Πλ. Γο. 455, c. Ἑκόντες εἵλεσθε τὰ Ἀθηναίων. Θ. 3, 63, 3. Εἰσὶ δήπου πασῶν τῶν πόλεων αἱ μὲν τὰ ἡμέτερα, αἱ δὲ τὰ ὑμέτερα φρονοῦσαι. Ξε. Ἑλ. 6, 3, 14. Τό γ' ἐμὸν οὐδὲν ἂν προθυμίας ἀπολίποι. Πλ. πολ. 533, a. — Σὺ σώφρων, τἀμὰ δ' οὐχὶ σώφρονα. Εὐ. Ἀνδρ. 235. Ταράττει αὐτὸν τὰ τῶν Θετταλῶν· ταῦτα γὰρ ἄπιστα ἦν φύσει πᾶσιν ἀνθρώποις. Δη. 1, 21. Τὰ τῆς τύχης κρατεῖ. Σο. ΟΤ. 977.

E. Dynamisches.

A. 27. In dynamischer Beziehung bezeichnet das substantivierte Neutrum die Eigenschaft, Wesen oder Kraft, von der die bezügliche

Wirkung ausgeht. [Plat. Theait. p. 182, a. b. vgl. Gorg. 504, c. Charm. 156, e, 159, c.] Übersetzen müssen wir solche Ausdrücke oft wie die entsprechenden Substantive, besonders die auf εια und ότης. Τῷ καλῷ πάντα τὰ καλὰ γίγνεται καλά. Πλ. Φαίδ. 100, e. Τὸ μεγαλοπρεπές τε καὶ ἐλευθέριον καὶ τὸ ταπεινόν τε καὶ ἀνελεύθερον καὶ τὸ σωφρονητικόν τε καὶ φρόνιμον καὶ τὸ ὑβριστικόν τε καὶ ἀπειρόκαλον καὶ διὰ τοῦ προσώπου καὶ διὰ τῶν σχημάτων καὶ ἑστώτων καὶ κινουμένων ἀνθρώπων διαφαίνει. Ξε. ἀπ. 3, 10, 5. Τὸ εὔηθες, οὗ τὸ γενναῖον πλεῖστον μετέχει, καταγελασθὲν ἠφανίσθη. Θ. 3, 83, 1. Τὸ ἥμερον οὐχ ἡ φιλόσοφος ἂν ἔχοι φύσις; Πλ. πολ. 410, e. Τὸ ἄπραγμον οὐ σῴζεται μὴ μετὰ τοῦ δραστηρίου τεταγμένον. Θ. 2, 63, 2. — Πρὸς τὸ ἐμπειρότερον αὐτῶν τὸ τολμηρότερον ἀντιτάξασθε. Θ. 2, 87, 3. — Ξυνέβη τὸν ἐμὸν λόγον ἐν τῷ ὑμετέρῳ ἀσθενεῖ τῆς γνώμης μὴ ὀρθὸν φαίνεσθαι. Θ. 2, 61, 2. — Φύσει ἔχουσιν οἱ ἄνθρωποι τὰ μὲν φιλικά, τὰ δὲ πολεμικά. Ξε. ἀπ. 2, 6, 21.

[A. 28. Auch Participia werden, besonders von Thukydides, auf diese Weise substantiviert. Τὸ βουλόμενον καὶ ὕποπτον τῆς γνώμης οὐκ ἐδήλουν. Θ. 1, 90, 2. Ἀπαγαγὼν τὸ ὀργιζόμενον τῆς γνώμης πρὸς τὸ ἠπιώτερον καὶ ἀδεέστερον κατέστησεν. Θ. 2, 59, 2. Τὴν ὀργὴν κωλύετε εἰς τὸ μεταμελησόμενον προϊέναι. Ξε. ἀπ. 2, 6, 23. z. Th. 1, 36, 1. 90, 2. 142, 4.]

§ 44. Numerus.

1. Von den Numeris, deren Gebrauch im allgemeinen ihrer Benennung entspricht, steht der Singular mehrfach in materialer (oder kollektiver) Bedeutung.

A. 1. So bezeichnet der Singular mancher materialen Begriffe bloß den Stoff oder die Masse. Λίθοι τε καὶ πλίνθοι καὶ ξύλα καὶ κέραμος ἀτάκτως ἐρριμμένα οὐδὲν χρήσιμά ἐστιν. Ξε. ἀπ. 3, 1, 7. Λίθους καὶ πλίνθον καθῄρουν. Θ. 4, 90, 2. Ἐν ταρσοῖς καλάμου πηλὸν ἐνείλλοντες ἐςέβαλλον. Θ. 2, 76, 1. Ἄμπελον κόπτοντες τὴν περὶ τὸ ἱερὸν ἐςέβαλλον. Θ. 4, 90, 2. — Ἐν καρποῦ ξυγκομιδῇ ἦσαν. Θ. 3, 15. [Reg. z. Th. u. Singular.] — Ἔλαβε σκηνὴν ἔχουσαν ἱκανὰ καὶ σῖτα καὶ ποτὰ καὶ στρωμνὴν καὶ ἐσθῆτα. Ξε. Κυ. 4, 5, 39. — Ἱκανὸν ἔργον ἑνὶ κρέα ὀπτᾶν, ἄλλῳ ἰχθὺν ἕψειν. Ξε. Κυ. 8, 2, 6.

(A. 2. Viel seltener als im Lateinischen steht im Griechischen der Singular persönlicher Begriffe, z. B. militärischer, in kollektivem Sinne. Στρατιὰ ἄτακτος οὖσα δυςχρηστότατον, ὄνος ὁμοῦ, ὁπλίτης, σκευοφόρος, ἱππεύς. Ξε. οἰκ. 8, 4. [vgl. Th. 2, 11, 2. 6, 31, 5.] Τρία ἐστὶν ἐξ ὧν ἡ πολιτεία ξυνέστηκεν, ὁ ἄρχων, ὁ δικαστής, ὁ ἰδιώτης. Λυκ. 79.)

A. 3. Ähnlich erscheint ἀσπίς für ὁπλῖται [z. Xe. An. 1, 7, 10 u. Elmsley z. Eu. Her. 932] und ἵππος (ἡ) für ἱππεῖς. Vgl. § 24, 2, 10. Ἀριθμὸς ἐγένετο τῶν Ἑλλήνων ἀσπὶς μυρία τετρακοσία. Ξε. Ἀν. 1, 7, 10. [Ὀλίγον ἄλκιμον δόρυ κρεῖσσον στρατηγοῦ μυρίου στρατεύματος. Εὐ. Ἀρχ. 13 (245).] Ἦν ἡ γνώμη τοῦ Ἀριστέως τὴν παρὰ Περδίκκου διακοσίαν ἵππον ἐν Ὀλύνθῳ μένειν. Θ. 1, 62, 2. [Τὴν ἵππον τὴν χιλίην Her. 8, 113, 2.]

(A. 4. Von Völkernamen setzte man den Singular mit dem Artikel pluralisch [gleichsam als objektivierte Idee]. Ὁ Χαλκιδεὺς ξύμφορος ἡμῖν ἀπαράσκευος ὤν. Θ. 6, 84, 3. Τὸν Παίονα καὶ τὸν Ἰλλύριον καὶ ἁπλῶς τούτους ἅπαντας ἡγεῖσθαι χρὴ αὐτονόμους ἥδιον ἂν καὶ ἐλευθέρους ἢ δούλους εἶναι. Δη. 1, 23. vgl. z. Th. 6, 78, 1.)

A. 5. Eben so wird als Repräsentant des Volkes der Fürst bezeichnet. Ὁ Ἀρμένιος καὶ οἱ Χαλδαῖοι συνέπεμπον ἀγγέλους. Ξε. Κυ. 3, 3, 1. Die Fürstin ἡ Κίλισσα Xen. An. 1, 2, 12 ff.

[A. 6. Nicht allgemein üblich sind kollektive Singulare wie ὁ πολέμιος [z. Th. 2, 41, 2. vgl. Xe. An. 7, 3, 26], ὁ ἐχθρός [z. Th. 6, 38, 3], ὁ πέλας [z. 1, 32, 3. vgl. Her. 3, 142, 2.] Τὸν πολέμιον δεινότερον ἕξομεν μὴ

ῥᾳδίως αὐτῷ πάλιν οὔσης τῆς ἀναχωρήσεως. Θ. 4, 10, 3. Ὡς τὸν πέλας μὲν νουθετεῖν βραχὺς πόνος. Μοσχίων Στ. 114, 9 (9), 2.]

A. 7. Gleichsam distributiv steht der Singular auf mehrere Individuen bezogen und von jedem besonders zu denken. Τὸν πηλὸν ἐπὶ τοῦ νώτου ἔφερον. Θ. 4, 4, 2. Εἶχον κράνη καὶ παρὰ τὴν ζώνην μαχαίριον. Ξε. Ἀν. 4, 7, 16. Οὐδενὶ τῶν ἀσκητῶν οὕτω προσήκει τὸ σῶμα γυμνάζειν ὡς τοῖς βασιλεῦσι τὴν ψυχὴν τὴν ἑαυτῶν. Ἰσ. 2, 11. [Kr. z. Xe. An. 1, 7, 8, z. Th. 2, 70, 2. So auch τὼ χεῖρε von Mehreren 4, 4, 2. vgl. Eu. Alk. 19.]

A. 8. Auch von Substantivierungen finden sich die Singulare zuweilen pluralisch wie A. 4. So τὶς [z. Th. 2, 37, 1], τίς [z. 3, 39, 6], ἄλλος τις [z. 1, 2, 1. 4, 92, 2], οὐδείς [z. 7, 42, 5 vgl. z. Xe. An. 3, 1, 2, Cobet Nov. L. p. 319?], ὁ mit einem Particip [z. Th. 4, 92, 5. 5, 38, 1. 6, 80, 2. [Ähnlich gebraucht der Vertreter eines Staates ἐγώ ꝛc. für ἡμεῖς ꝛc. [z. Th. 1, 137, 4.]

2. Von zwei Subjekten kann sowohl der Dual als der Plural gebraucht werden. *Τὼ ἄνδρε ἐγενέσθην φύλακε.* Ξε. *Ἑλ.* 4, 4, 8. *Ἐς τὼ κοθόρνω τὼ πόδ' ἐνθεὶς ἵεμην.* *Ἀρ. Ἐκ.* 346. *Ὁ ἱπποκένταυρος δυοῖν ὀφθαλμοῖν προεωρᾶτο καὶ δυοῖν ὤτοιν ἤκουεν.* Ξε. *Κυ.* 4, 4, 21. — *Πολλά φασιν καὶ ἵππον ἀνθρώποις τοῖς ὀφθαλμοῖς προορῶντα δηλοῦν, πολλὰ δὲ καὶ τοῖς ὠσὶ προακούοντα σημαίνειν.* Ξε. eb. — *Δύο ἔχω ψυχάς.* Ξε. *Κυ.* 6, 1, 41. — *Δῆλον ὅτι δύο ἐστὸν ψυχά.* Ξε. eb. (Stephan Keck über den Dual bei d. griech. Rednern mit Berücksichtigung der attischen Inschriften. Würzb. 1882.)

A. 1. Daß der Dual Gepaartheit bezeichne, ist eine nicht haltbare Annahme. Im Gegenteil findet man ihn vorzugsweise gerade da gebraucht, wo von den zwei Einheiten jede für sich zu denken ist. Demgemäß erscheint selten ἑκάτερος beim Dual, da dessen Begriff schon in ihm selbst enthalten ist. [Εἱλκέτην ἑκατέρω τὼ γένη τὸ μὲν σιδηροῦν καὶ χαλκοῦν ἐπὶ χρηματισμόν, τὸ δ' αὖ χρυσοῦν τε καὶ ἀργυροῦν τὰς ψυχὰς ἐπὶ τὴν ἀρετήν. Πλ. πολ. 547, b. Σκοπεῖτε ἐκ τοῖν λόγοιν τοῖν ἀνδροῖν ἑκατέροιν τοῖν βασανισθέντοιν τὸ δίκαιον καὶ τὸ εἰκός. Ἀντ. 5, 49. Über das ebenfalls seltene αἱ πλευραὶ ἑκάτεραι z. Xe. An. 3, 2, 36.]

A. 2. Bei ἄμφω und ἀμφοῖν steht ein attributiv hinzugefügtes Substantiv regelmäßig im Dual [z. Th. 5, 79, 3]; von ἀμφότερος ist der Dual nicht häufig; ein attributiv hinzugefügtes Substantiv steht mit ihm in gleichem Numerus. Μίαν ἄμφω τούτω τὼ ἡμέρα λογίζονται. Ξε. Κυ. 1, 2, 11. Κατηγοροῦσιν ἀμφοῖν τοῖν πολέοιν. Ἰσ. 12, 97. — Τὸ ἡδὺ ἐν ψυχῇ γενόμενον καὶ τὸ λυπηρὸν κίνησίς τις ἀμφοτέρω ἐστόν. Πλ. πολ. 583, e. Δυνάμεις ἀμφότεραι ἐστον, δόξα τε καὶ ἐπιστήμη, ἄλλη δὲ ἑκατέρα. Πλ. πολ. 478, a. — Ἐβούλετό οἱ τὼ παῖδε ἀμφοτέρω παρεῖναι. Ξε. Ἀν. 1, 1, 1. Ἀπέθανον οἱ στρατηγοὶ ἀμφότεροι. Θ. 5, 74, 2.

A. 3. Bei δύο findet sich sowohl der Dual als der Plural; bei δυοῖν am gewöhnlichsten der Dual. [Elmsley z. Soph. Oid. K. 531 u. Eu. Med. 798, o; vgl. Fritzsche z. Ar. Frö. p. 150; dagegen Göttling z. Aristot. Pol. p. 367 f. und Lob. z. Soph. Ai. 1304.]

A. 4. Von adjektivischen Begriffen der ersten und zweiten Deklination erscheint im Dual am gewöhnlichsten auch für das Femininum die Form des Maskulinums, besonders im No. und Ak. Sogar selten ist der Artikel τά. [τὰ χόρα Soph. Ant. 769. Vgl. § 14, 9, 2.] Nur vom Particip wird die maskuline Form für die feminine gewöhnlich nicht gebraucht. [Hermann z. Vig. 51 S. 715.] Vgl. § 14, 9, 2 u. 58, 1, 3.

3. Der Plural und zum Teil der Dual finden sich im Griechischen sehr häufig auch von Substantiven, die bei uns nur im Singular üblich sind, insofern der Begriff als mehrfach oder an mehreren Objekten erscheinend vorzustellen ist.

A. 1. So steht der Plural von Substantiven, die etwas Zuständliches bezeichnen, z. B. von klimatischen Zuständen und ähnlich von Witterungsereignissen. Ἡ γεωργία ψύχη τε χειμῶνος καὶ θάλπη θέρους ἐθίζει καρτερεῖν. Ξε. οἰκ. 5, 4. Καὶ χάλαζαι καὶ πάχναι ἐνίοτε καὶ αὐχμοὶ καὶ ὄμβροι ἐξαίσιοι καὶ ἐρυσίβαι καὶ ἄλλα πολλάκις τὰ καλῶς ἐγνωσμένα καὶ πεποιημένα ἀφαιροῦνται. Ξε. οἰκ. 5, 18.

A. 2. Eben so erscheint der (Dual und) Plural von Begriffen, die menschliche Zustände bezeichnen, z. B. des Lebens, des Standes, Glückes, Geschäftes, der Ehre. Δύ' ἐστόν τινε βίω, οἷν ὁ μὲν ἥδιστος ὢν τυγχάνει, δικαιότατος δ' ἕτερος. Πλ. νό. 662, d. Οἱ ἐπιεικέστατοι μᾶλλον προσέχουσι τοῖς βίοις ἡμῶν ἢ τοῖς λόγοις. Αἰ. 2, 150. Ταῖς ἡλικίαις καὶ ταῖς ἐμπειρίαις προέχουσιν. Ἰσ. 15, 200. Ἐν ταῖς ἀκμαῖς ὄντες ὑπερεῖδον τὰς ἡδονάς. Ἰσ. 15, 289. Κόποι καὶ ὕπνοι μαθήμασι πολέμιοι. Πλ. πολ. 537, b. Τί εὐγένειαι καὶ δυσγένειαι καὶ ἰδιωτεῖαι καὶ ἀρχαὶ καὶ ἰσχύες καὶ ἀσθένειαι καὶ εὐμαθίαι καὶ δυσμαθίαι ξυγκεραννύμενα πρὸς ἄλληλα ἐργάζεται; Πλ. πολ. 618, d. Αἱ μὲν εὐτυχίαι καὶ τοῖς φαύλοις τῶν ἀνθρώπων τὰς κακίας συγκρύπτουσιν, αἱ δὲ δυσπραξίαι ταχέως καταφανεῖς ποιοῦσιν. Ἰσ. 6, 102. Συνακολουθεῖ τοῖς μὲν πλούτοις καὶ ταῖς δυναστείαις ἄνοια καὶ μετὰ ταύτης ἀκολασία, ταῖς δ' ἐνδείαις καὶ ταῖς ταπεινότησι σωφροσύνη καὶ μετριότης. Ἰσ. 7, 4. Τοὺς ὑποδεέστερον πράττοντας ἐπὶ τὰς γεωργίας καὶ τὰς ἐμπορίας ἔτρεπον εἰδότες τὰς μὲν ἀπορίας διὰ τὰς ἀργίας γιγνομένας, τὰς δὲ κακουργίας διὰ τὰς ἀπορίας. Ἰσ. 7, 44. Ἐν πότοις καὶ ἀκολασίαις καὶ ῥᾳθυμίαις καὶ παιδιαῖς τὴν ἡλικίαν διάγουσιν. Ἰσ. 15, 286. Πολὺ κρεῖττον ἐν ταῖς δόξαις αἷς ἔχομεν τελευτῆσαι τὸν βίον μᾶλλον ἢ ζῆν ἐν ταῖς ἀτιμίαις ἃς ληψόμεθα. Ἰσ. 6, 89. Τὰς ἀδοξίας καὶ τὰς αἰσχύνας φοβεῖσθαι πάτριον ὑμῖν ἐστιν. Ἰσ. 14, 39.

A. 3. Wie βίοι zuweilen durch Lebensweisen (auch Lebensbeschreibungen) zu übersetzen ist, so θάνατοι in einzelnen Stellen durch Todesfälle, Todesarten, Todesstrafen. Εἶδον νέους θανάτους. Σο. Τρ. 1276. Ὁ μετὰ γῆρας ἰὼν ἐπὶ τέλος κατὰ φύσιν ἀπονώτατος τῶν θανάτων. Πλ. Τίμ. 81, e. Εἴπερ οἷόν τ' ἦν τὸ πολλάκις ἀποθνῄσκειν, καὶ τὸν πατροφόνον δικαιότατον θανάτων πολλῶν ἦν τυγχάνειν. Πλ. νό. 869, b.

A. 4. Nicht minder gewöhnlich sind die Plurale von Begriffen, die körperliche und psychische Zustände, Gefühle oder Leidenschaften, bezeichnen. Αἱ μάχαι κρίνονται μᾶλλον ταῖς ψυχαῖς ἢ ταῖς τῶν σωμάτων ῥώμαις. Ξε. Κυ. 3, 3, 19. Τὰς τῶν σωμάτων εὐεξίας μεγάλων δώρων ἠξίωσαν. Ἰσ. 4, 1. Ὁ σώφρων βίος ἠρεμαίας μὲν λύπας, ἠρεμαίας δὲ ἡδονάς, μαλακὰς δὲ ἐπιθυμίας καὶ ἔρωτας οὐκ ἐμμανεῖς παρέχεται. Πλ. νό. 733, e. Τὰς εὐνοίας ἀληθινὰς πρὸς ἡμᾶς αὐτοὺς ἔχομεν. Ἰσ. 4, 174. Στάσεις ἡ ἀδικία καὶ μίση παρέχει. Πλ. πολ. 351, d. Παυσανίας ὑποψίας πολλὰς παρεῖχεν. Θ. 1, 132, 2. Οἱ ἀνδρεῖοι οὐκ αἰσχροὺς φόβους φοβοῦνται οὐδ' αἰσχρὰ θάρρη θαρροῦσιν. Πλ. Πρω. 360, b. Τοῖς μετρίοις ζῆλοί τε καὶ φθόνοι οὐκ ἐγγίγνονται. Πλ. νό. 679, c. Τίκτουσι καὶ νόσους δυσθυμίαι. Σο. ἀποσ. 584 (597). Οἱ ὀξεῖς πρὸς τὰς ὀργὰς ὀξύρροποί εἰσιν. Πλ. Θέ. 144, a. Οὐδεὶς τολμᾷ πατέρα τύπτειν μὴ (οὐ) μανίαις ἐχόμενος. Πλ. νό. 881, b.

A. 5. Sehr gewöhnlich ist überhaupt der Plural von (dem Begriffe nach) verbalen Substantiven, die etwas Zuständliches, Kollektives oder Abstraktes bezeichnen. Οἱ πρότερον ἀπώλλυσαν σιγάς τε τῶν νεωτέρων παρὰ πρεσβυτέροις καὶ ὑπαναστάσεις καὶ γονέων θεραπείας. Πλ. πολ. 425, a, b. Γελώτων εἴργεσθαι χρὴ τῶν ἐξαισίων. Πλ. νό. 732, c. Κρότοι ἐπαίνους ἀποδιδόασιν. Πλ. νό. 700, c. Ὃς ἡδὺ πρὸ ἀγαθοῦ διώκει ἱδρώτων ξηρῶν

ἄπειρός ἐστιν. Πλ. Φαῖ. 239, c. Νικᾷ ἔν τε παιδιαῖς καὶ ἐν σπουδαῖς. Πλ. νό. 647, d. Τούτοις ἕπονται θερμότητες, ψύξεις, βαρύτητες, κουφότητες. Πλ. νό. 897, a. Αἱ ἐπιφάνειαι καὶ λαμπρότητες ἐκ τῶν ἀγώνων γίγνεσθαι φιλοῦσιν. Ἰσ. 6, 104. Αἱ μετριότητες μᾶλλον ἐν ταῖς ἐνδείαις ἢ ταῖς ὑπερβολαῖς ἔνεισιν. Ἰσ. 2, 33. Ὁρῶ τὰς μὲν χαλεπότητας λυπηρὰς οὔσας, τὰς δὲ πραότητας εὐδοκιμούσας. Ἰσ. 5, 116. Διὰ τὰς αὑτῶν ἐπιμελείας γίγνονταί τινες βελτίους. Ἰσ. 15, 208. Ἐν εἰδόσι ποιούμενοι τοὺς λόγους ταῖς ἀληθείαις ἐχρῶντο. Ἰσ. 9, 5.

A. 6. Einige Wörter haben, im Plural gebraucht, zuweilen besondere Bedeutungen oder Beziehungen. So sagt man ξύλον und κρέας von einzelnen Stücken, von einer Masse ξύλα und κρέα. [vgl. z. Th. 4, 16, 2.] Über τυροί Kr. z. Xe. An. 2, 4, 28. Ähnlich steht von einigen Getreidearten der Plural, namentlich πυραί, κριθαί. Ἥλιοι kann zwar Sonnen bedeuten (Eur. Bakch. 918), aber auch Sonnenstrahlen, Sonnenhitze (Thuk. 7, 87, 1) und Tage (Eur. El. 654, Hel. 652). Δυσμαί (kein poet. W.) heißt Untergang: ἡλίου δυσμαί, δυσμαὶ τοῦ βίου (Πλ. νό. 770, a); νύκτες steht öfter von einer einzelnen Nacht mit Bezug auf deren Teile, regelmäßig in μέσαι νύκτες (ohne Artikel vgl. Kr. z. Xe. An. 7, 8, 12 lat. A.); πύλαι bezeichnet ein Thor, wegen der Thorflügel; für ἅλς Salz sagte man in der gew. Prosa ἅλες (Salzkörner); λογισμοί heißt Arithmetik, doch auch λογισμός. Λογισμοὶ καὶ τὰ περὶ ἀριθμοὺς ἓν μάθημα. Πλ. νό. 817, e. [Schneider z. Plat. Rep. 526, d.]

A. 7. Personennamen im Plural können auch Männer von dem Schlage des genannten bezeichnen: Männer wie —. Der Eigenname ist dann personificierter Charakterbegriff. [Kr. Stud. 2 S. 51.] Μυρίους ὄψονται ἀνθ' ἑνὸς Κλεάρχους. Ξε. Ἀν. 3, 2, 31. [Οἱ θεοὶ πρὸς τὰς Ἀλκμήνας κατέβαινον. Ἀρ. ὄρ. 558.] Ἡρακλέες καὶ Θησέες. Πλ. Θε. 169, b. (Ähnlich εἴκοσι Βαβυλῶνες Her. 3, 160.)

4. Beim Plural des Neutrums ist die Vorstellung vereinzelter Dinge oft ziemlich verwischt; man denkt dabei leicht nur eine Mannigfaltigkeit zu einer Masse geeinigt.

A. 1. Daher steht, wenn das Subjekt ein Neutrum im Plural ist, das Verbum gewöhnlich im Singular. S. § 63, 2.

(A. 2. Daher ferner gebrauchen besonders Thukydides und die Dramatiker von den Verbalien auf έος und andern Adjektiven das subjektlose Neutrum im Plural statt im Singular. (Vgl. § 43, 4, 13.) Ἐπιχειρητέα ἐδόκει εἶναι πάσῃ προθυμίᾳ. Θ. 1, 118, 2. [z. 1, 88.] Ἀδύνατα εἶναι ἐφαίνετο πολεμεῖν. Θ. 5, 14, 3. [z. 1, 1, 2. vgl. z. Her. 1, 91, 1.] Οὐ δεινὰ πάσχειν δεινὰ τοὺς εἰργασμένους. Εὐ. Ὀρ. 413.)

A. 3. Fast völlig als Singulare erscheinen so öfter manche Plurale von Pronominaladjektiven, wie ταῦτα, θάτερα. Vgl. § 51, 7, 4 u. 57, 10, 7. Οὐ ταῦτα ἀγαθῶν δημαγωγῶν ἐστι τὰ ὑμέτερα ἐν ταῖς ὑμετέραις συμφοραῖς λαμβάνειν, ἀλλὰ τὰ ἑαυτῶν ὑμῖν διδόναι. Λυ. 27, 10. Ἐφιέντων ἡμῶν δυοῖν θάτερα, ἢ πείθειν ἡμᾶς ἢ ποιεῖν, τούτων οὐδέτερα ποιεῖ. Πλ. Κρίτ. 52, a. Τὸ μηδέτερα τούτων ἔσθ' ἡμῖν ὅπως θάτερα γένοιτ' ἄν; Πλ. Φίλ. 43, e.

§ 45. Nominativ und Vokativ.

1. Nur in der Weise wie das Neutrum ein Genus sind der Nominativ und Vokativ Kasus, durch den Gegensatz zu den eigentlichen Kasus, Genitiv, Dativ und Accusativ. [Bekkers An. p. 1273.]

2. Der Nominativ bezeichnet den Begriff als unabhängig Existierendes und ist daher vorzugsweise Form des Subjekts.

A. 1. Gleichsam überschriftlich (epigraphisch) stellt er zuweilen, absolut stehend, den Begriff bloß als Gegenstand der Betrachtung hin. Σπουδαὶ

ἑταιρειῶν καὶ κῶμοι, οὐδ' ὄναρ πράττειν προςίσταται αὐτοῖς. Πλ. Θε. 173, d. vgl. Heindorf z. Plat. Krat. 403, a.]

(A. 2. Nicht selten fängt man die Rede mit dem Nominativ eines Particips an, wenn auch das Verbum, zu dem es gehört, einen andern Kasus erfordert. Διασκοπῶν τοῦτον καὶ διαλεγόμενος αὐτῷ ἔδοξέ μοι οὗτος ὁ ἀνὴρ δοκεῖν μὲν εἶναι σοφὸς εἶναι δ' οὔ. Πλ. ἀπ. 21, c. z. Xe. An. 3, 2, 12. Schneider z. Plat. Rep. 430, e.)

A. 3. Umgekehrt folgt der Nominativ auf einen andern Kasus appositiv. Vgl. § 56, 9, 4. Ἔδοξεν αὐτοῖς ἀποκτεῖναι τοὺς Μυτιληναίους, ἐπικαλοῦντες τὴν ἀπόστασιν. Θ. 3, 36, 2. Ἦν εἶχε στολὴν τὴν Μηδικὴν ἐκδύντα δοῦναί τινί φασι, δηλῶν ὅτι τοῦτον μάλιστα ἠσπάζετο. Ξε. Κυ. 1, 4, 26. z. Th. 3, 36, 2. vgl. z. Her. 1, 33.

A. 4. Epiphonematisch steht der Nominativ charakterisierend. Λῆρος. Ἀρ. Πλ. 23. Ἄνθρωπος ἱερός. Ἀρ. βά. 652.

A. 5. Die Form des No. findet sich auch vokativisch, meist mit ὦ; doch wohl nie in der att. Prosa bei einem Namen, wenn er für den Vo. eine eigene Form hat. [Über die Dichter Herm. z. Eur. Andr. p. XV. ss.] Ἐγὼ ὦ γῆ καὶ ἥλιε καὶ σύνεσις βεβοήθηκα. Αἰ. 3, 260. [Ἀλλ' ὦ φίλ' Αἴας πάντ' ἔγωγε πείσομαι. Σο. Αἴ. 529. Ὦ πόλις Ἄργους. Ἀρ. ἱππ. 813. Πλ. 601.]

A. 6. Der Nominativ mit dem Artikel bei einem (gesetzten oder zu denkenden) Imperativ [oder andern Verbum] ist Apposition zu dem in demselben liegenden σύ oder ὑμεῖς. Vgl. § 50, 8, 8. (Ἴθι σὺ ὁ πρεσβύτατος. Ξε. Κυ. 4, 5, 17.) Ὁ παῖς ἀκολούθει. Ἀρ. βά. 521. Παρατηρεῖτε τοῦτον οἱ πλησίον. Ξε. ἀπ. 3, 14, 4.

A. 7. Eben so wird ein Nominativ mit dem Artikel einem Vokativ als Apposition beigefügt. Ὦ ἄνδρες οἱ παρόντες ἡγοῦμαι ἐγὼ ὑμᾶς πολίτας εἶναι. Πλ. Πρω. 337, c. Ohne ὦ Th. 4, 10, 1. [Die Ausdrucksweise Dial. Synt. § 45, 3, 5 ist der Prosa fremd.]

A. 8. Sogar mit einem Vokativ durch καί verbunden wird ein Nominativ mit dem Artikel als Apposition zu einem gedachten σύ oder ὑμεῖς. Ὦ Κῦρε καὶ οἱ ἄλλοι Πέρσαι ἐγὼ ἄχθομαι. Ξε. Κυ. 3, 3, 20. [vgl. Xe. An. 1, 5, 16. u. z. Th. 2, 11, 1.]

3. Durch den Vokativ wird eine Person oder eine persönlich gedachte Sache als solche, der die Rede gilt, angerufen. Zum Ausrufe wird der Anruf durch das vorgesetzte ὦ. [Lobeck z. So. Ai. 1154?] *Λαβὼν ἀπόδος ἄνθρωπε καὶ λήψει πάλιν. Μέ. μο.* 317. *Εἰ θνητὸς εἶ βέλτιστε θνητὰ καὶ φρόνει. Ἀντιφάνης* 268 (289). *Γύναι γυναιξὶν κόσμον ἡ σιγὴ φέρει. Σο. Αἴ.* 293. [*Μὴ δῆτα θυμέ, μὴ σύγ' ἐργάσῃ τάδε. Εὐ. Μήδ.* 1057.] — *Ἔστιν τὸ τολμᾶν ὦ φίλ' ἀνδρὸς οὐ σοφοῦ. Μέ. μο.* 175. *Ὦ μῶρε θυμὸς δ' ἐν κακοῖς οὐ ξύμφορον. Σο. ΟΚ.* 592. *Ὦ γῆρας ὡς ἐπαχθὲς ἀνθρώποισιν εἶ. Φερεκρ.* 242 (8). vgl. § 17, 9 A.

A. 1. Aus dem aufgestellten Unterschiede ergiebt sich, daß der Vokativ ohne ὦ an seiner Stelle ist, wo man auffordert oder ermahnt, Erstaunen oder Unwillen andeutet. Παῖ λαβὲ τὸ βιβλίον καὶ λέγε. Πλ. Θε. 143, c. [Ζεῦ, Ζεῦ θεωρὸς τῶνδε πραγμάτων γενοῦ. Αἰσχ. Χο. 246 (3).] Ἀκούεις Αἰσχίνη; Δη. 18, 290. — Ἄνθρωπε ἐπαΐεις οὐδὲν περὶ γυμναστικῆς. Πλ. Γο. 518, c. Ἄνθρωπε τί ποιεῖς; Ξε. Κυ. 2, 2, 7. Ἐμβρόντητε εἶτα νῦν λέγεις; Δη. 18, 243. vgl. Herm. z. Eu. Iph. T. 716?

A. 2. Dagegen erscheint im ruhigen Gesprächstone, wie in Reden, nur um zu bezeichnen, an wen die Rede gerichtet ist, der Vokativ mit ὦ (der jedoch als Ausruf auch der Schmähung nicht fremd ist). Daher gew. ὦ δέ-

σποτα (ohne ὦ Ar. Frie. 377 nach A. 1) und ὦ ἄνδρες Ἀθηναῖοι. [Gersdorf bei Schäfer z. Dem. 1 p. 130.] Ἀγαθῆς γυναικός ἐστιν ὦ Νικοστράτη μὴ κρεῖττον εἶναι τἀνδρὸς ἀλλ' ὑπήκοον. Φιλήμ. 135 (2). Οὐκ ἐπράχθη τούτων οὐδὲν ὦ βλασφημῶν περὶ ἐμοῦ. Δη. 18, 82. Vgl. Ellendt Lex. Soph. II p. 987.

(A. 3. In pathetischer Rede wird der Ausruf mit ὦ auch auf leblose Gegenstände übertragen. [Beispiel 2 A. 5.])

A. 4. Ein adjektivischer oder mit einem Adjektiv verbundener Vokativ zu σύ gefügt pflegt diesem voranzugehen. Ὁ χρυσὸς ὦ σοφὲ σὺ καλὰ ποιεῖ φαίνεσθαι. Πλ. Ἱππ. 290, d. Ὦ μέγα ἀγαθὸν σὺ τοῖς φίλοις Κῦρε ὡς πολλήν με τοῖς θεοῖς ποιεῖς χάριν ὀφείλειν. Ξε. Κυ. 5, 3, 20.

A. 5. Ein Adjektiv kann auch bei dem Vokativ mit ὦ [das doch wohl mit Unrecht von manchen als Artikel betrachtet wird, vgl. Fischer z. Weller I p. 317 u. Bekker An. p. 565] dem Substantiv sowohl vorangehen als folgen, letzteres bei geringerer Betonung, so wie, wenn beide gleichsam Ein Wort bilden: ὦ Ζεῦ πατρῷε. [Herm. Vig. 260, d.] Οὑτωσὶ ὦ παῖ καλὲ ἐννόησον. Πλ. Φαῖδρ. 244, a. Ὦ κάκιστε ἀνθρώπων Ἀριαῖε καὶ οἱ ἄλλοι οὐκ αἰσχύνεσθε; Ξε. Ἀν. 2, 5, 39. Vgl. 2, 6—8. Auch zwei substantivische Begriffe können mit ὦ im Vo. verbunden werden, wie ὦ Κῦρε βασιλεῦ Xen. Ky. 8, 2, 17 und ὦ Λακεδαιμόνιε Τιμόκρατες Hell. 7, 1, 13. Ferner: ὦ ἐκ τοῦ ἄστεος ἄνδρες Xen. Hell. 2, 4, 40. vgl. Aisch. 3, 152.

[A. 6. Ὦ vor beiden Begriffen ist dichterisch. Herm. z. Ar. Wolken 411.]

A. 7. Der Vokativ mit und ohne ὦ wird nachdrucksvoller vorangestellt als eingeschoben.

A. 8. Bei den Vokativen Kommata zu setzen scheint nicht angemessen, da öfter Enklitiken folgen, wie μοί Il. Τ, 287, Eur. Or. 124 vgl. Schäfer, Iph. A. 615 vgl. 1446, σοί Aisch. Prom. 3, Iph. T. 336 vgl. Her. 1, 39, τὶς Plat. Ges. 683, b, wie πού Men. 284 (291), [Dem.] 13, 12, u. öfter bei Spätern; eben so postpositive Partikeln, αὖ Plat. Phil. 51, b, τοίνυν Ges. 772, e. Doch setzen wir freilich die Kommata auch in andern Fällen, wo die Griechen ohne Pausen sprachen. Über diesen Fall waren die alten Grammatiker selbst uneinig. Spitzner zu Il. T. 287. Vgl. Bekker Homer. Bl. 1 S. 268 ff. 270. 294, K. E. A. Schmidt Beiträge 554, 562 f. u. Lobeck, Pathol. gr. s. elem. II p. 326 f.

§ 46. Accusativ.

(F. A. Trendelenburg in Act. soc. gr. Lps. I p. 119 s.)

I. Der Accusativ unabhängig.

1. Die eigentlichen Kasus sind ursprünglich von räumlichen Beziehungen ausgegangen, haben sich aber sehr früh nach allgemeinen Grundanschauungen sehr ausgedehnte Sphären gebildet.

[A. 1. In der Poesie, welche die antike Sprache am meisten erhielt, bezeichnet bei Ortsangaben, besonders Namen von Städten und Demen, der bloße Ac. die Richtung: wohin? Τὰ κακῶς οἴκους ἐξελθόντ' οὐκ ἔχει σωτηρίαν. Eu. Er. 364, 12. [Aber Isai. 8, 24: οὐ μὴ εἰσίῃς τὴν οἰκίαν vermuten Dobree und Bekker εἴσει εἰς. vgl. z. Th. 8, 38, 1.] Der Ge. bezeichnet das Befinden an einem Orte: wo? Ἄργεος ἦν Ἀχαιικοῦ. Ὀμ. γ 251. (vgl. Dial. § 46, 1, 1.) Den Begriff des Woher erhält der Ge. erst durch die Verbindung mit einem Verbum der Bewegung.

A. 2. Die Prosa hat sich der lokalen Bezeichnungen durch die bloßen Kasus fast durchgängig entäußert, am allgemeinsten rücksichtlich des Ge. und Ac. Das Woher wird bei örtlichen Begriffen meist durch ἐξ und ἀπό mit dem Ge., bei persönlichen durch ἀπό, παρά mit dem Genitiv ausgedrückt; das Wohin bei örtlichen Begriffen meist durch εἰς, πρός und ἐπί mit dem Ac.,

ἐπί auch mit dem Ge. (vgl. § 68, 40, 3), bei persönlichen durch ἐπί, πρός, παρά und ὡς mit dem Ac.

A. 3. Auch das Wo wird in der Prosa am gewöhnlichsten durch eine Präposition ausgedrückt, vorzugsweise durch ἐν. Vgl. § 48, 1, 1. Allgemein üblich jedoch ist der bloße Da. bei Namen attischer Demen: Μελίτῃ, Μαραθῶνι rc., neben ἐν Μ., doch nur ἐν Ἀθήναις, wohl aber Ἀθήνησιν nach § 41, 12, 20. Κατηγορίαι κατ' Ἀθηνῶν γεγόνασι ἐκ τῆς Μαραθῶνι μάχης καὶ τῆς (ἐν) Σαλαμῖνι ναυμαχίας. Ἰσ. 5, 147. [z. Th. 1, 73, 3. Cobet Var. L. p. 201 u. Nov. L. p. 95 s.]

[A. 4. Ausnahmsweise finden sich eben so einige Dative nicht attischer Orte mit einer adverbialen Endung verbunden. (Ἠισχύνετο τὰ τρόπαια, τά τε Μαραθῶνι καὶ Σαλαμῖνι καὶ Πλαταιαῖς. Plat. Menex. 245, a.) Ἐνίκησεν Ἰσθμοῖ καὶ Νεμέᾳ. Lys. 19, 63 vgl. Plat. Lys. 205, c. Κινήσουσι τῶν Ὀλυμπίασιν ἢ Δελφοῖς χρημάτων. Thuk. 2, 143, 1. Allein eb. 5, 18, 10 ist Ἰσθμοῖ für Ἰσθμῷ zu lesen, vgl. Ar. Lys. 1131, Xen. Hipp. 3, 1.]

A. 5. Über die lokalen Suffixa § 41, 12 A. 12 ff.

2. Der Accusativ scheint ursprünglich ein Erstrecken im Raume und demnächst auch in der Zeit bezeichnet zu haben.

3. Daher steht er, unabhängig gesetzt, als Maßangabe, sowohl räumlich von der Länge als zeitlich von der Dauer. [Auch dieser Ac. kann beim Passiv No. werden.] *Ἀπέχει ἡ Πλάταια τῶν Θηβῶν σταδίους ἑβδομήκοντα. Θ. 2, 5, 1. Μέγαρα ἀπέχει Συρακουσῶν οὔτε πλοῦν πολὺν οὔτε ὁδόν. Θ. 6, 49, 3. Ὀλίγοι στόλοι μεγάλοι πολὺ ἀπὸ τῆς ἑαυτῶν ἀπάραντες κατώρθωσαν. Θ. 6, 33, 5. — Αἱ σπονδαὶ ἐνιαυτὸν ἔσονται. Θ. 4, 118, 7. Ψευδόμενος οὐδεὶς λανθάνει πολὺν χρόνον. Μέ. μο. 547. Ὦ πότνι' Εἰρήνη παράμεινον τὸν βίον ἡμῖν. Ἀρ. Εἰρ. 1108. Ἡμέρᾳ ἀρξάμενοι τρίτῃ ταύτην τε εἰργάζοντο καὶ τὴν τετάρτην καὶ τῆς πέμπτης μέχρι ἀρίστου. Θ. 4, 90, 3. [Τρεῖς μῆνες ἐτετριάρχηντό μοι. Δη. 50, 23.]* Über diesen Ac. bei *σπένδεσθαι* z. Th. 6, 7, 2.

A. 1. Mit Ordinalzahlen bezeichnet der temporale Ac. nicht nur die Dauer, sondern auch den Tag, (Monat oder das Jahr) der (oder das) von dem laufenden, diesen (oder dieses) mitgezählt, der (oder das) so vielte war als die Zahl angiebt, also: x — 1: τρίτην ἡμέραν vorgestern. In beiden Fällen wird häufig οὑτοσί (ἤδη) unser jetzt hinzugefügt: jetzt seit, jetzt vor. Πρωταγόρας τρίτην ἤδη ἡμέραν ἐπιδεδήμηκεν. Πλ. Πρω. 309, e. Συνεχῶς ἔτος ἤδη τρίτον τουτὶ στρατηγεῖ. Αἰ. 2, 149. — Καὶ χθὲς καὶ τρίτην ἡμέραν τὸ αὐτὸ τοῦτο ἔπραττον. Ξε. Κυ. 6, 3, 11. Ἀπηγγέλθη Φίλιππος ὑμῖν τρίτον ἢ τέταρτον ἔτος τουτὶ Ἡραῖον τεῖχος πολιορκῶν. Δη. 3, 4. Ἐξήλθομεν ἔτος τουτὶ τρίτον εἰς Πάνακτον. Δη. 54, 3.

A. 2. In ähnlicher Weise stehen absolut viele Accusative von Substantiven oder substantivierten Adjektiven, die eine Zeit oder eine numerische Folge ausdrücken, wie τὸ λοιπόν fernerhin und übrigens (dagegen τοῦ λοιποῦ künftig, im Bereich der Zukunft, nicht wie jenes von ununterbrochener Folge vgl. § 47, 2, 3 u. Hermann z. Vig. 26), πολλά [Heindorf z. Plat. Phaid. 61, c] und πυκνά [Lex. Plat. u. d. W.] häufig, τὰ πολλά mehrenteils [Heind. z. Pl. Soph. 218, b], (τὴν) ἀρχήν (regelmäßig mit einer Negation) von vorn herein, überhaupt [Hermann z. So. Ant. 92 u. Vig. 67 u. Lennep z. Phal. p. 82], τὴν πρώτην anfangs [vgl. § 43, 3, 9], (τὸ) τέλος [z. Th. 5, 50, 4], (τὸ) πέρας, τὸ τελευταῖον und τὰ τελευταῖα zuletzt, endlich [Lobeck z. So. Ai. 301], πρῶτον zuerst, erstens, primum, τὸ πρῶτον zum ersten Male oder anfangs, primo,

πρότερον früher, τὸ πρότερον das vorige Mal [z. Th. 1, 59], (τὸ) δεύτερον, τρίτον ꝛc. Vgl. noch § 50, 5, 13. Τὰ ἐπιτήδεια οὔτε τὸ αὐτίκα ἔτι εἶχον οὔτε τὸ λοιπὸν ἔτι ἔμελλον ἕξειν. Θ. 7, 60, 1. Τὸ λοιπὸν ὁ μὲν ἦρχεν, οἱ δ' ἐπείθοντο. Ξε. ἀν. 2, 2, 5. (Ὃν ἂν προδιδόντα λαμβάνωσι, τούτῳ οὐδεὶς ἂν σπείσαιτο τοῦ λοιποῦ. Ξε. Ἑλ. 2, 3, 29.) Ὁ Δάμων τῷ Προδίκῳ πολλὰ πλησιάζει. Πλ. Λάχ. 197, e. Οἱ Λακεδαιμόνιοι μεταστρατοπεδεύονται πυκνά. Ξε. Λακ. π. 12, 5. Κακὸν βίον οἱ τῶν πλουσίων καὶ τυράννων παῖδες τὰ πολλὰ ζῶσιν. Πλ. νό. 695, e. Λυπηρότερον ἐκ βασιλέως ἰδιώτην φανῆναι ἢ (τὴν) ἀρχὴν μὴ βασιλεῦσαι. Ξε. ἀν. 7, 7, 28. Πέπεισμαι τοῦθ' ἱκανὸν προλαβεῖν ἡμῖν εἶναι τὴν πρώτην. Δη. 3, 2. Πολλῶν λόγων γενομένων τέλος οὐδὲν ἐπράχθη. Θ. 5, 50, 4. Πρῶτον τὴν γῆν ἔτεμον ὥσπερ τὸ πρῶτον. Θ. 7, 42, 6. Ἔδοξε πρῶτον ἐς Χίον αὐτοῖς πλεῖν, τὸ τελευταῖον δὲ ἐς Ἑλλήσποντον ἀφικέσθαι. Θ. 8, 8, 2. Ἡ Σικελία πρότερον Τρινακρία ἐκαλεῖτο. Θ. 6, 2, 3. Ἡ νόσος τὸ δεύτερον ἐπέπεσε τοῖς Ἀθηναίοις, παρέμεινε δὲ τὸ μὲν ὕστερον οὐκ ἔλασσον ἐνιαυτοῦ, τὸ δὲ πρότερον καὶ δύο ἔτη. Θ. 3, 87, 1. Τάδε δεῖ ὑπάρξαι τῷ δημοτικῷ, πρῶτον μὲν ἐλεύθερον εἶναι, δεύτερον δ' ἀπὸ τῶν προγόνων εὐεργεσίαν τινὰ αὐτῷ πρὸς τὸν δῆμον ὑπάρχειν, τρίτον σώφρονα καὶ μέτριον χρὴ πεφυκέναι αὐτόν, τέταρτον εὐγνώμονα καὶ δυνατὸν εἰπεῖν, πέμπτον ἀνδρεῖον εἶναι τὴν ψυχήν. Αἰ. 3, 169.

A. 3. Verwandter Art sind eine Anzahl von Accusativen, die den Inhalt oder Gehalt bezeichnen, wie τὸ σύμπαν im ganzen, überhaupt [z. Th. 6, 37, 3], (τὸ) μέγιστον zumeist, vor allen Dingen [z. Th. 1, 142, 1. 2, 65, 1], τὸ ἐλάχιστον wenigstens, ταὐτὸ τοῦτο eben so [Stallbaum z. Plat. Symp. 178, e], τὸ ἐναντίον, τἀναντία umgekehrt, αὐτὸ τοὐναντίον gerade umgekehrt, πᾶν τοὐναντίον ganz im Gegenteil, ἀμφότερα auf beide Arten [z. Th. 1, 13, 4], οὐδέτερα auf keine von beiden Arten. Vgl. § 57, 10, 11 u. 12. Λέγεται τὸ ξύμπαν τρὶς γενήσθαι τὸ ῥεῦμα ἐκ τῆς Αἴτνης. Θ. 3, 116, 2. Τὸ ξύμπαν γνῶτε ἀναγκαῖον ὂν ὑμῖν ἀνδράσιν ἀγαθοῖς γίγνεσθαι. Θ. 7, 77, 7. Σαυτοῦ ἕνεκα τὸ μέγιστον ποίει τοὺς λόγους. Πλ. πολ. 528, a. Πρῶτον καὶ μέγιστον οἱ θεῶν ἡμᾶς ὅρκοι κωλύουσιν. Ξε. ἀν. 2, 5, 7. Ἐγὼ μὲν ἐν ἑνὶ πλοίῳ πλευσοῦμαι, ὑμεῖς δὲ τοὐλάχιστον ἐν ἑκατόν. Ξε. ἀν. 5, 7, 8. Ἐὰν θεσμοθέτην ὑβρίσῃ τις, ἄτιμος ἔσται, καὶ πάλιν γε τὸν ἄρχοντα ταὐτὸ τοῦτο, ἐὰν ἐστεφανωμένον πατάξῃ τις ἢ κακῶς εἴπῃ, ἄτιμος. Δη. 21, 32. Τὸ ἀγαθὸν διώκοντες καὶ βαδίζομεν, ὅταν βαδίζωμεν, καὶ τὸ ἐναντίον ἕσταμεν, ὅταν ἑστῶμεν τοῦ αὐτοῦ ἕνεκα, τοῦ ἀγαθοῦ. Πλ. Γοργ. 468, b. Οὐκ αὐτὸ τοὐναντίον παροικοδομεῖν εἰώθαμεν; Δη. 55, 17. Τόδε μοι εἰπέ, εἰ λέγονται Ἀθηναῖοι διὰ Περικλέους βελτίους γεγονέναι ἢ πᾶν τοὐναντίον διαφθαρῆναι ὑπ' ἐκείνου. Πλ. Γο. 515, e. Πείθωμεν ἢ χάρισιν ἢ δώροις ἢ ἀμφότερα. Πλ. Λαχ. 187, a. Ἐπιθυμοῦντα ἔστιν ἐνίοτε μὲν ὠφελίμως ἐπιθυμεῖν, ἐνίοτε δὲ βλαβερῶς, ἐνίοτε δὲ μηδέτερα. Πλ. Λυσ. 221, b.

A. 4. Gleichartige Accusative sind τί was, warum? ὅ τι weshalb? τοῦτο und ταῦτα darum. Τί τοὺς ὁμολογοῦντας ἐχθροὺς ἔχοντες ἑτέρους ζητοῦμεν; Δη. 14, 11. Ἠρωτῶντο ὅ, τι ἥκοιεν. Ξε. Ἑλ. 4, 5, 9. Τοῦτ' ἐγὼ ἀφικόμην, ὅπως εὖ πράξαιμί τι. Σο. ΟΤ. 1005. Ἡμέτερα αὐτῶν ἔργα οὐδέτερος ἔχει λέγειν, ταῦτα δὴ αἰσχυνόμεθα τούσδε. Πλ. Λαχ. 179. Αὐτὰ ταῦτα νῦν ἥκομεν. Πλ. Πρωτ. 310, e. [Nicht so findet sich ὅ in der Prosa. Göttling z. Ar. Pol. p. 295.]

A. 5. Etwas verschieden sind τὸ λεγόμενον nach dem Sprichworte, πρόφασιν vorgeblich [vgl. § 48, 15, 17 u. z. Th. 3, 111, 1. 5, 53, 1], πάντα (τοῦτον τὸν) τρόπον ꝛc. auf jede, diese Weise, δίκην (τινός) nach der Weise, χάριν (τινός, dem Ge. gew. nachgestellt, wie auch δίκην vgl. jedoch Herm. z. Vig. 11) aus Gefälligkeit, wegen, προῖκα und δωρεάν umsonst ꝛc. Τὰ μεγάλα πάντα ἐπισφαλῆ καὶ τὸ λεγόμενον τὰ καλὰ τῷ ὄντι χαλεπά. Πλ. πολ. 479, d. Ἀθηναῖοι πολλῇ στρατιᾷ ὥρμηντο, πρόφασιν μὲν Ἐγεσταίων ξυμμαχίᾳ, τὸ δὲ ἀληθὲς Σικελίας ἐπιθυμίᾳ. Θ. 6, 33, 2.

Δεῖ τοὺς μήτε λόγῳ μήτε ἔργῳ ὠφελίμους ὄντας πάντα τρόπον κωλύεσθαι. Ξε. ἀπ. 1, 2, 59. Ὁμοιότατον ἄνθρωπος οἴνῳ τὴν φύσιν τρόπον τίν' ἐστίν. Ἄλεξις 49 (45), 1. Πόλιν εἶναι δεῖ δίκην κρατῆρος κεκραμένην. Πλ. νό. 773, c. Τὸ φρονεῖν αὐτὸ αὑτοῦ χάριν ἀγαπῶμεν. Πλ. πολ. 357, c. Τὸ προῖκ' ἀποθανεῖν ἐστι φανερὰ ζημία. Ἀντιφάνης 275 (267). Δωρεὰν παρὰ τοῦ δήμου ἔλαβε τὸ χωρίον. Λυ. 7, 4. vgl. § 41, 12, 11.

4. Bei **eigenschaftlichen** Begriffen bezeichnet der Accusativ das Objekt, in Bezug auf das dem Subjekt die Eigenschaft zukommt: Ac. **des Bezuges.** *Πλῆθός τι τὴν φύσιν ἐστὶν ἡ πόλις. Ἀρλ. πολ.* 2, 1, 4. *Τοιοῦτος τὴν φύσιν. Ἰσ.* 9, 24. *Ἐσόμεθ' ἀλλήλοισιν ἀμνοὶ τους τρόπους. Ἀρ. εἰρ.* 935. *Κινάδων ἦν καὶ τὸ εἶδος νεανίσκος καὶ τὴν ψυχὴν εὔρωστος. Ξε. Ἑλ.* 3, 3, 5. — *Καθαρὸν ἂν τὸν νοῦν ἔχῃς, ἅπαν τὸ σῶμα καθαρὸς εἶ. Ἐπίχ.* 24. *Τυφλὸς τά τ' ὦτα τόν τε νοῦν τά τ' ὄμματ' εἶ. Σο. ΟΤ.* 371. *Ὅστις διαβολαῖς πείθεται ταχύ, πονηρὸς αὐτός ἐστι τοὺς τρόπους. Μέ.* 567 (577). *Ποιητὴς ὁ Ἔρως ἀγαθὸς πᾶσαν ποίησιν. Πλ. συ.* 196, e. — *Βέλτιόν ἐστι σῶμά γ' ἢ ψυχὴν νοσεῖν. Μέ. μο.* 75. *Ὑγιαίνουσιν οἱ τὰ σώματα εὖ ἔχοντες. Ξε. ἀπ.* 3, 12, 4. *Τὴν ψυχὴν τυγχάνει εὖ πεφυκώς. Πλ. Χαρμ.* 154, e. vgl. *Πλ. ἀπ.* 22, e.

A. 1. Neben diesem Ac. wie dem 3 A. 5 erwähnten erscheint vielfach **der Dativ.** Der Ac. bezeichnet eig. auch hier das **Erstrecken** oder den **Bezug**; der Dativ das Wirkende: **vermöge, in Betracht.** Φύσει ἐστὶν ἄνθρωπος ζῷον πολιτικόν. Ἀρλ. πολ. 3, 4, 2. Σαυτὸν φύλαττε τοῖς τρόποις ἐλεύθερον. Μέ. μο. 485. Δεῖ παντὶ τρόπῳ διατειναμένους φεύγειν, ὅπως μὴ ἀνδράποδα ὦμεν. Ξε. ἀπ. 4, 2, 22. Ἥκουσι προφάσει μὲν ᾗ πυνθάνεσθε, διανοίᾳ δὲ ἣν πάντες ὑπονοοῦμεν. Θ. 6, 76, 1. Πολλὰ φύσει μὲν οὐκ ἔστι καλά, νόμῳ δέ. Πλ. Γο. 482, e. Λέξον ὅστις εἶ γένος. Εὐ. Βακ. 460. Ἔστι γένει μὲν ὁ Λεύκων ξένος, τῇ δὲ παρ' ὑμῖν ποιήσει πολίτης. Δη. 20, 30. Δοκεῖτε τὰ μὲν ἄλλα τοῖς κρατίστοις ὅμοιοι εἶναι, τῇ δ' ἡλικίᾳ καὶ φρονιμώτεροι. Ξε. Κυ. 3, 3, 41. Κακίᾳ καὶ ἀρετῇ τὰ ἤθη διαφέρουσι πάντες. Ἀρλ. πολ. 2, 1, 1.

A. 2. Demgemäß steht von **räumlichen** Maßangaben am gewöhnlichsten der Ac.: (τὸ) μέγεθος, μῆκος, εὖρος, βάθος, ὕψος, πλῆθος **an Größe** zc.; ebenso τὸν ἀριθμόν, während ἀριθμῷ zc. mehr **vermöge, gemäß** bedeutet. [Lob. Paralipp. p. 528 vgl. Kr. z. Arr. An. 4, 22, 8 lat. A. u. z. Her. 1, 14, 1.] Οὐδεὶς ξύνοιδεν ἐξαμαρτάνων πόσον ἁμαρτάνει τὸ μέγεθος, ὕστερον δ' ὁρᾷ. Μέ. 435 (448). Τὸν ἀριθμὸν ὀλίγοι οἱ τὴν ἀρετὴν ἔχοντες. Ἀρλ. πολ. 3, 7, 10. Παραπλήσιος τὸν ἀριθμόν. Θ. 7, 70, 1. Ἱππεῖς παραπλήσιοι τὸ πλῆθος. Ξε. Ἱππ. 7, 1. Ἔστι διττὸν τὸ ἴσον· τὸ μὲν γὰρ ἀριθμῷ, τὸ δὲ κατ' ἀξίαν ἐστί, λέγω δὲ ἀριθμῷ μὲν τὸ πλήθει ἢ μεγέθει ταὐτὸ καὶ ἴσον, κατ' ἀξίαν δὲ τὸ τῷ λόγῳ. Ἀρλ. πολ. 5, 1, 7.

A. 3. Neben ὄνομα, τοὔνομα **namens** erscheint selten ὀνόματι (Xen. An. 1, 4, 11, Hell. 1, 6, 29 u. Kr. z. Arr. An. 5, 5, 3), das auch **dem Namen nach, unter dem Namen,** Vorgeben bedeutet (Thuk. 6, 10, 1 vgl. 4, 60, 1, τῷ ὀνόματι 3, 10, 3 vgl. 6, 80, 4.) Ὀνόματι μεμπτὸν τὸ νόθον, ἡ φύσις δ' ἴση. Εὐ. Ἀντιγ. 9 (168).

A. 4. Als solche Accusative erscheinen ferner τί, τὶ, οὐδέν, μηδέν und auch andre substantivierte Neutra. Τί τῶν ἁπάντων σὺ χρήσιμος εἶ; Δη. 18, 311. Ὁ μηδὲν ὢν αὐτὸς χρήσιμος οὐδ' ἂν ἄλλον φρόνιμον ποιήσειεν. Ἰσ. 2, 52. Ἡ πόλις ἡμῶν οὐδὲν ὁμοία γέγονεν ἐκείνοις. Ἰσ. 12, 93. Χρὴ ἀγαθὸν τοῦτο γενέσθαι ὃ ἂν καὶ δοκεῖν (ἀγαθὸς) βούλῃ. Ξε. ἀπ. 1, 7, 1. Κἂν φαῦλος ᾖ τἄλλ', εἰς ἔρωτα πᾶς ἀνὴρ σοφώτερος. Εὐ. Ἀντιγ. 6 (162).

Πάντα σοφὸν οὐχ οἷόν τε ἄνθρωπον εἶναι. Ξε. ἀπ. 4, 6, 7. Ἂν εὖ φρονῇς, τὰ πάντα γ' εὐδαίμων ἔσῃ. Μέ. μο. 649.

[A. 5. Verschieden (von R. 4) ist der Fall, wo mit einem Nomen nach der Analogie des zugehörigen Verbums ein transitiver Ac. verbunden wird, wie regelmäßig mit ἔξαρνος (mit dem Ge. Isokr. 21, 3). Ἔστι τις Σωκράτης τὰ μετέωρα φροντιστής. Πλ. ἀπ. 18, b. Ἐπιστήμονες ἦσαν τὰ προςήκοντα. Ξε. Κυ. 3, 3, 9. Ἔξαρνοί εἰσι τὰ ὡμολογημένα. Ἰσαῖ. 5, 26. τὴν μαρτυρίαν 3, 21. Vgl. § 47, 26, 3.]

(A. 6. Mit Adjektiven kann ein stamm- oder sinnverwandter Ac., durch ein Adjektiv näher bestimmt, verbunden werden. Ὁρῶμεν τοὺς πολλοὺς κακοὺς πᾶσαν κακίαν. Πλ. πολ. 490, d. Οἱ θεοὶ ἀγαθοί εἰσι πᾶσαν ἀρετήν. Πλ. νό. 900, d. Vgl. Πλ. Μέν. 93, e; ἀπολ. 22, e. Ἀτίμους ἐποίησαν ἀτιμίαν τοιάνδε. Θ. 5, 34, 2. [Ὁ τῷ ὄντι τύραννος τῷ ὄντι δοῦλος τὰς μεγίστας θωπείας καὶ δουλείας. Πλ. πολ. 579, d. Θηριώδη δειλίαν δειλός Aristot. Ἠθ. Εὐδ. 6, 5 u. Ἠθ. Νικ. 7, 5, 6. vgl. z. Th. 5, 9, 7 u. Lobeck z. So. Ai. 1035.]

A. 7. Öfter geschieht ebendies bei Verben nach folgendem allgemeinern Sprachgesetze.

II. Accusativ des Inhaltes.

5. Häufiger als in andern Sprachen wird im Griechischen mit Verben aller Art ein stamm- oder sinnverwandter Ac. verbunden sowohl, wo er als transitives Objekt dasteht, als wo er den Gegenstand bezeichnet, über den als ihren **Inhalt** die Handlung sich erstreckt: **Ac. des Inhaltes.** [Lobeck Paralipp. p. 501 ss.]. *Δεῖ τὸν στρατιώτην φοβεῖσθαι τὸν ἄρχοντα, εἰ μέλλει φυλακὰς φυλάξειν. Ξε. ἀν.* 2, 6, 10. *Ἀθήνησιν ὁ δῆμός ἐστιν ὁ ἄρχων τὰς ἀρχάς. Ξε. πολ. Ἀθ.* 3, 13. — *Πεσεῖσθ' ἀτίμως πτώματ' οὐκ ἀνασχετά. Αἰσχ. Προ.* 919 (923). vgl. *Πλ. Λαχ.* 181, b. *Οἱ ἐρῶντες ἐθέλουσι δουλείας δουλεύειν οἵας οὐδ' ἂν δοῦλος οὐδείς. Πλ. συ.* 183, a. *Ἀτύχημα οὐδὲν ἔλαττον ἠτύχησαν ἢ τὸ ἐξ ἀρχῆς πονηροῖς ἀνθρώποις συμμῖξαι. Δη.* 32, 11. — *Ζήσεις βίον κράτιστον, ἢν θυμοῦ κρατῇς. Μέ. μο.* 186. *Θεοῦ βίον ζῆν ἀξιοῖς ἄνθρωπος ὤν; Εὐ. ἀποσπ. ἀδ.* 45 (1060). *Ποῖος ἂν εἴη θάνατος καλλίων ἢ ὃν ἂν κάλλιστά τις ἀποθάνοι; Ξε. ἀπ.* 4, 8, 3. — *Ἰατροὶ δεινότατοι ἂν γένοιντο, εἰ αὐτοὶ πάσας νόσους κάμοιεν. Πλ. πολ.* 408, d. *Ἐκδήμους στρατείας πολὺ ἀπὸ τῆν ἑαυτῶν οὐκ ἐξῄεσαν οἱ Ἕλληνες. Θ.* 1, 15, 2. Lobeck z. So. Ai. 290. [*Τὸν ἱερὸν πόλεμον ἐστράτευσαν. Θ.* 1, 112, 3. *Ἡ Κέρκυρα αὐτάρκη θέσιν ἔκειτο. Θ.* 1, 37, 2. *Τὸν τῇ πόλει δεῖ συμφέροντα γάμον μνηστεύειν ἕκαστον. Πλ. νό.* 773, b.] Über solche Accusative bei Passiven § 52, 4, 7 f. (W. Schneidawind, über den Acc. d. Inhaltes. Pirmasens 1886.)

A. 1. Es wäre eine Tautologie, wenn der Ac. bloß denselben Begriff wie das Verbum und nicht mehr enthielte. Unstatthaft wäre mithin schlechtweg βασιλείαν βασιλεύειν, πόλεμον πολεμεῖν für das bloße βασιλεύειν und πολεμεῖν oder πόλεμον ποιεῖσθαι. Unanstößig aber ist ein solcher Ausdruck, wenn eine nähere Bestimmung dem Ac. beigefügt wird: ἡ πόλις κοινὸν πόλεμον πολεμεῖ (Ξε. Ἱέρ. 2, 8), oder der Ac. dem allgemeinern Begriffe des Verbums eine bestimmte Sphäre zuweist. [Lobeck Paralipp. p. 503 ss.] Οἱ Κοτυωρῖται φόρον τοῖς Σινωπεῦσιν ἔφερον. Ξε. ἀν. 5, 6, 7. Τοῖς Πανα-

θηναίοις ἐν ὅπλοις τῶν πολιτῶν οἱ τὴν πομπὴν πέμψοντες ἀθρόοι ἐγένοντο. Θ. 6, 56, 2. Χρήματα βούλεται λαβεῖν ἢ ἀρχὴν ἄρξαι. Πλ. συ. 183, a. Ἀπείρηκα ἤδη φυλακὰς φυλάττων. Ξε. ἀν. 5, 1, 2.

A. 2. In manchen Fällen gilt als nähere Bestimmung des Ac. der Artikel. Οὐκ ἀνὴρ πένης μὴ οὐ τέχνην μαθὼν δύναιτ' ἂν ἀσφαλῶς ζῆν τὸν βίον. Φιλή. 83 (213), 4. So τὸν πόλεμον πολεμεῖν Thuk. 8, 58, 5, vgl. 1, 1, 1, d. h. den vorliegenden Krieg; τοὺς ἐπαίνους ἐπαινοῦσι καὶ τοὺς ψόγους ψέγουσιν Plat. Gorg. 483, d. h. die bezüglichen, eben vorkommenden; ja selbst der Plural, da z. B. πόλεμοι mehrere Kriege bedeutet, wie Xen. Hier. 2, 12, wo jedoch nach Lobeck eb. p. 510 das Relativ das Epitheton ersetzen könnte, γάμους ἔγημαν Her. 4, 145, 2. So ἐτριηράρχησε τριηραρχίας Dem. 45, 85, χρή με δικάζειν δίκας Ar. Wesp. 414. Komisch steigernd ist λῆρον ληρεῖς Ar. Thesm. 880, Plut. 517, wie μανίας μαίνεσθε Thesm. 793. Doch findet sich auch τί μόχθον μοχθεῖς; Eu. And. 134, μοχθοῦσι μόχθους Andromeda 8 (132), ὕβριν, ὕβρεις ὑβρίζειν Bakch. 247, 1297, Herk. 708. 741, χάριν χαρίζου καθ' ὅσον ἰσχύεις ὅμως. Μέ. μο. 635 und ῥᾷον βίον ζῇς, ἂν γυναῖκα μὴ τρέφῃς eb. 468, wo vielleicht ῥᾴω zu lesen ist. [Vgl. Lobeck eb. p. 505 s.]

A. 3. Der Dativ erscheint vielfach in ähnlichen Verbindungen, aber qualitativ, während der Ac. rein den Inhalt bezeichnet, also ὁδόν, δρόμον die Wege- oder Bahnstrecke; ὁδῷ auf einem Wege im Gegensatze zu unwegsamem Terrain [z. Xen. An. 3, 4, 30; zu Lande z. Th. 2, 97, 2], δρόμῳ durch, im Laufe. So γάμον γαμεῖν mit Bezug auf den Gegenstand, γάμῳ γ. im Gegensatze zu einer andern Verbindung. Οὐ γὰρ τεθνᾶσιν, ἀλλὰ τὴν αὐτὴν ὁδὸν ἣν πᾶσιν ἐλθεῖν ἔστ' ἀναγκαίως ἔχον προεληλύθασιν. Ἀντιφάνης 53. Ἐπορεύετο τῇ ὁδῷ ἣν αὐτὸς ἐποιήσατο. Θ. 2, 98, 1. Ἔλαυνε τὸν σαυτοῦ δρόμον. Ἀρ. νε. 25. Ὁρῶμεν πάντα ἀεὶ ἰόντα δρόμῳ καὶ τρέχοντα. Πλ. Κράτ. 397, d. Τοὺς παρὰ τοῖς ἔμφροσιν εὐδόξους γάμους χρὴ γαμεῖν. Πλ. νό. 772, a. Γάμῳ γεγαμηκὼς τὴν ἐμὴν μητέρα ἑτέραν εἶχε γυναῖκα. Δη. 39, 26. Ἀνδρὸς οὐκ ἄξιον δειλὸν κεκλῆσθαι καὶ νοσεῖν αἰσχρὰν νόσον. Εὐ. Φρίξ. 13 (826). Μηδαμῶς ἡγοῦ ἀνηκέστῳ πονηρίᾳ νοσεῖν Ἀθηναίους. Ξε. ἀπ. 3, 5, 18. [Hermann z. So. Phi. 281 u. Lobeck Paralipp. p. 510, 523 ff.]

A. 4. Nach dieser Analogie werden häufig substantivierte Neutra im Ac. gesetzt, wo wir bald Adverbia bald Präpositionen gebrauchen. So ὑβρίζειν δεινά wie δεινὴν ὕβριν ὑβρίζειν, δεῖσθαι μέτρια wie μετρίαν δέησιν δεῖσθαι rc. Ἥλλοντο ὑψηλὰ καὶ κούφως. Ξε. ἀν. 5, 9, 5. Ἅπαντα δουλεύειν ὁ δοῦλος μανθάνει. Μέ. 359 (370). Φεῦ, φεῦ τὸ νικᾶν τἄνδιχ' [τὰ ἔνδικα] ὡς καλὸν γέρας, τὰ μὴ δίκαια δ', ὡς ἁπανταχοῦ κακόν. Εὐ. ἀποσπ. ἀδ. 13 (1021). — Οὐ πανταχοῦ τὸ φρόνιμον ἁρμόττει παρόν, καὶ συμμανῆναι δ' ἔνια δεῖ. Μέ. 410 (421). Ἡ πόλις βραχέα ἡσθεῖσα μεγάλα ζημιώσεται. Θ. 3, 40, 2. — Οὐκ ἔστιν ὅστις πάντ' ἀνὴρ εὐδαιμονεῖ. Νικόσ. 28. Ἅπαντ' ἐρίζεις καὶ ξυνίης οὐδὲ ἕν. Στ. 35, 6. — Οἶκος ἐν ᾧ τὰ πάντα πρωτεύει γυνή, οὐκ ἔστιν ὅστις πώποτ' οὐκ ἀπώλετο. Μέ. 473 (484) 3. Δεήσομαι καὶ δίκαια καὶ μέτρια ὑμῶν, βοηθῆσαί μοι τὰ δίκαια. Δη. 38, 2. Οὐκ ὠφελῶ σε τὰ ψευδῆ ἐπαινῶν. Ξε. ἀπ. 2, 6, 37. Τὰ ἐναντία στρέψαντες ἔφευγον. Ξε. ἀν. 4, 3, 32. Προσήκετε ἡμῖν τὰ μέγιστα. Θ. 6, 84, 2. — Τὰ μηδὲν ὠφελοῦντα μὴ πόνει μάτην. Αἰσχ. Προ. 44. Εὐσέβει τὰ πρὸς τοὺς θεούς. Ἰσ. 1, 13. [Nachweisungen in den Reg. z. Kr.s Ausgaben unter Accusativ.]

A. 5. Bei den Verben des Nützens und Schadens erscheint selten μάλα rc. [z. Th. 6, 92, 4], gewöhnlich μέγα, μεγάλα, πολλά rc. Κινδύνων οὗτοι σπανιώτατοι οἳ ἂν ἐλάχιστα ἐκ τοῦ σφαλῆναι βλάπτοντες πλεῖστα διὰ τὸ εὐτυχῆσαι ὠφελῶσιν. Θ. 7, 68, 3. vgl. Reg. z. Th. u. βλάπτειν u. ὠφελεῖν.

A. 6. Seltener als der Plural findet sich auf diese Weise der Singular substantivierter Adjektive, am gewöhnlichsten in gewissen feststehenden Formeln, zum Teil neben dem Plural. So μέγα und μεγάλα δύνασθαι viel vermögen, mächtig sein [Kr. z. Her. 5, 97, 1.]; μέγα (selten μεγάλα) μεῖζον,

μέγιστον φρονεῖν stolz sein [neben μεῖζον auch πλέον z. Xen. An. 6, 1, 18. vgl. Lobeck z. So. Ai. 1120]; μέγα (σμικρὸν) φθέγγεσθαι, λέγειν, βοᾶν ꝛc. laut (leise) reden, schreien; daneben μέγα und μεγάλα λέγειν groß=sprechen [Lobeck eb. 386]; πολὺ νικᾶν, κρατεῖν ꝛc. entschieden siegen [Kr. z. Her. 5, 1, 2, neben πολλῷ § 48, 15, 12], ἡδύ, κακὸν ὄζειν gut, schlecht riechen; ὀξύ, ἀμβλύ, ὀξύτερον, ὀξύτατα βλέπειν, ὁρᾶν, ἀκούειν scharf, schwach ꝛc. sehen, hören. Οὓς ἂν κακῶς τις ποιῇ φοβεῖσθαι δεῖ μή ποτε μέγα δυνασθῶσιν. Ξε. Ἑλ. 6, 5, 40. Ἢ φρονεῖν ἐλάσσονα ἢ δύνασθαί σε δεῖ μείζονα. Πλουτ. ἀποφθέγμ. Λακων. p. 232. Θάρσει, τό τοι δίκαιον ἰσχύει μέγα. Εὐ. Δικ. 2 (338). — Ὅτ' εὐτυχεῖς μάλιστα μὴ φρόνει μέγα. Μέ. μο. 432. Καλὸν φρονεῖν τὸν θνητὸν ἀνθρώποις ἴσα. Σο. ἀποσπ. 311 (320). — Μέγα φθέγγεται καὶ βακτηρίαν φορεῖ. Δη. 37, 52. Τῇ φωνῇ μέγα ἔλεγεν. Πλ. Πρω. 310, d. Ἴσχε στόμ', ὡς μὴ μέγα λέγων μεῖζον πάθῃς. Εὐ. Ἡρ. μ. 1244. Μὴ μεγάλα λίαν λέγε. Ἀρ. βα. 335. — Οὐκ ἂν λαλῇ τις μικρόν, ἐστὶ κόσμιος. Φιλή. 5, 1. — Καλόν τι δοκεῖ εἶναι τὸ πολὺ νικᾶν. Ξε. Ἱέρ. 2, 16. — Ὀξὺ ὁρᾷ καὶ ἀκούει. Πλ. νό. 661, b. Διπλοῦν ὁρῶσιν οἱ μαθόντες γράμματα. Μέ. μο. 657. Πολλὰ ὀξύτερον βλεπόντων ἀμβλύτερον ὁρῶντες πρότεροι εἶδον. Πλ. πολ. 595, e. Νέος ὢν πᾶς ἄνθρωπος τὰ τοιαῦτα ἀμβλύτατα αὐτὸς αὑτοῦ ὁρᾷ, γέρων δὲ ὀξύτατα. Πλ. νό. 715, d. — Μύρῳ ὁ ἀλειψάμενος καὶ δοῦλος καὶ ἐλεύθερος εὐθὺς ἅπας ὅμοιον ὄζει. Ξε. συ. 2, 4. Ὄζειν ἐδόκει τοῦ ἄρτου κάκιστον. Λυ. 6, 1. [Mehr poetisch ist μέγα εὐδαίμων Xen. Kyr. 5, 1. 28 u. ä. vgl. Dial. Sy. § 46, 6, 7.]

A. 7. Doch findet sich auch außer diesen und analogen Verbindungen hin und wieder der Singular, selbst mit dem Artikel [z. Th. 7, 24, 3 vgl. Xen. An. 3, 1, 38.] Πᾶς ἑκὼν Ἔρωτι πᾶν ὑπηρετεῖ. Πλ. συ. 199, c. Τὰ μηδὲν ὠφελοῦντα μὴ πόνει μάτην. Αἰσχ. Προ. 44. Σωκράτης δίκαιος ἦν οὕτως ὥστε βλάπτειν μὲν μηδὲ μικρὸν μηδένα, ὠφελεῖν δὲ τὰ μέγιστα τοὺς χρωμένους ἑαυτῷ. Ξε. ἀπ. 4, 8, 11. Σμικρὸν φροντίσατε Σωκράτους, τῆς δὲ ἀληθείας πολὺ μᾶλλον. Πλ. Φαίδ. 91, c. Ἐνόμιζον τὴν ξυμμαχίαν μέγιστον ἂν σφᾶς ὠφελήσειν. Θ. 5, 82, 4. Ἐτόλμησε ψεύσασθαι πάντων δεινότατον. Δη. 27, 53. Ἐᾶσαι χρὴ τοὺς ἄνδρας τὸ μέτριον ἀποκοιμηθῆναι. Ξε. Κυ. 2, 4, 26.

A. 8. Als ähnliche Accusative zu betrachten sind auch die Neutra der Komparative und Superlative als Adverbia (beide ohne Artikel) vgl. § 23, 9; im Komparativ der Singular, da hier leichter als beim Superlativ eine zusammengefaßte Einheit denkbar ist. Τοῦ ὑπὸ σοῦ κριθέντος χαλεπώτατα ζῆν χαλεπώτερον ἔτι ζῇ ὁ τυραννῶν. Πλ. πολ. 579, d.

A. 9. In gleicher Weise (wie A. 4 ff.) werden auch Accusative substantivierter Neutra der Pronominaladjektive gebraucht, so wie ἕν und οὐδέν, wo wir meist ein Adverbium oder eine Präposition gebrauchen: οὐδὲν φροντίζω kümmere mich gar nicht (vgl. § 47, 11, 4), χαίρω τι freue mich über etwas, χρῶμαί τι gebrauche irgend wie oder wozu, wie auch der Grieche χρῆσθαι πρός, ἐπί, εἴς τι sagt. Τί ἥσθην ἄξιον χαιρηδόνος; Ἀρ. Ἀχ. 4. Τί χρήσαιτ' ἄν τις ἰσχυρῷ ἢ ἀνδρείῳ μὴ σώφρονι; Ξε. Κυ. 3, 1, 16. Τῇ σκέψει τόδε χρησώμεθα. Πλ. Φιλ. 36, c. Τοῦτο μή ἀνάγκαζέ με. Πλ. πολ. 473, a. Ἡμῶν οὐδὲν κήδεσθαι οὐδέ τι φροντίζειν ἔοικας. Πλ. πολ. 344, e. Ἓν τουτὶ ἀμφισβητοῦμεν. Πλ. Γο. 472, d. — Οἱ ὀλωλότες οὐδὲν νοσοῦσιν οὐδὲ κέκτηνται κακά. Εὐ. Φρίξ. 14 (830), 3. Δεῖ ταὐτὰ λυπεῖσθαι καὶ ταὐτὰ χαίρειν τοῖς πολλοῖς. Δη. 18, 292. Τάδ' ἄχθονται βροτοί, εἰς γῆν φέροντες γῆν. Εὐ. Ὑψ. 6 (757), 4. Ἐπείσθητε ἃ δεόμεθα. Θ. 1, 35, 2. Ἰάσων ἱκανὸς ἦν καὶ νυκτὶ ἅπερ ἡμέρᾳ χρῆσθαι. Ξε. Ἑλ. 6, 1, 15. Λιμῷ ὅσαπερ ὄψῳ διαχρῆσθε. Ξε. Κυ. 1, 5, 12. Vgl. z. Th. 1, 3, 4 u. Reg. u. Ac. Andres § 48, 15, 11. 13 u. 14. [Über das adverbiale ὁμοῖα z. Th. 1, 25, 4 u. ἴσα 3, 14.]

A. 10. Dieser Ac. ist mehrfach verwandt mit dem R. 4 erwähnten. Man vgl. χρῆσθαί τι, εὐδαιμονεῖν πάντα mit χρήσιμός τι, εὐδαίμων πάντα u. a.

A. 11. Bei πράττειν findet sich nicht bloß εὖ, κακῶς in der Bedeutung glücklich, unglücklich sein, sondern ähnlich auch der Ac. substantivierter Adjektive und Pronominaladjektive. [Kr. z. Xe. An. 6, 2, 8 lat. A.] Οὐκ εὐτυχοῦντας εὖ δοκῶ πράξειν ἀεί. Εὐ. Ἑκ. 283. Πῶς ἔχεις; τί πράσσεις; Εὐ. Ὀρ. 732. Προσδόκα δὴ δρῶν κακῶς κακόν τι πράξειν. Εὐ. Ἡρ. μ. 728. Ἔδεισαν μὴ τῶν παρόντων ἔτι χεῖρω πράξωσιν. Θ. 7, 71, 1. Δοῦλοι ἔσεσθε, ἢν τὰ ἄριστα πράξητε. Θ. 5, 9, 7. (Πράσσει ὁ κόλαξ ἄριστα πάντων. Μέ. 222 (3), 16.)

6. Für den Acc. des Inhaltes kann auch der Gegenstand, auf den der Begriff desselben sich bezieht, eintreten, z. B. wie *νικᾶν νίκην* auch *νικᾶν μάχην*, wie *θύειν θύματα* auch *θύειν Ἡράκλεια* gesagt werden. *Ὅσοι γαμοῦσιν ἢ γένει κρείσσους γάμους ἢ πολλὰ χρήματ᾽ οὐκ ἐπίστανται γαμεῖν. Εὐ. Μελαν.* 16 (504). *Σιτήσεις δίδοτε τοῖς τὴν μάχην νικήσασι. Αἰ.* 2, 80. *Κύλων Ὀλύμπια ἐνενικήκει. Θ.* 1, 126, 3. *Νενικηκότα παγκράτιον αὐτὸν ἧκεν ἄγων. Ξε. συ.* 1, 2. *Ἕτερον ψήφισμα νικᾷ Δημοσθένης. Αἰ.* 3, 68. *Οἱ ῥήτορές εἰσιν οἱ νικῶντες τὰς γνώμας. Πλ. Γο.* 456, a. — *Πρῶτος εἴςεισιν ὁ τὸ στάδιον ἁμιλλησόμενος. Πλ. νό.* 833, d. *Ἠγωνίζοντο παῖδες μὲν στάδιον, δόλιχον δὲ Κρῆτες, πάλην δὲ καὶ πυγμὴν καὶ παγκράτιον ἕτεροι. Ξε. ἀν.* 4, 8, 27. *Ἀριστοκράτης γραφὴν ἠγωνίζετο παρανόμων. Δη.* 23, 100. — *Τὰ Ἡράκλεια ἐντὸς τείχους θύειν ἐψηφίζεσθε. Δη.* 19, 86. *Ὁ πατὴρ γάμους εἱστίασεν. Ἰσαῖ.* 8, 18. *Ἠξίουν αὐτοὺς συμμαχίαν ὀμνύναι. Ξε. Ἑλ.* 7, 4, 10. — *Σχεδόν τι μώρῳ μωρίαν ὀφλισκάνω. Σο. Ἀντ.* 470. [Kr. z. Xe. An. 1, 2, 10.]

A. 1. Auch hier erscheint der Dativ in ähnlichen Verbindungen: durch, vermöge; daneben ἐν. Τυγχάνω νενικηκὼς εὐανδρίᾳ καὶ λαμπάδι καὶ τραγῳδοῖς. Ἀνδ. 4, 42. Τὸ ἐν πολέμῳ νικᾶν πολλῷ εὐδοξότερον ἢ πυγμῇ. Ξε. Ἱπ. 8, 7.

A. 2. Hieher gehören auch Ausdrücke wie προκαλεῖσθαι δίκην (Thuk. 1, 39, 1 vgl. Ar. Ritter 796 vgl. z. Th. 4, 20, 1) neben π. ἐς δίκην; διώκειν δίκην (Js. 18, 5); ἀπολογεῖσθαι δίκην (z. Th. 8, 109, 2); πρεσβεύειν εἰρήνην als Gesandter einen Frieden verhandeln (Js. 4, 177, Dem. 19, 273, Aisch. 3, 80 vgl. 2, 136); σπένδεσθαι ἀναχώρησιν durch Vertrag Abzug auswirken (Thuk. 3, 109, 2. 114, 2. 24, 3); ἡγεῖσθαι ὁδόν (Xe. An. 5, 4, 10. 6, 3, 10, Kyr. 3, 2, 28. 4, 2, 14 vgl. Ar. Frieden 1093); ἰέναι τὴν μεσόγαιαν (Her. 7, 121), ἐξῄεσαν τὴν ἀμφίαλον (Xen. Hell. 4, 2, 13), πορεύεσθαι πεδίον, ὄρη Xen. An. 4, 4, 1. 2, 5, 18); wie ähnlich τρέχειν ὄρεια, πρανῆ 2c. (Reitk. 8, 1 vgl. 6, Her. 2, 24, Lobeck z. So. Ai. 30 u. Pflugk z. Eu. Hel. 532), ja auch ἰέναι ὄρθιον, ὁμαλές (Xe. An. 4, 6, 12); und nach dieser Analogie selbst δίκην, γραφὴν εἰςιέναι, εἰςελθεῖν (Js. 18, 24. 38. 51, Dem. 18, 105. 21, 6. 28, 17. 34, 1. 37, 39.)

Raum, Zeit, Belauf, Wert): von, für. Ὀκτὼ σταδίων ἤδη ἐπετελέλεστο τεῖχος. Θ. 7, 2, 4. Ἔφεσος ἀπέχει ἀπὸ Σάρδεων τριῶν ἡμερῶν ὁδόν. Ξε. Ἑλ. 3, 2, 11. Τριήρει ἐστὶν εἰς Ἡράκλειαν ἐκ Βυζαντίου κώπαις ἡμέρας μάλα μακρᾶς πλοῦς. Ξε. ἀν. 6, 2, 2. Σῖτον οὐχ οἷόν τε ἔχειν πολλοῦ χρόνου πεζῇ ἰόντα. Ξε. πολ. Ἀ. 2, 5. Τῇ στρατιᾷ ἀπέδωκε Κῦρος μισθὸν τεττάρων μηνῶν. Ξε. ἀν. 1, 2, 12. Τριάκοντα ταλάντων οὐσίαν ἐκτήσατο. Λυ. 29, 2. Χιλίων δραχμῶν δίκην φεύγω. Δη. 55, 25. (Μίνως τοὺς οἰκοῦντας τὴν Ἀττικὴν παρεστήσατο εἰς χαλεπήν τινα φορὰν δασμοῦ. Πλ. νό. 706, a.)

A. 2. Auch dieser Ge. kann als Prädikat seinem Subjekt durch εἶναι ꝛc. oder auch durch Apposition angefügt werden. Τοῦ Μαρσύου τὸ εὖρός ἐστιν εἴκοσι καὶ πέντε ποδῶν. Ξε. ἀν. 1, 2, 8. Τὸ τεῖχος σταδίων ἦν ὀκτώ. Θ. 4, 66, 3. Ἴσον ὂν τῶν αὐτῶν μέτρων ἔσται ἐκείνῳ ᾧ ἂν ἴσον ᾖ. Πλ. Παρ. 140, b. Γαμεῖν δεῖ ἐπειδὰν ἐτῶν ᾖ τις τριάκοντα μέχρι ἐτῶν πέντε καὶ τριάκοντα. Πλ. νό. 721, a. (Ἡ πόλις μεγίστη ἔσται καὶ ἐὰν μόνον χιλίων ᾖ τῶν προπολεμούντων. Πλ. πολ. 423, a. Οὐδὲ μιᾶς ἡμέρας ἐστὶ τὰ ἐπιτήδεια. Ξε. ἀν. 6, 1, 16. [z. Th. 1, 48, 1.] Οἱ στέφανοι ῥόδων ἦσαν, ἀλλ' οὐ χρυσίου. Δη. 22, 70. 24, 177.) — Ἐξελαύνει ἐπὶ τὸν Εὐφράτην ποταμόν, ὄντα τὸ εὖρος τεττάρων σταδίων. Ξε. ἀν. 1, 4, 11. Παρὰ τὴν πόλιν ἦν πυραμὶς λιθίνη, τὸ μὲν εὖρος ἑνὸς πλέθρου, τὸ δὲ ὕψος δύο πλέθρων (οὖσα). Ξε. ἀν. 3, 4, 9. [z. Xe. An. 1, 2, 23.]

A. 3. (Wenn das den Ge. des Stoffes regierende Wort mit dem Artikel verbunden (auch als Objekt) steht, so müssen wir uns die Konstruktion zur Verdeutlichung auflösen, z. B. οἱ θεμέλιοι παντοίων λίθων ὑπόκεινται in οἱ θεμέλιοι οἳ ὑπόκεινται παντοίων λίθων εἰσίν. Θ. 1, 93, 1. Τὴν πόλιν ξυμμίκτων ἀνθρώπων ᾤκισεν. Θ. 6, 5, 1. Ὁ λιμὴν ὁ μέγας εἶχε τὸ στόμα ὀκτὼ σταδίων. Θ. 7, 59, 2. Δυοῖν ἤδη μηνοῖν ὤφειλε τὸν μισθόν. Ξε. Ἑλ. 6, 2, 16. Τὸν μισθὸν ἀποδίδωσιν εἴκοσιν ἡμερῶν. Ξε. ἀν. 7, 5, 4. Τὰ ἐπιτήδεια τριῶν ἡμερῶν ἔλαβον. Ξε. Κυ. 5, 3, 35. [Συνεζεύξατο τὸ ἑαυτοῦ ἅρμα τετράρρυμον καὶ ἵππων ὀκτώ. Ξε. Κυ. 6, 1, 51.] Vgl. § 50, 11, 1, Dial. Sy. A. 3 u. Th. 4, 31, 3.

A. 4. Aus dem Ge. des Stoffes entwickelt sich der Ge. des Inhaltes. Ταμιεῖον ἀρετῆς ἐστι γενναία γυνή. Ἀλέξαν. 6 (5). Θέλω τύχης σταλαγμὸν ἢ φρενῶν πίθον. Μέ. μο. 240. Ἐσέπεμπον δύο χοίνικας ἑκάστῳ Ἀττικὰς ἀλφίτων καὶ δύο κοτύλας οἴνου. Θ. 4, 16, 2. Ἁμάξας σίτου προέπεμπε. Ξε. Κυ. 2, 4, 18. Εἶδε πλοῖα πολλὰ σίτου. Ξε. Ἑλ. 1, 1, 35. [Ὅμηρος πεποίηκε τὰς Βοιωτῶν ναῦς εἴκοσι καὶ ἑκατὸν ἀνδρῶν. Θ. 1, 10, 5. vgl. A. 3.]

A. 5. Der Ge. des Stoffes und des Inhaltes erscheint gewöhnlich ohne Artikel, weil hier selten ein deiktischer Bezug zu nehmen ist, während beim partitiven Ge. der Artikel mehrenteils erforderlich ist. Θησαυρός ἐστι τῶν κακῶν κακὴ γυνή. Μέ. μο. 233. Τέτταρες ἐλέγοντο παρασάγγαι εἶναι τῆς ὁδοῦ. Ξε. ἀν. 1, 10, 1. Ἀσύνετος ὅστις ἐν φόβῳ μὲν ἀσθενής, λαβὼν δὲ μικρὸν τῆς τύχης φρονεῖ μέγα. Εὐ. Τημ. 16 (735). Vgl. z. Her. 1, 178, 1, z. Th. 2, 86, 2 u. z. Xe. An. 4, 5, 33.]

9. Der partitive Ge., dem als der Masse ein Teilbegriff angeeignet wird, kann gleichfalls mit Substantiven verbunden werden: aus der Zahl u. ä. *Ἄνδρα οἶδα τοῦ δήμου. Ξε. Κυ.* 2, 2, 22. *Ἐάν τις ὑβρίζῃ εἴς τινα ἢ παῖδα ἢ γυναῖκα ἢ ἄνδρα τῶν ἐλευθέρων ἢ τῶν δούλων, γραφέσθω ὁ βουλόμενος Ἀθηναίων. Δη.* 21, 47. — *Ἐβοήθει Ἀρίσταρχος καὶ τῶν ἱππέων νεανίσκοι. Θ.* 8, 92, 7. *Ἐπιφορὰς ἐδίδοσαν τοῖς θρανίταις τῶν ναυτῶν. Θ.* 6, 31, 3. — *Ἀποβάλλουσιν ἄνδρας σφῶν αὐτῶν. Θ.* 2, 33, 3. — *Οἱ Κυθήριοι Λακεδαι-*

μόνιοί εἰσι τῶν περιοίκων. Θ. 4, 53, 2. *Ξυνέπλεον Παλῆς Κεφαλλήνων.* Θ. 1, 27, 2. — *Οἱ Δωριῆς ἡμῶν πολέμιοι τοῖς Ἀθηναίοις.* Θ. 4, 61, 2. [z. 7, 64, 1.] *Προηγώνισθε τοῖς Μακεδόσιν αὐτῶν.* Θ. 4, 126, 3. — *Εἰσεφέρετο τροχὸς τῶν κεραμεικῶν.* Ξε. συ. 7, 2. [Vgl. Reg. z. Th. u. Genitiv 2, e. Über *οἱ τοῦ δήμου* z. 4, 130, 3.]

A. 1. So steht der partitive Ge. [ohne zu ergänzendes τὶς] auch bei individuellen Namen, selbst appositiv; der Ge., wenn er ein Nomen ist, regelmäßig mit, der individuelle Name ohne Artikel. [z. Th. 1, 24, 1.] Συρακούσας Ἀρχίας τῶν Ἡρακλειδῶν ᾤκισεν. Θ. 6, 3, 2. [Ἱπποκράτει τῷ τῶν Ἀσκληπιαδῶν δεῖ τι πείθεσθαι. Πλ. Φαῖδ. 270, c.] Κόνων καταφεύγει ἐς Μυτιλήνην καὶ τῶν δέκα στρατηγῶν Λέων καὶ Ἐρασινίδης. Ξε. Ἑλ. 1, 6, 16. Ξυνῆλθον ἐς λόγους Κλέων καὶ ἐκείνων Στύφων. Θ. 4, 38, 1. — Παταγύης, ἀνὴρ Πέρσης, τῶν ἀμφὶ Κῦρον πιστῶν, προφαίνεται. Ξε. ἀν. 1, 8, 1. (vgl. 6 A. 5 E. u. Xe. Hell. 5, 4, 2.)

A. 2. Auch der partitive Ge. kann seinem Subjekt durch ein Prädikatsverbum angefügt werden. Ἔνιοι ὄντες ὡς ἀληθῶς τοῦ δήμου τὴν φύσιν οὐ δημοτικοί εἰσιν. Ξε. πολ. Ἀ. 2, 19. Οὐ σὺ Κριτόβουλον ἐνόμιζες εἶναι τῶν σωφρονικῶν ἀνθρώπων μᾶλλον ἢ τῶν ἀνοήτων; Ξε. ἀπ. 1, 3, 9. Τῶν λαμβανόντων εἰσὶν οἱ μανθάνοντες. Πλ. Εὐθ. 277, c. — Τῆς βασιλικῆς ἐστιν ἡ νομοθετική. Πλ. πολιτ. 294, a. Ὡμολόγησας τῶν μεγίστων ἀγαθῶν εἶναι δικαιοσύνην. Πλ. πολ. 367, c. Ἡ Σπάρτη τῶν ὀλιγανθρωποτάτων πόλεών ἐστιν. Ξε. πολ. Λ. 1, 1. — Νομίσατε εἶναι τοῦ καλῶς πολεμεῖν ἐθέλειν αἰσχύνεσθαι καὶ τοῖς ἄρχουσι πείθεσθαι. Θ. 5, 9, 6. Τὸ ἐν ἰσηγορίᾳ δοκοῦντα ἄξιόν τινος ὄντα τιμᾶσθαι τῶν καλῶν ἐστιν. Δη. 20, 16. Τὸ λέγειν περὶ αὑτοῦ παρ' ὑμῖν ἀεὶ τῶν πάνυ λυσιτελούντων τοῖς τολμῶσιν ἐστίν. Δη. 5, 4. — Οἳ ἂν ἐν τοῖς τελείοις διαγένωνται ἀνεπίληπτοι, οὗτοι τῶν γεραιτέρων γίγνονται. Ξε. Κυ. 1, 2, 15. [Bei ὑπάρχειν Th. 8, 76, 1.]

(A. 3. Auch dieser Ge. erscheint bei Verben der Vorstellung, Äußerung, Darstellung, Wahl u. ä. vgl. 6 A. 11. Σόλων τῶν ἑπτὰ σοφιστῶν ἐκλήθη. Ἰσ. 15, 235. Κάλλαρον ἐπεγράψατο τῶν ἐμῶν δούλων. Δη. 55, 31. Οὐδαμοῦ πώποτε ὁ Μειδίας τῶν συνηδομένων οὐδὲ τῶν συγχαιρόντων τῷ δήμῳ ἐξητάσθη. Δη. 21, 202. — Λακεδαιμόνιοι Χίλωνα τῶν γερόντων ἐποίησαν. Ἀρλ. ῥητ. 2, 23. Τί με κωλύει κληροῦσθαι τῶν ἐννέα ἀρχόντων; Λυ. 24, 13. — Ἐμὲ θὲς τῶν πεπεισμένων. Πλ. πολ. 424, c. Τίθημι τῶν περὶ τὰς ἡδονὰς τὴν μαγειρικήν. Πλ. Γο. 500, b.

A. 4. Wenn in solchen Verbindungen εἷς oder τὶς hinzugefügt wird, so haben sie ihre Bedeutung, wenn auch, wie besonders εἷς, nicht immer eine sehr hervortretende. Ὁ ἄνθρωπος ἓν τῶν ζῴων ἐστίν. Πλ. Γο. 516, b. Πένης εἰμὶ καὶ τοῦ πλήθους εἷς. Ἰσ. 20, 19. Τοῦτο ἂν τῶν χρησιμωτάτων ἓν εἴη, τὸ γνῶναι τὰς φύσεις τε καὶ τὰς ἕξεις τῶν ψυχῶν. Πλ. νό. 650, b. — Τὴν βασιλικὴν τέχνην τῶν ἐπιστημῶν εἶναί τινα ἔφαμεν. Πλ. πολιτ. 292, b. Τίθεμέν τι τῶν ὄντων ψυχήν; Πλ. σοφ. 246, e.

Besondere Verbindungsarten von Genitiven.

[A. 5. Als Vertreter ihres Substantivs können auch ὅδε, οὗτος und ὅς (ὅστις und ὅσος) einen Ge. bei sich haben. [Vgl. Pflugk z. Eu. Hel. 1027?] Αὐτός μ' ἀφαιροῦ· τόνδε Διονύσου φορῶ (θύρσον). Εὐ. Βάκ. 496. Περὶ τῆς μητρός, καὶ γὰρ ταύτην διαβεβλήκασί μου, λέξω. Δη. 57, 30. [vgl. Th. 1, 40, 4. 115, 1.] — Τὸν χρυσὸν ὃν φῂς οὐ σὸν ἀλλὰ τοῦδ' ἔχειν δοῦναί σε χρῆν. Εὐ. Ἑκ. 1219. Τὸν τειχισμόν, ὅν σύ μου διέσυρες, ἄξιον ἐπαίνου κρίνω. Δη. 18, 299. Τὰ μακρὰ τείχη, ἃ σφῶν οἱ Ἀθηναῖοι εἶχον, κατέσκαψαν. Θ. 4, 109, 1. [z. 1, 115, 1.] Τῇ ἀσπίδι πρὸς τὸ τροπαῖον ἐχρήσαντο ὃ ἔστησαν τῆς προσβολῆς ταύτης. Θ. 4, 12, 2. — Τοὺς ὀχετοὺς

αὐτῶν, οἳ ἐς τὴν πόλιν ὑπονομηδὸν ποτοῦ ὕδατος ἠγμένοι ἦσαν, διέφθειραν. Θ. 6, 100, 1. — Παυσανίας ἐς οἴκημα οὐ μέγα, ὃ ἦν τοῦ ἱεροῦ, ἐσῆλθεν. Θ. 1, 134, 2. Über ὅσος Th. 2, 45, 1 u. Her. 1, 105, 1; über ὅστις Th. 2, 48, 2; ähnlich αὐτάς 3, 45, 2 u. Plut. Pomp. 61. Verschiedenes § 47, 9, 8.

A. 6. Ein Substantiv kann zwei Ge. verschiedener Art regieren, z. B. einen subjektiven und objektiven, einen possessiven (oder partitiven) neben einem Ge. des Stoffes, Betrages ꝛc.; ja selbst zwei gleichartige von verschiedener Beziehung. Τὸ γνῶθι σαυτὸν πρόρρησίς ἐστι τοῦ θεοῦ τῶν εἰσιόντων ἀντὶ τοῦ χαῖρε. Πλ. Χαρ. 164, e. Ἡ Χειρισόφου ἀρχὴ τοῦ παντὸς κατελύθη. Ξε. ἀν. 6, 1, 1. Vgl. Θ. 3, 115, 4. Τὴν ἁπάντων ἧτταν ἐφοβεῖτο ἀνθρώπων τοῦ πώματος. Πλ. νό. 648, e. Ἄτοπος Διονύσου πρεσβυτῶν χορός. Πλ. νό. 665, b. Δέκα ἐτῶν τὸ ἔργον αὐτῶν δύο τάλαντα. Δη. 27, 29. Δοκοῦμεν ἀδικεῖν διὰ τὴν ἐκείνων μέλλησιν τῶν ἐς ἡμᾶς δεινῶν. Θ. 3, 12, 2. Τοσαύτην ὑπερβολὴν ἐποιήσατο ἐκείνων τῆς αὑτοῦ βδελυρίας. Δη. 22, 52. Vgl. Reg. z. Th. u. Genitiv 2, f., Schömann z. Isai. p. 374 u. Lobeck z. So. Ai. 726.]

A. 7. Oft ist der eine Ge. mit dem regierenden Worte als ein Gesamtbegriff zu denken, der als eine Art Kompositum (wie unser Todesfurcht, Siegestropäen ꝛc.) verschmolzen den zweiten Ge. regiert. Οἱ ἄνθρωποι διὰ τὸ αὑτῶν δέος τοῦ θανάτου καὶ τῶν κύκνων καταψεύδονται. Πλ. Φαίδ. 85, a. Ὅδε πλεῖστα χορῶν τῶν ἀντιπάλων νίκης ἔστησε τροπαῖα. Ἀρ. ἱπ. 521.

A. 8. Die Verbindung mehrerer Ge. schien selbst bei gleicher Endung wenig anstößig. So war wie τοὺς (τάς, τά) ἑαυτῶν (—) auch τῶν ἑαυτῶν (—) u. ä. gewöhnlich. [z. Xe. An. 2, 5, 38 u. z. Th. 1, 45, 2. 141, 3.] Οἱ Λακεδαιμόνιοι τῶν ἑαυτῶν ξυμμάχων κατεφρόνουν. Ξε. Ἑλ. 4, 4, 17. Οἱ Ἀθηναῖοι ὀλίγας ἡμέρας στερηθέντες τῶν αὑτῶν πολὺν χρόνον ἄλλων δεσπόται κατέστησαν. Ἰσ. 6, 43. Κύρου ἦσαν τοῦ ἐκείνου δούλου. Ξε. ἀν. 2, 5, 38. Βίᾳ οὐδὲν ἐλαμβάνομεν τῶν ἐκείνων. Ξε. ἀν. 5, 5, 18. Ὤιοντο διὰ τῶν ἑτέρων κινδύνων τὰ ἑαυτῶν ἀσφαλῶς σχήσειν. Δη. 18, 45. Πολὺ ἂν ἥδιον τὰ τῶν ἄλλων λάβοιεν ἢ δοῖεν ἑτέροις ὁτιοῦν τῶν σφετέρων αὐτῶν. Ἰσ. 15, 225. Vgl. § 51, 2, 10 u. Arndt De pron. refl. 1 p. 10 s.

Stellung der Genitive in Verbindung mit Nominen.

A. 9. Der possessive Ge. kann seiner adjektivischen Natur halber zwischen den Artikel und das regierende Substantiv eingeschoben werden oder ihm folgend dessen Artikel wiederholt vor sich haben: attributive Stellung. Vgl. § 50, 8, 11. Οὐκ ἀλλότριον ἡγεῖται ὁ Ἀθηναίων δῆμος τὸν Θηβαίων δῆμον. Δη. 18, 186. Τὸ μὲν ἱππικὸν τὸ ἐκείνων οὕτω μάχεται, τὸ δὲ ὁπλιτικὸν τὸ τῶν Ἑλλήνων ὡς ἐγὼ λέγω. Πλ. Λάχ. 191, b. Vgl. Kr. z. Arr. 1, 8, 3 lat. A.

A. 10. Eigentlich mehr partitive Bedeutung hat der Ge., wenn er entweder vor dem Artikel steht oder ohne Wiederholung desselben nach dem Substantiv eintritt: partitive Stellung. Vgl. § 50, 8, 11. Στεφανοῦσιν Ἀθηναίων τὴν βουλὴν καὶ τὸν δῆμον. Δη. 18, 92. Ὥσπερ οἰκίας τὰ κάτωθεν ἰσχυρότατα εἶναι δεῖ, οὕτω καὶ τῶν πράξεων τὰς ἀρχὰς καὶ τὰς ὑποθέσεις ἀληθεῖς εἶναι προσήκει. Δη. 2, 10. Μὴ γιγνώσκων τὴν οὐσίαν τί ποτε βούλεται σχολῇ τήν γε ὀρθότητα τῆς βουλήσεως ἢ καὶ ἁμαρτίαν αὐτοῦ διαγνώσεται. Πλ. νό. 668, c.

A. 11. Bei dem eigentlich partitiven Ge. findet sich dies Gesetz ziemlich strenge beobachtet; doch wird er zuweilen eingeschoben: eine Art Hyperbaton. Οἱ Ἀθηναίων ἕωσιν ἄνδρες ἕνδεκα. Πλ. Φαίδ. 85, 6. z. Th. 1, 128, 6. 6, 87, 2 u. z. Her. 1, 98, 2.

Mit 12. Mit einem von Artikel begleiteten Substantiv verbunden erfordern die reflexiven Ge. (ἐμαυτοῦ ꝛc.) wie αὐτοῦ ipsius und ἀλλήλων § 51, 3 A. die attributive, die persönlichen (μοῦ ꝛc.) wie αὐτοῦ ejus die partitive Stellung. Vgl. Dial. Sy. A. 5 ff. u. scheinbare Ausnahmen

z. Th. 3, 92, 4. Ἐλεύθερον φύλαττε τὸν σαυτοῦ τρόπον. Μέ. μο. 144. Κακουργότατόν ἐστι μὴ μόνον τὸν οἶκον τὸν ἑαυτοῦ φθείρειν, ἀλλὰ καὶ τὸ σῶμα καὶ τὴν ψυχήν. Ξε. ἀπ. 1, 5, 3. Κόσμησον τὴν ψυχὴν οὐκ ἀλλοτρίῳ ἀλλὰ τῷ αὐτῆς κόσμῳ. Πλ. Φαίδ. 114, e. — Ὠνόμασέ μου τὴν πρόνοιαν δειλίαν. Ἀρ. Πλ. 207. Ἡ γλῶσσά σου τὸν θυμὸν ὡς δεινὸν τρέφει. Σο. Αἴ. 1124. Καλαὶ νῷν αἱ γυναῖκες. Μέ. 1009 (848). Παλαίσμαθ' ἡμῶν ὁ βίος. Εὐ. Ἰκ. 550. Ὕπνος πολὺς οὔτε τοῖς σώμασιν οὔτε ταῖς ψυχαῖς ἡμῶν ἁρμόττων ἐστὶ κατὰ φύσιν. Πλ. νό. 808, b. Μετεπέμψατο Ἀστυάγης τὴν ἑαυτοῦ θυγατέρα καὶ τὸν παῖδα αὐτῆς. Ξε. Κυ. 1, 3, 1. Αὐτοὶ καὶ οἱ αὐτῶν στρατιῶται ἐξέπλευσαν. Ξε. ἀν. 5, 10, 14. Vgl. Arndt De pron. refl. 1 p. 10 u. 2 p. 8. Wie ἐμαυτοῦ 2c. so meist auch die Ge. von οὗτος. vgl. jedoch Isokr. 8, 32.]

A. 13. Nicht leicht erscheint in dieser Verbindung ἐμοῦ; noch weniger in der att. Prosa οὗ § 25, 1, 5 vgl. § 51, 2, 4, nur nach ionischer Weise, die bei Spätern wiederkehrt, Pl. Rep. 614, b, 617, e; σφῶν (meist ohne αὐτῶν) öfter bei Thukydides [z. 1, 25, 2], hin und wieder bei Platon (Rep. 618, a), selten bei andern attischen Prosaikern, wie Xen. Kyr. 3, 2, 25, nie bei den Rednern; demnach eig. auch dies unattisch. Statt οὗ wird ἑαυτοῦ oder αὐτοῦ, statt σφῶν aber ἑαυτῶν oder σφέτερος αὐτῶν gesagt. Vgl. § 51, 2, 4ff. 4, 4f.

A. 14. Bei hinzutretender Präposition pflegen μοῦ 2c., wenn sie voranstehen, auch ihr vorausgehen. Εἴωθε παίζειν μου εἰς τὰς τρίχας. Πλ. Φαίδ. 89, b. [Διά μου κεφαλᾶς Eu. Med. 144, Hippol. 1352.]

A. 15. Oft werden μοῦ 2c. von ihrem Substantiv durch eingeschobene Worte getrennt. Χρὴ πιόντα περιιέναι, ἕως ἂν σου βάρος ἐν τοῖς σκέλεσι γένηται. Πλ. Φαίδ. 117, b. Ἀνὴρ εἰς ἀγορὰν οἴχεταί μου. Ἀρ. ἐκ. 62. Λέγω ἁρμονίαν τινὰ ἡμῶν εἶναι τὴν ψυχήν. Πλ. Φαίδ. 88, d.

(A. 16. Eingeschoben werden μοῦ 2c. öfter, wenn der Artikel noch ein Wort neben sich hat. Ἡ πάλαι ἡμῶν φύσις οὐχ ἡ αὐτὴ ἦν ἥπερ νῦν. Πλ. συ. 189, d. Γνώσεσθε τὴν ἄλλην αὐτοῦ πονηρίαν. Ἰσ. 18, 52. Vgl. § 50, 11, 20.)

[A. 17. Die reflexiven Ge. finden sich bei partitiver Bedeutung auch in partitiver Stellung. Ἀπολέσαντες αὑτῶν τοὺς βελτίστους ἐπὶ τοῖς χειρίστοις τῶν πολιτῶν γεγόνασιν. Ἰσ. 6, 64. Vgl. z. Th. 4, 42, 4. 43, 3.]

A. 18. Sonst finden sich von der Regel A. 12, am häufigsten bei ἑαυτοῦ und αὑτοῦ, Ausnahmen, die man zum Teil durch geänderten Spiritus beseitigen kann. Manche jedoch sind nicht anzutasten und auf eine oder die andere Weise zu erklären, z. B. durch eigentümliche Bedeutung oder Betonung. Ἂν ὀκνῇς τὸ μανθάνειν, ἀνεπικούρητον σεαυτοῦ τὸν βίον λήσῃ ποιῶν. Φιλή. 83 (213), 1. Τὴν ἑτέραν αὐτοῦ γνάθον στόμωσον. Ἀρ. νε. 1109. Vgl. Dial. Sy. A. 6, Deinarchos 3, 18 u. z. Th. 3, 91, 1. vgl. 1, 36, 1. 3, 92, 4 u. z. Her. 5, 5.

A. 19. Der Ge. (auch des relativen ὅς) kann unmittelbar nach der Präposition vor dem ihn regierenden Nomen eintreten. So besonders häufig bei Thukydides. [Reg. z. Th. u. Genitiv 2, f. Bei οὗ 2c. ist dies die gew. Stellung; Beispiele von der andern sind Pl. Rep. 510, d, Isokr. 15, 245.] Λόγοι ἀληθεῖς ἄριστοι φρουροί τε καὶ φύλακες ἐν ἀνδρῶν θεοφιλῶν εἰσι διανοίαις. Πλ. πολ. 560, b. Πέμπει ἐς τῶν Σικελῶν τοὺς τὴν δίοδον ἔχοντας. Θ. 7, 32, 1. Δεῖ τὴν φυλακὴν μὴ ἀπὸ τῶν νόμων τῆς δεινότητος ἀξιοῦν ποιεῖσθαι, ἀλλ' ἀπὸ τῶν ἔργων τῆς ἐπιμελείας. Θ. 3, 46, 3. — Αἰσχύνθητε Δία, ἐν οὗ τῷ ἱερῷ ἐσμεν. Θ. 3, 14. — Δουλεύει ταῖς αἰσχίσταις ἡδοναῖς, ὑφ' ὧν οὐδενὸς δεῖ κρατεῖσθαι τὸν γενναῖον καὶ ἐλεύθερον. Αἰ. 1, 42. — [Ἐσέπεσον ἔς του χωρίον ἰδιώτου. Θ. 1, 106.]

(A. 20. Zwischen den Ge. des Artikels und sein Nomen kann das den Ge. regierende oder dem regierenden Worte angehörige τὶς nur dann eintreten, wenn noch eine anderweitige Bestimmung dem Artikel folgt. [Τῶν τις (τινὲς) Φοινίκων u. ä. ist ionisch, von einigen der Spätern wieder aufgenommen.] Τῶν ἄλλων τινὰς Ἑλλήνων ἐκείνῳ προεῖσθε. Δη. 6, 8.

Τῶν Τισσαφέρνους τις οἰκείων παρηκολούθει. Ξε. ἀν. 3, 3, 4. Τοὺς ἐκείνου τις εὐεργέτας κακῶς λέγει. Δη. 19, 214. Vgl. Kr. z. Xe. An. 2, 5, 32.)

10. Auch adjektivische Begriffe können substantiviert wie mit Possessiven und andern Adjektiven, so nicht minder mit dem possessiven Ge. verbunden werden; Maskulina und Feminina von Participien jedoch nur, wenn sie völlig substantivisch geworden sind, wie *ἄρχων, συνάρχων, προσήκοντες* Angehörige rc. Vgl. § 43, 2, 4. *Ὡς τῶν ἐχόντων πάντες ἄνθρωποι φίλοι. Εὐ. Κρῆσ.* 8, (465). *Βοηθεῖν ἐβούλοντο τοῖς ἑαυτῶν ξυγγενέσιν. Θ.* 6, 6, 1. — *Τὰ λαμπρὰ τῆς τύχης τὴν κτῆσιν οὐ βέβαιον ἀνθρώποις νέμει. Μοσχίων Στ.* 105, 22, (10, 2). *Ὥρα τὰ πάντα τοῦ βίου κρίνει καλῶς. Μέ. μο.* 735. — *Δίκαιον τὸ τοῦ κρείττονος ξυμφέρον δοκεῖ εἶναι τῷ κρείττονι. Πλ. πολ* 340. c. vgl. Pl. 339, e, 340, b, Th. 8, 50, 2.

[A. 1. Poetisch sind Ausdrücke wie ὁ ἐκείνου τεκών Eur. El. 335 vgl. Alk. 167 u. Aisch. Pers. 245 (4) ὁ κείνου γενόμενος Eu. Or. 510? τὸν ἑαυτῆς ἔχοντα Pl. Phaidr. 244 e. Ähnlich ist ἡ ἐμὴ κεκτημένη Ar. Ekkl. 1126.]

A. 2. Das substantivierte Neutrum von Pronominaladjektiven wird auch mit einem Ge. selbst eines persönlichen Begriffes verbunden, um etwas demselben äußerlich oder innerlich Angehöriges zu bezeichnen: Besitzung, Bestandteil, Eigenschaft, Äußerung u. ä. Ταῦτα εἶχον Ἀθηναῖοι Πελοποννησίων. Θ. 1, 115, 1. Ἃ εἴληφε τῆς πόλεως ἀποδώσει. Δη. 19, 151. Εἰ μὴ σεαυτοῦ, τῆς τύχης δὲ πάντ' ἔχεις, τί ἂν φθονοίης ὦ πάτερ τούτων τινί; Μέ. 130 (128), 5. Ἄργους οὐδὲν ἐσθ' ἡμῖν ἔτι. Εὐ. Ἡρ. 185. Ἦν τι τοῦ τείχους ἀσθενές. Θ. 7, 4, 2. Τῷ ὁρῶμεν ἡμῶν αὐτῶν τὰ ὁρώμενα; τῇ ὄψει. Πλ. πολ. 507, c. Ὡς οὐδὲν ἀτεχνῶς ὑγιές ἐστιν οὐδενός. Ἀρ. Πλ. 352. Τόδε αὐτῶν οὐ χάριεν, τὸ πάντων ἔχθιστον ἡγεῖσθαι τὸν τἀληθῆ λέγοντα; Πλ. πολ. 426, a. [Τῆς πόλεως τέθνηκε τὸ τοὺς ἀδικοῦντας μισεῖν καὶ τιμωρεῖσθαι. Δη. 19, 289. Ὁ οἶνος ἡμῶν τῷ φρονεῖν ἐπισκοτεῖ. Ὠφελίων 3. Τὸ εὖ φρονεῖν αὐτῶν μιμεῖσθε. Δη. 19, 269. vgl. Kr. z. Her. 9, 58, 2.] Τοῦτο ἐπαινῶ Ἀγησιλάου, ἐπαινῶ δὲ κἀκεῖνο τῆς προνοίας αὐτοῦ. Ξε. Ἀγ. 8, 4. Σωφροσύνης οὐ τὰ τοιάδε μέγιστα, ἀρχόντων μὲν ὑπηκόους εἶναι, αὐτοὺς δὲ ἄρχοντας τῶν ἡδονῶν; Πλ. πολ. 389, e. Οἶσθ' οὖν ὃ κάμνει τοῦ λόγου μάλιστά σοι; Εὐ. Ἴων 363. (Material ist der Ge. wohl in dem ἡ λῃστεία ἔφερέ τι καὶ δόξης. Θ. 1, 5, 1. Über ἐλλείπω τι, οὐδὲν προθυμίας u. ä. vgl. Stallbaum z. Plat. Rep. 533, a.)

A. 3. Meist von einer Präposition (ἐν, εἰς, κατά, παρά) abhängig finden sich [τί], τοῦτο, τοσοῦτο, πᾶν u. ä., Neutra mit einem (wohl materialen) Ge, der die Zeit oder den Zustand bezeichnet, wovon jene Begriffe die bezüglichen Momente ausdrücken (der Ge. meist ohne Artikel. vgl. Lobeck z. Phryn. p. 279). Ἔτυχε κατὰ τοῦτο [τοῦ] καιροῦ ἐλθών. Θ. 7, 2, 4. Εἰς τοῦτο τῆς ἡλικίας ἀφῖκται. Λυ. 5, 3. Τἆλλα πάντα, εἰς ὅσον ἡλικίας ἥκει, οὐδενὸς χείρων ἐστίν. Πλ. Χαρ. 157, d. — Ἐν τούτῳ τύχης εἰσίν. Θ. 7, 33, 6. Ὁ Νικίας ἥκιστα ἄξιος ἦν εἰς τοῦτο δυστυχίας ἀφικέσθαι. Θ. 7, 86, 4. — Εἰς τοσοῦτον ἥκομεν ἀπαιδευσίας. Πλ. Γο. 527, d. Εἰς τοῦτο θράσους καὶ ἀναιδείας ἀφίκετο. Δη. 21, 194. (Τί ποτε μερίμνης ἐς τόδ' ἦλθες ὦ γύναι; Εὐ. Ἴων 244.) — Οἱ Ἀθηναῖοι ἐν παντὶ δὴ ἀθυμίας ἦσαν. Θ. 7, 55, 1. Εἰς πᾶν προελήλυθε μοχθηρίας τὰ παρόντα. Δη. 3, 3. [Vgl. Lobeck z. So. Ai. 1144 u. Add.]

A. 4. Ebenso fügt sich der Ge. an Adverbia des Ortes, auch bei uneigentlicher Bedeutung, so wie der Zeit: an jene gewöhnlich, wenn

der Ge. ein unbestimmter Begriff ist, ohne Artikel, an diese meist mit demselben. Γῆς γε οὐδαμοῦ οἶμαι ἀγαθὴν πολιτείαν εἶναι. Πλ. πολ. 592, a. Οὐκ οἶσθ' ὅποι γῆς οὐδ' ὅποι γνώμης φέρει. Σο. Ἠλ. 922. — Τίς εἶ; πόθεν γῆς ἦλθες; Εὐ. Ἴων 258. Ἀποβάσεις ἐποιοῦντο τῶν χωρίων οὗ καιρὸς εἴη. Θ. 4, 54, 4. Ἐς Σίγειον κατῆραν καὶ ἄλλοθεν τῶν ταύτῃ χωρίων. Θ. 8, 101, 2. Τινὰς ὑμῖν ἔκ τε Ἄργους ὁρῶ καὶ ἄλλοσε τῶν Ἑλλήνων εἰς τὴν χώραν κατῳκισμένους. Πλ. νό. 707, e. Μέχρι δεῦρο τοῦ λόγου καλῶς ἂν ἔχοι. Πλ. συ. 217, d. — Οὐδ' ἐνταῦθ' ἔστη τῆς ὕβρεως. Δη. 21, 17. Ἐγνωκότες ἦτε οὗ ἦν κακοῦ ἡ πόλις. Λυ. 13, 36. Ὦ τλῆμον οὐκ οἶσθ' οἷ κακῶν ἐλήλυθας. Εὐ. Μήδ. 1306. Πόρρω σοφίας ἥκει. Πλ. Εὐθ. 294, e. — Πηνίκ' ἔστι τῆς ἡμέρας; Ἀρ. ὄρ. 1498. Τῆς ὥρας ἐγίγνετο ὀψέ. Δη. 21, 84. Διελεγόμην πόρρω τῶν νυκτῶν. Πλ. συ. 217, d. Ἐκάθευδον μέχρι πόρρω τῆς ἡμέρας. Ξε. Ἑλ. 7, 2, 19. — Γίγνομαι παχὺς τηνικαῦτα τοῦ θέρους. Ἀρ. εἰρ. 1171. Οἱ τῶν πλουσιωτάτων υἱεῖς πρωιαίτατα εἰς διδασκαλίαν τῆς ἡλικίας ἀρξάμενοι φοιτᾶν ὀψιαίτατα ἀπαλλάττονται. Πλ. Πρω. 326, c.

A. 5. Auch Adverbia der Beschaffenheit haben, meist mit ἔχειν verbunden, das Objekt, an dem man sie gedacht wissen will, im Ge. beigefügt, diesen in der Regel ohne Artikel, also material. [Lobeck z. Phryn. p. 280 s.] Ἡ τάξις ἄριστα σωμάτων εἶχεν. Ξε. Ἑλ. 3, 4, 16. Ἐδίωξαν ὡς τάχους ἕκαστος εἶχεν. Ξε. Ἑλ. 4, 5, 15. Ἀκολασίαν φευκτέον ὡς ἔχει ποδῶν ἕκαστος ἡμῶν. Πλ. Γο. 507, d. Πῶς ἔχεις δόξης τοῦ τοιοῦδε πέρι; Πλ. πολ. 456, d. Ὡς ἂν ὑμεῖς πρὸς ἕκαστον ἔχητε εὐνοίας, οὕτως ὁ λέγων ἔδοξεν εὖ φρονεῖν. Δη. 18, 277. Οὗτος ἱκανῶς ἐπιστήμης ἕξει. Πλ. Φιλ. 62, a. — Ἡράκλεια τοῦ τε πρὸς Ἀθηναίους πολέμου καλῶς ἐδόκει καθίστασθαι, τῆς τε ἐπὶ Θράκης παρόδου χρησίμως ἕξειν. Θ. 3, 92, 3.

(A. 6. Ähnlich steht mit dem Ge. κατὰ ταῦτα Plat. Soph. 253, ἐν καλῷ Xen. Hell. 6, 2, 9 vgl. Isokr. 15, 108. Verschieden ist πρὸς βορέαν ꝛc. τοῦ nördlich vom u. ä. Τιλαταῖοι οἰκοῦσι πρὸς βορέαν τοῦ Σκομίου ὄρους. Θ. 2, 96, 4. Τὰ πρὸς βορέαν ꝛc. τῆς γῆς kann an sich sowohl heißen: die nördlichen Teile des Landes, als: die nördlich von dem Lande gelegenen Strecken. z. Th. 2, 96, 4 u. z. Her. 3, 99. 4, 7, 2. 6, 139, 2.

A. 7. Dem ähnlich gebrauchten Ac. gesellt sich der Artikel. Ἀεὶ ἔστι τοῖς τὰ σώματα καὶ τὰς ψυχὰς εὖ ἔχουσιν εὐτυχῆσαι. Ξε. κυν. 12, 5. Φύσει τε καὶ διαίτῃ ὑγιεινῶς ἔχουσι τὰ σώματα. Πολ. πολ. 407, c.

III. Der Genitiv bei Sätzen, Verben der Auffassung, Berührung u. ä.

A. 8. Der Grieche faßt leicht Sätze zu einer Gesamtvorstellung, einem Begriffe zusammen. Daher finden sich bei Verben der Vorstellung [und Äußerung] auch von einem Satze (mit ὅτι, ὡς, so wie einem relativen oder interrogativen) abhängige Ge., die wir uns durch ein ergänztes (zuweilen auch hinzugefügtes) τοῦτο oder τόδε verdeutlichen können. Ἐνθυμοῦ τῶν εἰδότων ὅ, τι λέγουσι καὶ ὅ, τι ποιοῦσιν. Ξε. ἀπ. 3, 6, 17. Τῶν λεγόντων ὑπενοεῖτε ὡς ἕνεκα τῶν αὐτοῖς ἰδίᾳ διαφόρων λέγουσιν. Θ. 1, 68, 2. Οὐδὲν παυόμεθα ἀγνοοῦντες ἀλλήλων ὅ, τι λέγομεν. Πλ. Γο. 517, c. Τοῦ οἴκαδε πλοῦ διεσκόπουν ὅπῃ κομισθήσονται. Θ. 1, 52, 2. [Τῆς μητρὸς ἥκω τῆς ἐμῆς φράσων ἐν οἷς νῦν ἐστιν. Σο. Τρ. 1122.] (Τοῦτο ἄξιον ἐπαινεῖν τῶν ἀνδρῶν ὅτι τὸν φόβον διέλυσαν τῶν Ἑλλήνων. Πλ. Μενέξ. 241, b.) Vgl. Hermann z. Vig. p. 878, Buttmann z. So. Phi. 439 u. G. T. A. Krüger die Attraction S. 163 ff.

A. 9. Bei θαυμάζειν und ἄγασθαι steht nicht nur in dieser Verbindung, sondern auch ganz unabhängig der Ge. sowohl persönlicher als sachlicher Begriffe, indem als ihn bestimmendes Objekt ein unbestimmtes Etwas bloß vorschwebt; daneben auch der Ac. [dieser angeblich, besonders bei

θαυμάζειν, da, wo etwas beifällig, jener, wo es mißfällig zu bezeichnen ist. vgl. Ammon. p. 68, Lennep z. Phal. p. 353, a u. Ruhnken z. Tim. p. 8.] Εἰ ἄγασαι τοῦ πατρὸς ἢ ὅσα βεβούλευται ἢ ὅσα πέπραγε, πάνυ σοι συμβουλεύω τοῦτον μιμεῖσθαι. Ξε. Κυ. 3, 1, 15. Τῶν κατηγόρων θαυμάζω οἳ ἀμελοῦντες τῶν οἰκείων τῶν ἀλλοτρίων ἐπιμελοῦνται. Λυ. 25, 1. — Οὐ θαυμάζω τῶν ὑπὲρ τῆς ἰδίας δόξης ἀποθνήσκειν ἐθελόντων. Ἰσ. 6, 93. Θαυμάζω μάλιστα τούτου τῆς διανοίας. Λυ. 3, 44. — Ἐθαύμαζον τοὺς Κορινθίους πρύμναν κρουομένους. Θ. 1, 51, 1. — Ἄγαμαί σου διότι οὐκ ἀργυρίου καὶ χρυσίου θησαυροὺς προείλου κεκτῆσθαι μᾶλλον ἢ σοφίας. Ξε. ἀπ. 4, 2, 9. — Ἠγάσθην αὐτοῦ εἰπόντος ταῦτα. Πλ. πολ. 329, e. Ἄξιον ἄγασθαι τῶν γιγνομένων. Πλ. Γο. 526, a. — Ἄγαμαι τὴν τούτου φύσιν. Πλ. συ. 219, d.

A. 10. Eben so findet sich bei πυνθάνεσθαι fragen, erfahren [z. Xe. An. 4, 6, 17], ἀποδέχεσθαι annehmen und mehreren Verben der Auffassung der persönliche Ge. vor einem Satze vgl. A. 8. (wie neben dem Ac., dem No. bei Passiven.) Ἐγὼ βούλομαί σου πυθέσθαι τί ποτε πράττων καλὸς κἀγαθὸς κέκλησαι. Ξε. οἰκ. 7, 2. Οὐκ ἀποδέχομαι ἐμαυτοῦ ὡς ἐπειδὰν ἑνί τις προσθῇ ἕν, δύο ἐγένετο. Πλ. Φαίδ. 96, e. Ἴσως οὐ μανθάνετέ μου ὅ, τι λέγω. Πλ. Λάχ. 189, e. Οὐκ αἰσθάνομαί σου ὁποῖον νόμιμον λέγεις. Ξε. ἀπ. 4, 4, 13. Νεώτερος ὢν καὶ ἀπειρότερος τούτων πρότερον ἄκουε τί λέγουσιν. Πλ. Λάχ. 181, d. — (Πέπυσμαι ταῦτα τῶν σάφ' εἰδότων. Ἀρ. θε. 596. Ἠκροῶντο πολλοὶ αὐτοῦ ταῦτα. Ξε. Ἑλ. 7, 3, 3. Τούτων τοιούτους ἀκούω λόγους. Δη. 37, 8. — Τῶν κρατούντων ἐστὶ πάντ' ἀκουστέα. Σο. Ἠλ. 340.)

A. 11. Bei ἀκροᾶσθαι und ἀκούειν [poetisch κλύειν], selten συνιέναι und ἀποδέχεσθαι steht auch der Ge. der Person, ohne von einem Satze oder einem Ac. veranlaßt zu sein. Χρὴ μὴ μετὰ θορύβου καὶ χαλεπότητος ἀκροᾶσθαι τῶν ἀπολογουμένων. Ἰσ. 15, 20. Νέος ὢν ἀκούειν τῶν γεραιτέρων θέλε. Μέ. μο. 384. Κακὸν ἄλλων ἀκούειν δοῦλον ὄντα τῶν πέλας. Εὐ. Ἑλ. 733. [Κρεῖσσον τῶν ἐναντίων κρατεῖν ἢ δοῦλον αὐτὸν ὄντα τῶν πέλας κλύειν. Σο. Ἀλε. 106 (83).] (Ἕλληνες ὅσοι ἀλλήλων ξυνίεσαν ἐκλήθησαν. Θ. 1, 3, 4. Πρᾴως ἀποδεχώμεθα ἀλλήλων Πλ. νό. 634, c.

A. 12. Bei ἀκούειν, ἀκροᾶσθαι, αἰσθάνεσθαι [συνιέναι, πυνθάνεσθαι] kann der Ge. auch ein sachlicher Begriff sein, insofern die Wirkungskraft des Objekts zu bezeichnen ist, während der bloß percipierte Inhalt durch den Ac. ausgedrückt wird. Ὄνος λύρας ἤκουε καὶ σάλπιγγος ὗς. παροι. Στ. 4, 44. Βροντῆς ἀκούσας μηδαμῶς πόρρω φύγῃς. Φιλή. Στο. p. LXV. Τῆς Δημοσθένους ἀκούων κατηγορίας οὐκ ἔδεισα. Αἰ. 2, 4. Εὐνοϊκῶς ἀκροάσασθε τῶν λεγομένων. Δη. 43, 2. Ὅμιλος λόγου μιᾷ γνώμῃ οὐκ ἀκροᾶται. Θ. 6, 17, 3. Φωνῆς ἀκούειν μοι δοκῶ. Ἀρ. εἰρ. 61. Τούτων οὐδεὶς οὐδενὸς ὀσμῆς πώποτε ᾔσθετό τινος. Πλ. Τίμ. 66, d. [Λόγου συνήσειν ἔμελλεν. Πλ. Τίμ. 71, a. Χρῇ μοι τοιαῦθ' ὁ Φοῖβος ὧν πεύσει τάχα. Σο. Ἠλ. 35.] — Τὸ σοὶ δοκοῦν ἡδέως ἂν ἀκούοιμι. Πλ. πολ. 487, d. Ἐμοὶ δοκοῦσιν ἄνθρωποι παντάπασι τὴν τοῦ Ἔρωτος δύναμιν οὐκ ᾐσθῆσθαι. Πλ. συ. 189, c. Über πυνθάνεσθαι mit dem Ac. z. Th. 7, 18, 1.

A. 13. In Verbindung mit dem Particip finden sich mit dem Ge. nicht nur diese Verba (10 A. 10 ff.) sondern auch μανθάνειν, γιγνώσκειν u. ä.: eine Art von absolutem Ge. vgl. § 56, 7, 7, z. Th. 4, 6, 1 u. Herm. de ell. p. 155. Τῶν ἀπολογουμένων ἀποδέχεσθε λεγόντων τὰς σφετέρας αὐτῶν ἀρετάς. Λυ. 14, 24. Λέγοντος ἐμοῦ ἀκροάσονται οἱ νέοι. Πλ. ἀπ. 37, a. Οὐδενὸς ἥδιον ἀκούω ἢ λόγου διεξιόντος ἀνδρῶν ἀρετάς. Ἰσ. 12, 136. Τὸ μανθάνειν ἥδιστον εὖ λέγοντος, εἰ κέρδος φέρει. Σο. Ἀντ. 1032. Εὖ λέγοντος τοῦ Δελφικοῦ γράμματος οὐ ξυνίεμεν. Πλ. Ἀλκ. α, 132, c. [Ἐπύθοντο τῆς Πύλου κατειλημμένης. Θ. 4, 6, 1.] Οὐκ ᾐσθάνοντο προσιόντων τῶν πολεμίων. Ξε. Ἑλ.

4, 2, 19. Εἰ γιγνώσκεις ἐμοῦ φθεγγομένου, δήλωμά σοι γίγνεται παρ' ἐμοῦ. Πλ. Κράτ. 435, a.

A. 14. Ähnlich wie bei ἀκούειν steht bei den Verben des Geruches der Ge. des Geruchstoffes; bei ὄζει (er und unpersönlich es riecht nach —) außer diesem auch der Ge. des Gegenstandes, der den Geruch an sich hat; das eig. percipierte Objekt (wie ὀσμήν, ἡδύ, κακόν vgl. § 46, 5, 6) im Ac. Κρομμύων ὀσφραίνομαι. Ἀρ. βά. 654. Αὗται μὲν ὄζουσ' ἀμβροσίας καὶ νέκταρος. Ἀρ. Ἀχ. 196. Ὄζει τῶν ἰχνῶν. Ξε. Κυν. 5, 7. Τῆς κεφαλῆς ὄζω μύρου. Ἀρ. ἐκ. 524. Vgl. Dobree z. Ar. Pl. 1021.

11. Bei den Begriffen des **Gedenkens** und **Vergessens**, des **Sorgens** und **Vernachlässigens** steht der Ge., insofern das Objekt die Thätigkeit in Anspruch nimmt. *Προςήκει τοῦ συμφέροντος ἐνθυμεῖσθαι.* ᾿Ισ. 4, 184. *Ἄνθρωπος ὢν μέμνησο τῆς κοινῆς τύχης.* Μέ. μο. 8. *Τῶν απόντων φίλων μέμνησο πρὸς τοὺς παρόντας, ἵνα δοκῇς μηδὲ τούτων ἀπόντων ὀλιγωρεῖν.* ᾿Ισ. 1, 26. *᾿Εν πᾶσι τοῖς ἔργοις οὐχ οὕτω τῆς ἀρχῆς μνημονεύομεν ὥςτῆς τελευτῆς αἴσθησιν λαμβάνομεν.* ᾿Ισ. 1, 47. *Τῶν αὐτῶν ἐστι τούς τε κακοὺς τιμᾶν καὶ τῶν ἀγαθῶν ἀμνημονεῖν.* Λυ. 31, 25. *Τῶν νουθετικῶν λόγων ἐπιλαθόμενον οὐδὲν θαυμαστὸν καὶ τῆς σωφροσύνης ἐπιλαθέσθαι.* Ξε. ἀπ. 1, 2, 21. *῾Η τοῦ θεοῦ φρόνησις ἅμα πάντων ἐπιμελεῖται.* Ξε. ἀπ. 1, 4, 17. *Τί ἡμῖν τῆς τῶν πολλῶν δόξης μέλει; τῶν ἐπιεικεστάτων μᾶλλον ἄξιον φροντίζειν.* Πλ. Κρίτ. 44, b. *Τῶν νόμων ἐντρέπου.* Πλ. Κρίτ. 52, d. *῾Εαυτοῦ κήδεται ὁ προνοῶν ἀδελφοῦ.* Ξε. Κυ. 8, 7, 15. *Πονηρός ἐστι προστάτης ὅστις τοῦ παρόντος χρόνου ἐπιμελεῖται, ἀλλὰ μὴ καὶ τοῦ μέλλοντος προνοεῖται.* Ἀνδ. 4, 12. *Τοῖς σπουδαίοις οὐχ οἷόν τε τῆς ἀρετῆς ἀμελεῖν.* ᾿Ισ. 1, 48. *Οἱ ψόγου ἀφροντιστεῖν ἐθιζόμενοι οὐκ αἰσχύνονται αἰσχρόν τι ποιεῖν.* Ξε. συ. 8, 33. *Μηδενὸς ὀλιγωρεῖτε μηδὲ καταφρονεῖτε τῶν προςτεταγμένων.* ᾿Ισ. 3, 48. Über *περί* § 68, 31, 2.

A. 1. ᾿Ενθυμεῖσθαι hat den Ge., wenn es auf etwas **Rücksicht**, **Bedacht** nehmen, den Ac., wenn es **bedenken**, **erwägen** bedeutet. ᾿Ενεθυμοῦντο τάς τε ἐν ταῖς μάχαις συμφορὰς καὶ τοῦ θεοῦ χρήσαντος. Θ. 5, 32, 1.

A. 2. Auch die **Verba** des **Erinnerns** und **Vergessens** haben den **Ac.**, meist der **Sache** (wie auch ἐνθυμεῖσθαι), insofern das Objekt als Inhalt der Vorstellung zu denken ist. Ἆρ' οἷόν τε τὸν αὐτὸν τὸ αὐτὸ μεμνῆσθαι ἅμα καὶ μὴ εἰδέναι; Πλ. Θε. 166, a. [Οὐ δεινοί ἐστε τοὺς ἀδικοῦντας μεμνῆσθαι. Δη. 6, 30.] ᾿Εὰν τὰ παρεληλυθότα μνημονεύῃς, ἄμεινον περὶ τῶν μελλόντων βουλεύσει. ᾿Ισ. 2, 35. — Οὐκ ἀμνημονεῖ τὰς ὑποσχέσεις. Δη. 6, 12. Τὰς τύχας τὰς κακὰς ἐπελάθοντο, τὰς δὲ μὴ κακὰς ἔσωζον. Εὐ. ῾Ελ. 264.

A. 3. Demnach haben die Aktiva (ἀνα-, ὑπομιμνήσκειν) doppelte Konstruktion: τινά τινος und (gew.) τινά τι (meist d. Neutr. eines Adj. oder Pronomen). Μή μ' ἀναμνήσῃς κακῶν. Εὐ. Ἄλκ. 1045. Ἀναμνήσω ὑμᾶς τοὺς τῶν προγόνων κινδύνους. Ξε. ἀν. 3, 2, 11. Βούλομαι ὀλίγα ἑκατέρους ἀναμνήσας καταβαίνειν. Λυ. 12, 92. — Ἀναγκαῖον ὑπολαμβάνω μικρὰ τῶν γεγενημένων ὑμᾶς ὑπομνῆσαι. Δη. 3, 4. Γεγονὸς πρᾶγμα ὑμᾶς ὑπομνήσω. Δη. 23, 104.

A. 4. Auch bei diesen Verben erscheinen Accusative wie τὶ, οὐδὲν, μικρόν, πολλά vgl. § 46, 5, 9. Δεῖ καὶ γυναικείας τι ἀρετῆς μνησθῆναι. Θ. 2, 45, 2. Σὺ μνημονεύεις οὐδὲν ὧν ἐχρῆν φίλου. Εὐ. ἀδ. 50 (736) 2. Πολλὰ τῶν παρεληλυθότων πόνων ἐμνημόνευον. Ξε. ἀν. 4, 3, 2. Μέλει τι τῶν ἀνθρωπίνων τοῖς θεοῖς πραγμάτων. Ἰσ. 15, 321. Πολλοὶ νομίζουσι τοὺς θεοὺς φροντίζειν οὐδὲν τῶν ἀνθρωπίνων. Πλ. νό. 888, c. Ὁμοίως ἀγαθὸς πολίτης ἐστὶν ὃς ἂν τοῦ σώματός τι καὶ τῆς οὐσίας προνοῆται. Θ. 6, 9, 2. Οὐδὲ μικρὸν ἀμελήσω τοῦ δαιμονίου. Ξε. ἀπ. 4, 3, 15. Vgl. z. Th. 6, 41, 2.

(A. 5. Μέλειν findet sich auch zuweilen mit dem Nominativ. Πολλοῖς τὸ πλεονεκτεῖν μόνον ἔμελεν. Ξε. Ἑλ. 2, 4, 10. Ἑορταὶ πᾶσι μέλουσιν. Πλ. νό. 835, e.)

A. 6. Wie μέλει so hat auch μεταμέλει den Ge. Τῇ πόλει πολλάκις ἤδη μετεμέλησε τῶν κρίσεων τῶν μετ' ὀργῆς γενομένων. Ἰσ. 15, 19.

12. Gleichfalls possessiv steht der Ge. bei Begriffen, die ein Berühren oder das Gegenteil bezeichnen, in eigentlicher wie in uneigentlicher Bedeutung. So zunächst bei Verben, die ein Anfassen, Anschließen, Anhalten bezeichnen, besonders bei vielen Medien. *Ἤθους δικαίου φαῦλος οὐ ψαύει λόγος. Μέ. μο. 214. Πυρός ἐστι θιγόντα μὴ εὐθὺς καίεσθαι, ὅμως δὲ ἔγωγε οὔτε πυρὸς οὔτε ἔρωτος ἑκὼν εἶναι ἅπτομαι. Ξε. Κυ. 5. 1, 15. Διεκελεύοντο ἀνθάπτεσθαι τῶν πραγμάτων. Θ. 8, 97, 2. Τὸ ποιητικὸν γένος πολλῶν τῶν κατ' ἀλήθειαν γιγνομένων ἐφάπτεται. Πλ. νό. 682, a. Ἐλάβετο τῆς χειρὸς αὐτοῦ. Ξε. Ἑλ. 4, 1, 38. Ἕως ἐστὶ καιρός, ἀντιλάβεσθε τῶν πραγμάτων. Δη. 1, 20. Πονηρὰ φύσις μεγάλης ἐξουσίας ἐπιλαβομένη δημοσίας ἀπεργάζεται συμφοράς. Αἰ. 3, 147. Νόμων ἔχεσθαι πάντα δεῖ τὸν σώφρονα. Μέ. μο. 380. Οἱ ἀγαθοὶ τοὺς κακοὺς ἰδόντες ἀτιμασθέντας εὐθυμότερον τῆς ἀρετῆς ἀνθέξονται. Ξε. Κυ. 2, 2, 27. (Ἄγει τῆς ἡνίας τὸν ἵππον. Ξε. ἱπ. 6, 9. Τοὺς γλιχομένους τοῦ ζῆν κατασπᾷ τοῦ σκέλους ἄκοντας ὁ Χάρων ἐπὶ τὸ πορθμεῖόν τ' ἄγει. Ἀντιφάνης* 86, 3. vgl. Dial. Sy. A. 3 u. 4.)

A. Hieher gehört auch πειρᾶσθαί τινος; dagegen πειρᾶν γυναῖκα, wiewohl πειρᾶν auch mit dem Ge. örtlicher Begriffe für πειρᾶσθαι gebraucht wird. Ἔργῳ ἐπειρῶντο τοῦ τείχους. Θ. 2, 81, 2. Οὕτως ἄμεινον μὴ πεπειρᾶσθαι καλῶν. Εὐ. Βελλ. 20 (287), 18. Ἐπείρασαν τοῦ χωρίου. Θ. 1, 61, 3. Τὰς καλὰς οὐ πειρᾶν δεῖ. Ξε. Ἱέρ. 11, 11.

13. So ferner bei den entgegengesetzten Begriffen der Sonderung und Entfernung, des Abhaltens, Lösens und Loslassens, der Befreiung und des Entziehens. *Ἡ νῆσος οὐ πολὺ διέχει τῆς ἠπείρου. Θ. 3, 51, 3. Πᾶσα ἐπιστήμη χωριζομένη ἀρετῆς πανουργία. Πλ. Μενέξ. 246, e. Ἄλγος γυναιξὶν ἀνδρὸς εἴργεσθαι τέκνον. Αἰσ. Χο. 920 (908). — Ἔχει τοὺς πολεμίους τῆς εἰς τὸ πρόσθεν προόδου. Ξε. Κυ. 7, 1, 36. Τούτους τῆς ἄγαν κολακείας ἐπισχήσετε. Δη. 45, 88. Ἑλληνικοῦ πολέμου ἔσχον οἱ Ἀθηναῖοι. Θ. 1, 112, 1. Ἐπέσχον τῆς τειχίσεως. Ξε. Ἑλ. 6, 5, 4.* Über den Ac. z. Th. 2, 76, 1. vgl. Dem, 21, 12.] — *Λῦσόν με δε-*

σμῶν. *Εὐ.* *Ἀνδρομέδα* 7 (129.) *Σὺ οὐκ ἀνίῃς μωρίας.* *Εὐ.* *Μηδ.* 456. *Τῶν ἀναγκαίων γυμνασίων μεθίενται.* *Πλ.* *πολ.* 537, b. *Οἱ ταῦροι ἐκτεμνόμενοι τοῦ μὲν μέγα φρονεῖν καὶ ἀπειθεῖν ἱφίενται. τοῦ δὲ ἰσχύειν καὶ ἐργάζεσθαι οὐ στερίσκονται.* *Ξε.* *Κυ.* 7, 5, 62. — *Θησεὺς τὰς Ἀθήνας δεινοῦ προστάγματος ἠλευθέρωσεν.* *Ἰσ.* 10, 28. *Εἴ τις περιέλοιτο τῆς ποιήσεως τό τε μέλος καὶ τὸν ῥυθμὸν καὶ τὸ μέτρον, λόγοι γίγνονται τὸ περιλειπόμενον.* *Πλ.* *Γο.* 502, c. *Ἀναξίβιος τῶν Αἰολίδων πόλεων παρεσπᾶτό τινας τοῦ Φαρναβάζου.* *Ξε.* *Ἑλ.* 4, 8, 33. — *Ἔνδηλα πάντα ἐστὶν ἐν τῇ ψυχῇ, ἐπειδὰν γυμνωθῇ τοῦ σώματος.* *Πλ.* *Γο.* 524, d. (*Ἐψιλοῦτο ὁ λόφος τῶν ἱππέων.* *Ξε.* *ἀν.* 1, 10, 13. *Βούλου ἁμαρτημάτων τὴν ψυχὴν ὡς δυνατὸν καθαρεύειν.* *Στ.* 46, 59.)

A. 1. Hieher gehören viele mit ἀπό zusammengesetzte Verba. Τὰ μαθήματα ἀποτρέπει τοὺς νέους πολλῶν ἁμαρτημάτων. Ἰσ. 12, 27. Τὸ ἀποστῆναι χαλεπὸν φύσεος ἣν ἔχει τις ἀεί. Ἀρ. σφ. 1457. Ἀπάτης δικαίας οὐκ ἀποστατεῖ θεός. Αἰσ. ἀποσ. 273 (294). Ἀπέχει σταδίους μάλιστα ἡ Πύλος τῆς Σπάρτης τετρακοσίους. Θ. 4, 3, 2. Ἀνὴρ φιλότιμος ἐθέλει αἰσχρῶν κερδῶν ἀπέχεσθαι. Ξε. οἰκ. 14, 10. Ἀφῆκατ' αὐτὸν πάντων τῶν ἐγκλημάτων. Δη. 36, 10. Οὐδεὶς πώποτε ἑκὼν εἶναι τυραννίδος ἀφεῖτο. Ξε. Ἱέρ. 7, 11. Δοῦλος ὢν φοβεῖ τὸν Ἅιδην, ὅς σ' ἀπαλλάξει κακῶν; Εὐ. Ὀρ. 1522. [Heindorf z. Pl. Hipp. 25.] Κακίας ψυχῆς ἀπαλλάττεται ὁ δίκην διδούς. Πλ. Γο. 477, a. [Über μεθίστασθαι z. Th. 2, 67, 1.]

A. 2. Die Aktiva ἅπτειν, λαμβάνειν, ἔχειν (haben, halten), μεθιέναι erfordern (meistens) den Ac. So auch ἀνιέναι aufgeben und ἐπέχειν einstellen (hemmen). Ἀρχὴν διδομένην οὐκ ἀνεῖμεν. Θ. 1, 76, 2. Τὴν κατασκαφὴν ἐπέσχον. Θ. 5, 63, 3. Über ἅπτειν mit dem Ge. Th. 4, 100, 3 ἀνιέναι u. μεθιέναι τινός z. 5, 32, 3. vgl. Dawes Misc. p. 236. Dagegen Hermann z. So. El. 1269. Vgl. Porson z. Eu. Med. 734.

A. 3. Manche der hieher (R. 13 u. A. 1) gehörigen Verba werden auch mit ἀπό verbunden. So διέχειν, χωρίζειν, εἴργειν, ἀπέχειν, ἀφίστασθαι abfallen, z. B. (ἀπὸ) βασιλέως. Ἐλευθεροῦν mit einem persönlichen Objekt hat gew. ἀπό mit dem Ge.; doch τοῦ μουνάρχου Her. 5, 46, τυράννων 62, 1. vgl. z. Th. 7, 48, 6 E.

A. 4. Zu den Verben R. 13 gehört wohl auch φείδεσθαι. Τοῦ ἀκολουθεῖν ὅποι ἂν τις παρακαλῇ φείσεσθε. Ξε. Ἑλ. 7, 1, 24. Πολλοὶ χρημάτων δυνάμενοι φείδεσθαι πρὶν ἐρᾶν ἐρασθέντες οὐκ ἔτι δύνανται. Ξε. ἀπ. 1, 2, 22. Τῶν σωμάτων ἀφειδήσαντες ἔστησαν τρόπαια. Λυ. 2, 25.

A. 5. An eben diese Verba R. 13 schließen sich ferner die des Hinderns, Weichens und Zurückbleibens an. Οἱ Θετταλοὶ ἐκώλυον τὸν Ἀγησίλαον τῆς παρόδου. Ξε. Ἀγ. 2, 2. Παρὰ πᾶσιν ἀνθρώποις νομίζεται καὶ ὁδοῦ παραχωρῆσαι τὸν νεώτερον τῷ πρεσβυτέρῳ καὶ λόγων ὑπεῖξαι. Ξε. ἀπ. 2, 3, 16. Εἶπον τοῦ κήρυκος μὴ λείπεσθαι. Θ. 1, 131, 1. Οἱ ἐν ταῖς μοναρχίαις ὄντες οὐκ ἀπολείπονται τῶν καιρῶν. Ἰσ. 3, 19.

A. 6. Verwandt sind nicht minder die Begriffe der Verschiedenheit. Οὐκ ἔλαττον διέστηκεν ἡ τῶν ἐλευθέρων ἀρχὴ τῆς τῶν δούλων ἢ αὖ τὸ φύσει ἐλεύθερον τοῦ φύσει δούλου. Ἀρλ. πολ. 7, 3, 2. Πολὺ διαφέρειν οὐ δεῖ νομίζειν ἄνθρωπον ἀνθρώπου. Θ. 1, 84, 4. Χρὴ προσέχειν τὸν νοῦν, ὅπως ὅσονπερ ταῖς τιμαῖς τῶν ἄλλων προέχεις, τοσοῦτον καὶ ταῖς ἀρεταῖς αὐτῶν διοίσεις. Ἰσ. 2, 11.

A. 7. Ähnlich sind auch die Begriffe des Absetzens und Endigens [vgl. Xe. Kyr. 7, 5, 62]; bei denen des Anfangens ist der Ge. mehr relativ. [R. 21.] Εἰ καταλύειν πειράσεσθε τοῦτον τῆς ἀρχῆς, ἐμποδὼν ἀλλήλοις πολλῶν καὶ ἀγαθῶν ἔσεσθε. Ξε. Κυ. 8, 5, 24. Οἱ Ἀθηναῖοι τὸν Νικίαν οὐ παρέλυσαν τῆς ἀρχῆς. Θ. 7, 16, 1. Ἔπαυσαν Τιμόθεον τῆς στρατηγίας. Ξε. Ἑλ. 6, 2, 13. Πολὺ μεῖζόν με ἀγαθὸν ἐργάσει ἀμαθίας παύσας τὴν ψυχὴν ἢ νόσου τὸ σῶμα. [Πλ.] Ἱπ. μ. 372, e. Μάχεσθε κοὐ παύεσθε τῆς μοχθηρίας. Ἀρ. Λυ. 1160. Λῆγε τῶν πόνων ἔτι πονεῖν δυνάμενος. Ἰσ. 1, 14. Λωφᾷ τῆς ὀδύνης καὶ γέγηθεν. Πλ. Φαῖ. 251, d. Οὐδὲ τῆς ὀργῆς χαλᾶν εἴξασιν. Ἀρ. ὄρ. 383. Χαλεπώτατον λόγου τελευτᾶν. Θ. 3, 59, 3. Ἄρχειν μηδενὸς μήτε λόγου μήτε ἔργου ἀδίκου φημὶ δεῖν. Δη. 14, 41. Ἔρχονται οἱ πολέμιοι ἄρχοντες ἀδίκων χειρῶν. Ξε. Κυ. 5, 1, 13. Πειρᾶσθε σὺν τοῖς θεοῖς ἄρχεσθαι παντὸς ἔργου. Ξε. Οἰ. 6, 1. Παρὰ πᾶσιν ἀνθρώποις νομίζεται τὸν πρεσβύτερον ἡγεῖσθαι παντὸς καὶ ἔργου καὶ λόγου. Ξε. ἀπ. 2, 3, 15. [Über ἀρχῆς Th. 5, 100; ἔκ τινος Pflugk z. Eu. Med. 46.]

[A. 8. Analog dem Ac. des Inhaltes vgl. § 46, 6, 2 finden sich auch Ausdrücke wie κατάρχειν λόγον Pl. Euthyd. 283, a, κατάρχεσθαι νόμον Eu. Hek. 684, ὑπάρχειν εὐεργεσίαν Aisch. 2, 26, ἐξάρχειν παιᾶνα Xen. öfter. Daneben προϋπάρχειν τῷ ποιεῖν εὖ Dem. 20, 46 vgl. z. Th. 2, 67, 4.]

A. 9. Ἄρχεσθαι ἀπό oder ἔκ τινος heißt mit etwas oder jemand den Anfang machen, incipere ab —. Entsprechend sagte man ἄρχεσθαι ἐντεῦθεν, ἐνθένδε, πόθεν, (ἄλλοθεν) ποθέν, ὅθεν, ὁπόθεν (inde, unde). Ἀπὸ τῶν ὁμολογουμένων ὑφ' ἁπάντων ἄρξομαι διδάσκειν. Δη. 8, 63. Πόθεν χρὴ ἄρξασθαι τῆς ἀπολογίας; πότερον ἐκ τῶν τελευταίων λόγων; Ἀνδ. 1, 8. Μικρὸν ἄνωθεν ἄρξομαι διδάσκειν ὑμᾶς. Αἰ. 1, 170.

A. 10. Bei den Verben des Beraubens steht (neben dem Ac. der Person beim Aktiv) das sachliche Objekt, das auch eine Person sein kann, im Ac., insofern es bloß als Inhalt der Handlung (das Entziehen) dargestellt wird; im Ge., insofern es als dem persönlichen Objekt (oder Subjekt beim Passiv) als eigentümlich zukommend gedacht wird (Anrecht, Anspruch), welche Konstruktion daher bei στερίσκειν, ἀποστερεῖν, στέρεσθαι ihrer Bedeutung gemäß vorherrschend ist. Τὴν θεὸν τοὺς στεφάνους σεσυλήκασιν. Δη. 24, 182. Τὸ ἥμισυ τῆς κατηγορίας ἐμαυτὸν ἀπεστέρησα. Ἀντ. 3, γ, 2. Πόσων ἀπεστέρησθε; οὐχὶ Φωκέας; οὐ Πύλας ἔχει; Δη. 8, 63. Τὰ στερόμενα τῆς αὐτῶν ἀρετῆς κακῶς τὸ αὐτῶν ἔργον ἐργάσεται. Πλ. πολ. 353, c. Τὸν ἀποστεροῦντα τοὺς δεσπότας ἑαυτοῦ κολάζειν. Ξε. Κυ. 3, 1, 11. [Ἄλλου αὐτὸν ἀποστερῶν ἀσφαλείας δεῖται. Θ. 1, 40, 2 u. dort Kr. Vgl. z. Th. 1, 70, 4. 6, 91, 6.]

A. 11. Der Bedeutung des Wortes gemäß sagte man gewöhnlich ἀφαιρεῖσθαί τινά τι; daneben aber auch τινός τι [selten τινά τινος]. Τοὺς δασμοφόρους τὰ ὅπλα ἀφῃρήμεθα. Ξε. Κυ. 7, 5, 79. Οἱ πλεονέκται τῶν ἄλλων ἀφαιροῦνται χρήματα. Ξε. ἀπ. 1, 5, 3. [Τῆς δωρεᾶς ἀφηρέθη. Δη. 20, 82.

14. Wie die Verba der Berührung haben den Ge. auch *στοχάζεσθαι* zielen, *ἐξ-* und *ἐφικνεῖσθαι* erreichen, *τυγχάνειν* treffen [poet. *κυρεῖν*], *ἁμαρτάνειν* verfehlen; eben so auch in der uneigentlichen Bedeutung; und mit ihnen die sinnverwandten, die ein Streben, Erlangen oder das Gegenteil bezeichnen. *Δεῖ θνητὸν ὄντα τῆς τῶν θεῶν στοχάσασθαι διανοίας. Ἰσ. 1, 50. Τί τῆς κακίστης δαιμόνων ἐφίεσαι, φιλοτιμίας; Εὐ. Φοί. 531. Δόξειεν ἂν εἶναι ἡ ὀλιγαρχία φιλαρχία τις ἰσχυρῶς κράτους γλιχομένη. Θεόφ. χαρ. 26. Οἷς μάλιστα τὰ παρόντα ἀρκεῖ ἥκιστα τῶν ἀλλοτρίων ὀρέγον-*

ται. Ξε. συ. 4, 42. Ἡ ἐπιστήμη τῆς ἀληθείας ἀντέχεται. Πλ. Φιλ. 58, e. Πρέπει τοὺς παιδείας ἀντιποιουμένους τῶν σπουδαίων εἶναι μιμητάς. Ἰσ. 1, 2. Κατορθοῦντες τῆς ξυνέσεως μεταποιοῦνται. Θ. 1, 140, 2. Τῶν μαθημάτων πάλαι ἐπιθυμῶ. Ξε. ἀπ. 2, 6, 30. Τοῦ ζῆν γὰρ οὐδεὶς ὡς ὁ γηράσκων ἐρᾷ. Σο. Ἀκρ. 64 (63). Πεινῶσι τοῦ ἐπαίνου οὐχ ἧττον ἔνιαι τῶν φύσεων ἢ ἄλλαι τῶν σίτων καὶ ποτῶν. Ξε. οἰκ. 13, 9. Δημοκρατουμένη πόλις ἐλευθερίας διψήσασα κολάζει. Πλ. πολ. 562, d. Προσήκει τοῖς ἀμφισβητοῦσιν ἀρετῆς εὐθὺς ἀπὸ γενεᾶς διαφέροντας εἶναι τῶν ἄλλων. Ἰσ. 12, 120.

Δικαιότατον μὴ τοὺς ἀνομοίους τῶν ὁμοίων τυγχάνειν. Ἰσ. 3, 14. [Εἴ τις κυρεῖ γυναικὸς ἐσθλῆς εὐτυχεῖ κακὸν λαβών. Εὐ. Κρῆσ. 2 (66), 4. Αἱ διὰ καρτερίας ἐπιμέλειαι τῶν καλῶν τε κἀγαθῶν ἔργων ἐξικνεῖσθαι ποιοῦσιν. Ξε. ἀπ. 2, 1, 20. Μετρίων ἐν εἰρήνῃ τις καὶ πολιτείᾳ δύναιτ' ἂν ἐφικέσθαι, εὐνοίας, δικαιοσύνης, ἐπιμελείας. Δη. 20, 122. Τοῦ ἀσφαλοῦς ἀντελάβοντο. Θ. 3, 22, 5. Ἐπελάβοντο χωρίων χαλεπῶν. Ξε. Ἑλ. 6, 5, 52. Τιμῆς τῆς προσηκούσης παρ' ἑκάστῳ τῶν χρωμένων λαγχάνει. Πλ. νό. 775, e. Πρέπει τοὺς παῖδας τῆς φιλίας τῆς πατρικῆς κληρονομεῖν. Ἰσ. 1, 2. [Lobeck z. Phryn. p. 129.]

Γυνὴ ἀνδρὸς ἁμαρτάνει βίου. Εὐ. Ἀνδρ. 373. Πάντες ἀποτυγχάνουσι τοῦ δοκεῖν εἶναι δίκαιοι. Πλ. σοφ. 265, c. Τῶν δικαίων οὐδενὸς ἀτυχήσεις. Ξε. Ἑλ. 3, 1, 22. Σφαλεὶς τῆς ἀληθείας κείσομαι περὶ ἃ ἥκιστα δεῖ σφάλλεσθαι. Πλ. πολ. 451. a. Τὸ ἐψεῦσθαι τῆς ἀληθείας κακόν. Πλ. πολ. 413, a.

A. 1. Die dem τυγχάνειν treffen ähnlichen Begriffe ἀκοντίζειν, βάλλειν verbinden die Prosaiker mit Präpositionen, wie ἀκοντίζειν εἰς τοὺς ναύτας, βάλλειν ἐπὶ τὸν σκοπόν, oder insofern die Verletzung zu bezeichnen ist, mit dem Ac., wie τοξεύειν θηρίον. [Σκοπὸν ἀκοντίζειν Ant. 3, γ, 6. vgl. Th. 3, 111, 2.]

A. 2. Ἐν- und συντυγχάνειν, παρα- und περιτυγχάνειν haben den Dativ; meist auch ἐπιτυγχάνειν, was jedoch an einigen Stellen auch mit dem Ge. vorkommt, insofern ein Interesse zu bezeichnen ist (nanciscor). Vgl. z. Th. 3, 3, 4 u. Xe. Oik. 2, 3. 12, 20. Ἐπιλήσμονι ἐνέτυχες. Πλ. Πρω. 334, d. Αἰδοῦς ἐνεπίμπλατο, ὥστε καὶ ἐρυθραίνεσθαι, ὁπότε συντυγχάνοι τοῖς πρεσβυτέροις. Ξε. Κυ. 1, 4, 4. Χαλεπὸν ἀναμαρτήτως τι ποιήσαντα μὴ ἀγνώμονι κριτῇ περιτυχεῖν. Ξε. ἀπ. 2, 8, 5. Ποιεῖν τὸ παρατυγχάνον ἀεὶ αὐτῷ δεῖ. Ξε. Ἱππ. 9, 1. Τὸ μὴ ζητοῦντα ἐπιτυχεῖν τινι τῶν δεόντων εὐτυχίαν οἶμαι εἶναι. Ξε. ἀπ. 3, 9, 14. Γυναικὸς ἀγαθῆς ἐπιτυχεῖν οὐ ῥᾴδιον. Δίφιλος 114 (5). [Ἐμοῦ κολαστοῦ προσέτυχεν. Σο. Ἠλ. 1463. Συνέτυχον κακῶν ἀνδρῶν Ἀτρειδῶν. Σο. Φι. 320. Vgl. Dial. Sy. A. 2.]

(A. 3. Selten und mehr dichterisch wird τυγχάνειν mit dem Ac. verbunden, z. B. τάδε Eur. Phoin. 1666 vgl. Ellendt, Lex. Soph. u. d. W.; nicht häufig mit einem doppelten Ge. [Kr. z. Xen. An. 1, 4, 15.] Über den

Prädikativsgenitiv vgl. § 57, 3, 1. 3. 5. Οἱ κυβευταὶ ἐὰν ἕν τι ἐπιτύχωσι, περὶ διπλασίων κυβεύουσιν. Ξε. Ἑλ. 6, 3, 16. Τὰς μετρίας ἐπιθυμίας ἐν ὀλίγοις ἐπιτεύξῃ. Πλ. πολ. 431, c. Ἐλάχιστα μὲν ἀποτετυχήκατε, πλεῖστα δὲ κατωρθώκατε. Ξε. Ἑλ. 7, 1, 5. — Ἀξιῶ ὑμῶν ξυγγνώμης τυγχάνειν. Θ. 7, 15, 2.

A. 4. Bei λαγχάνειν (er= und zulosen) steht oft der Ac., z. B. eines Geschäftes, Amtes, Rechtshandels. Ὁ δαίμων ὁ τὴν ἡμετέραν μοῖραν εἰληχὼς ἀπαραίτητος. Λυ. 2, 78. Τοὺς ἀτίμους οὐκ ἐᾷ ἀρχὴν λαχόντας ὁ νόμος ἄρχειν τῶν πέλας. Ἄλεξις 289 (265), 5. Χρὴ μηδενὶ λαχεῖν δίκην. Πλ. νό. 938, b.

A. 5. Bei den übrigen Verben des Strebens rc. findet sich zuweilen neben dem Ge. das substantivierte Neutrum eines Pronominaladjektivs im Ac. So auch ἁμαρτάνειν τι, ἔργον rc. begehen, sündigen. Ὁ ἐρῶν τῶν ἀγαθῶν τί ἐρᾷ; Γενέσθαι αὐτῷ. Πλ. συ. 204, d. Διεφθείροντο μάλιστα οἱ ἀρετῆς τι μεταποιούμενοι. Θ. 2, 51, 3. Καλὸν τὸ μηδὲν εἰς φίλους ἁμαρτάνειν. Γν. 522. Τὸ πολλὰ τολμᾶν πόλλ' ἁμαρτάνειν ποιεῖ. Μέ. μο. 724. (Τὸ παρανόμημά σφισι πρότερον ἡμάρτητο. Θ. 7, 18, 4. vgl. z. 2, 65, 7.)

A. 6. Φιλεῖν, das nicht wie ἐρᾶν den Begriff des Trachtens, Begehrens enthält, erfordert den Ac. wie auch ποθεῖν, beide bloß Bezeichnungen des Gefühls. Über ἀγαπᾶν und στέργειν § 48, 15, 8.

IV. Der Genitiv bei Verben des Anteiles und Genusses, des Mangels und der Fülle.

15. Wie die Begriffe des Erlangens haben den Ge. auch die des Anteiles und Genusses (material). *Προσήκει τῆς ἐπιστήμης μεταλαγχάνειν. Πλ. πολ.* 429, a. *Τὸ ἀνθρώπινον γένος μετείληφεν ἀθανασίας. Πλ. νό.* 721, c. *Ἀνθρώπου ψυχὴ τοῦ θείου μετέχει. Ξε. ἀπ.* 4, 3, 14. *Ἐν ὀλιγαρχίᾳ πένησιν οὐ μέτεστιν ἀρχῆς. Πλ. πολ.* 550, c. *Δι' ἑρμηνείας πάντων τῶν ἀγαθῶν μεταδίδομέν τε ἀλλήλοις διδάσκοντες καὶ κοινωνοῦμεν. Ξε. ἀπ.* 4, 3, 12. (*Σωκράτης ἀφθόνως ἐπήρκει τῶν ἑαυτοῦ. Ξε. ἀπ.* 1, 2, 60. *Ἡμῖν τοι ὀλίγου ἀξίου γέλωτος ἐπιδαψιλεύῃ. Ξε. Κυ.* 2, 2, 15.) *Πάντες κεκοινωνήκατε τῆς φιλοσόφου μανίας. Πλ. συ.* 218, d. *Συλλήψομαί γε τοῦδέ σοι κἀγὼ πόνου. Εὐ. Μήδ.* 946. *Ὀλιγαρχία τῶν μὲν κινδύνων τοῖς πολλοῖς μεταδίδωσι, τῶν δ' ὠφελίμων οὐ πλεονεκτεῖ μόνον, ἀλλὰ καὶ ξύμπαν ἀφελομένη ἔχει. Θ.* 6, 39, 2. *Μειονεκτεῖ ὁ τύραννος τῶν εὐφροσυνῶν. Ξε. Ἱέρ.* 1, 29. *Ἀνδρὶ ἥττονι τῶν διὰ τοῦ σώματος ἡδονῶν πάμπαν οὐδεμιᾶς προσήκει ἀρετῆς. Ξε. ἀπ.* 4. 5, 11.

Τῶν λόγων ὑμᾶς Λυσίας εἱστία. Πλ. Φαῖ. 227, b. *Ἐπιτηδεύματά ἐσθ' ὑμῖν γεύοντα τῶν ἡδονῶν. Πλ. νό.* 634, a. *Εὐωχοῦ τοῦ λόγου. Πλ. πολ.* 352, b. *Ὅστις οὐκ εἴωθε γεύεσθαι πόνων φέρει μὲν ἀλγεῖ δ' αὐχέν' ἐντιθεὶς ζυγῷ. Εὐ. Ἑκ.* 375. *Οἱ ἀπολαύοντες τῶν σῶν ἀγαθῶν εὖνοί σοι γίγνονται. Ξε. οἰκ.* 12, 7. *Τῶν κηρίων ὅσοι ἔφαγον ἄφρονες ἐγίγνοντο. Ξε. ἀν.* 4, 7, 20. (*Ἄλλης δὴ κρήνης πίομαι ἢ ποταμοῦ. Θέογνις.* 962. Vgl. Her. 1, 188.)

A. 1. Der Ac. steht bei diesen Verben, bei μέτεστι und προςήκει der No., wenn nicht bloß ein Anteil, sondern das ganze Objekt zu denken ist, wo denn auch beide Kasus verbunden vorkommen. [z. Th. 1, 84, 3.] Τὸ πέμπτον μέρος οὐ μετείληφε τῶν ψήφων. Δεί. 1, 54. Εἰ πόλεμος μέγα κακὸν δοκεῖ, τούτου πλεῖστον μέρος οἱ τύραννοι μετέχουσιν. Ξε. Ἱέρ. 2, 7. [Heindorf z. Plat. Soph. 42.] — Νοῦ ἀνθρώπων γένος βραχύ τι μετέχει. Πλ. Τί. 51, e. Αἰδὼς σωφροσύνης πλεῖστον μετέχει. Θ. 1, 84, 3. Ἐν δημοκρατίᾳ μέτεστι πᾶσι τὸ ἴσον. Θ. 2, 37, 1. (Λογίζεσθαι ὀλίγοις τισὶ μέτεστιν. Πλ. πολ. 606, b.) — Κρέα εὐωχοῦ. Ξε. Κυ. 1, 3, 6. Εἰκὸς τοῦ βίου τι ἀπολαῦσαι. Θ. 2, 53, 3. Ἀπολαύουσί τι οἱ πολῖται ἀλλήλων ἀγαθόν. Ξε. πολ. Λ. 6, 1. Ὁ δεσπότης ἀπολαύει πάντα. Μέ. 571 (580). Über μεταδιδόναι τι Kr. z. Xe. An. 4, 5, 5.

[A. 2. Εὐωχεῖν ἰχθύσιν sagt Plat. Rep. 404, b, ἑστιᾶσθαι εὐωδίᾳ Xen. Symp. 2, 3. Ἀπολαύειν ἀνάγκη ἀπὸ τῶν ἀλλοτρίων εἰς τὰ οἰκεῖα. Πλ. πολ. 606, b.]

A. 3. Überhaupt findet sich bei Verben, die, wenn das ganze Objekt zu denken ist, den Ac. erfordern, der Ge. (mit dem Artikel), insofern ein unbestimmter Teil eines Ganzen zu denken ist (τί, τινάς, aber nicht τινά im Singular.) Οὐκέτι τῶν ἀλλοτρίων ἐπεθύμει, ἀλλ' ἐδίδου τῶν ἑαυτοῦ. Λυ. 2, 56. Ἀφίησι τῶν αἰχμαλώτων. Ξε. ἀν. 7, 4, 5. Ἔλαβε τοῦ βαρβαρικοῦ στρατοῦ. Ξε. ἀν. 1, 5, 7. (Τῆς γῆς ἔτεμον. Θ. 1, 30, 2. u. dort Kr.) Ἡ ἐπίκλυσις παρεῖλε τοῦ φρουρίου. Θ. 3, 89, 3. Ἢν τι κλέψωσι, τῶν ἑαυτῶν κλέψονται. Ξε. Κυ. 7, 4, 13. [Fischer z. Well. 3. p. 263. 376 ss. Heindorf z. Plat. Soph. 40. vgl. § 47, 9, 3 u. Kr. De auth. p. 47.] (Schol. Arist. Fri. 772.)

(A. 4. Wenn ein einzelnes Individuum zu denken ist, muß dem Ge. εἷς, τίς oder ein ähnliches Wort beigefügt werden.)

[A. 5. Selten tritt ein solcher Ge. für das Subjekt ein. Ἦσαν Ἄνδριοι καὶ Αἰγινητῶν τῶν ἐποίκων. Θ. 8, 69, 2. Vgl. Xen. Hell. 4, 2, 21, Kyr. 7, 4, 3, An. 3, 5, 16 vgl. z. Her. 3, 102, 1. 6, 58, 2, Arr. An. 3, 29, 4 und Schneider z. Plat. Rep. 382, c.]

(A. 6. Hieher gehört auch die Redensart κατεαγέναι und συντρίβειν τῆς κεφαλῆς, neben τὴν κεφαλήν. Τῆς κεφαλῆς κατέαγε περὶ λίθον πεσών. Ἀρ. Ἀχ. 1180. Ἠιτιῶντο τὸν Κρατῖνον συντρῖψαι τῆς κεφαλῆς αὐτῆς. Ἰσ. 18, 52. Συνετρίβη τῆς κεφαλῆς καταρρυείς. Ἀρ. εἰρ. 71. — Οὐδεὶς κατεάγη τὴν κεφαλήν. Λυ. 3, 14. Συντριβόμεθα τὰς κεφαλὰς ἅπαντες. Λυ. 3, 18.)

16. Ebenso steht der Ge. bei den (gegensätzlichen) Begriffen des Bedürfens und des Mangels so wie bei denen der Fülle (material). *Φρονήσεως δεῖ πολλῆς πρὸς τοὺς πλείους. Ξε. ἱπ.* 7, 4. *Τοῖς καλοῖς κἀγαθοῖς τῶν ἀνθρώπων οὐδὲν δεήσει πολλῶν γραμμάτων. Ἰσ.* 4, 78. *Ὁ μηδὲν ἀδικῶν οὐδενὸς δεῖται νόμου. Ἀντιφά.* 265 (288). *Τὰ τῶν ἱκανῶν ἐλλείποντα ὀλίγα ἐστίν. Ξε. Ἱέρ.* 4, 8. *Ἀρετῆς λειπόμενα πάντα καὶ κτήματα καὶ ἐπιτηδεύματα αἰσχρά. Πλ. Μενέξ.* 246, e. *Οἱ τύραννοι ἐπαίνου ἡδίστου ἀκροάματος οὔποτε σπανίζετε. Ξε. Ἱέρ.* 1, 14. *Οὐκ ἂν ἀποροῖ παραδειγμάτων. Πλ. πολ.* 557, d. *Φίλιππος χρημάτων εὐπόρει. Δη.* 18, 235. *Ἠπόρουν πολλαῖς ναυσὶ τῆς τροφῆς. Θ.* 8, 57, 1. *Ἔρως ἡμᾶς ἀλλοτριότητος μὲν κενοῖ, οἰκειότητος δὲ πληροῖ. Πλ. συ.* 197, d. *Δεῖ τοὺς ὀρθῶς πολιτευομένους οὐ τὰς στοὰς ἐμπιπλάναι τῶν γραμμάτων,*

ἀλλ' ἐν ταῖς ψυχαῖς ἔχειν τὸ δίκαιον. Ἰσ. 7, 41. *Μὴ πίμπλασθε τῶν περὶ τὸ σῶμα καλουμένων ἡδονῶν.* Πλ. πολ. 442, a. *Σεσαγμένος πλούτου τὴν ψυχὴν ἔσομαι.* Ξε. συ. 4, 64. *Μυρίων ἐναντιωμάτων ἡ ψυχὴ γέμει ἡμῶν.* Πλ. πολ. 603, d. *Ἐγέμισε τὴν ναῦν ξύλων.* Δη. 21, 168. *Ἐν πόλει εὖ οἰκουμένῃ ἄρξουσιν οἱ τῷ ὄντι πλούσιοι, οὐ χρυσίου, ἀλλ' οὗ δεῖ τὸν εὐδαίμονα πλουτεῖν, ζωῆς ἀγαθῆς τε καὶ ἔμφρονος.* Πλ. πολ. 521, a. *Ζήνων ἔλεγεν οὐδενὸς ἡμᾶς οὕτω πένεσθαι ὡς χρόνου.* Στ. 98, 68.

A. 1. Δεῖ es fehlt, bedarf wird nicht persönlich gebraucht. [In dem Verse οὐ ποικίλων δεῖ τἄνδιχ' ἑρμηνευμάτων Eur. Phoin. 470 ist τὰ ἔνδικα Ac.: eine poetische Konstruktion. vgl. Porson z. Eur. Or. 659.]

A. 2. Persönlich gebraucht heißt δέω ich ermangele und beschränkt sich auf die Verbindung mit dem Ge. numerischer Begriffe wie der Zahlen § 24, 2, 9, mit πολλοῦ, ὀλίγου, μικροῦ, τοσούτου ich bin weit entfernt &c. [auch τοσοῦτον vgl. Buttm. z. Plat. Men. 71, a]. Οὐ πολλοῦ δέω χάριν ἔχειν τῷ κατηγόρῳ. Λυ. 24, 1. Τῆς παιδείας τῆς ὑπὸ τῶν προγόνων καταλειφθείσης τοσούτου δέω καταφρονεῖν ὥστε καὶ τὴν ἐφ' ἡμῶν κατασταθεῖσαν ἐπαινῶ. Ἰσ. 12, 26. Οἱ Λακεδαιμόνιοι τῶν Ἑλλήνων ἐγένοντο προστάται τριάκοντα ἑνὸς δέοντα ἔτη. Δη. 9, 23.

A. 3. Eben so aber sagte man auch πολλοῦ, ὀλίγου, μικροῦ δεῖ es fehlt viel, daß. Πολλοῦ δεῖ τὰ φαινόμενα ἑκάστῳ ταῦτα καὶ εἶναι. Πλ. Θε. 158, a. Παντὸς δεῖ τὸ ὅμοιον τῷ ὁμοίῳ φίλον εἶναι. Πλ. Λύ. 215, e.

[A. 4. Demosthenisch ist die Formel οὐδὲ πολλοῦ δεῖ nicht einmal viel gefehlt, sondern Alles, d. h. auch nicht im Entferntesten, durch die meist eine vorhergehende Negation epanaleptisch urgiert wird. Οὐ δὴ Κόνων πιστός ἐστιν, οὐδὲ πολλοῦ δεῖ. Δη. 54, 40. Vgl. Schäfer z. Dem. 1 p. 520. 2 p. 447. 3 p. 95 s. u. Funkhänel in Jahns N. J. Suppl. I 357—367, Philol. VI 724 f.

[A. 5. Ungefähr in derselben Bedeutung gebraucht Demosthenes den entgegengesetzten Ausdruck οὐδ' ὀλίγου δεῖ nicht einmal wenig gefehlt, nicht einmal beinahe, οὐδ' ἐγγύς. Οὐδὲ τοὺς χρόνους ἴσον ἐστ' ἀδίκημα ὀλιγαρχίας ἢ τυράννου παρελέσθαι καὶ ὑμῶν οὐδ' ὀλίγου γε δεῖ. Δη. 19, 184. Schäfer z. Dem. 3 p. 96. 222?]

(A. 6. Auch ὀλίγου und μικροῦ allein heißen beinahe, wozu man gewöhnlich, vielleicht mit Unrecht, δεῖν ergänzt. [z. Th. 4, 124, 2.] Ἐν ταῖς ὀλιγαρχουμέναις πόλεσι πτωχοὺς ὁρᾷς ὀλίγου πάντας τοὺς ἐκτὸς τῶν ἀρχόντων. Πλ. πολ. 552, d. Μικροῦ γε ἃ μάλιστα μ' ἔδει πρὸς ὑμᾶς εἰπεῖν παρῆλθον. Δη. 19, 234.)

A. 7. Den Ge. der Person hat auch δεῖσθαι bitten; in beiden Bedeutungen den Ac. der Sache nach § 46, 5 u. A. 4. Vgl. Kr. z. Xe. An. 1 3, 4. 2, 3, 29. Δεήσομαι ὑμῶν μετρίαν δέησιν. Αἰ. 3, 61. Ταῦτ' ἔστιν ἃ ἐγὼ ὑμῶν δέομαι. Ξε. ἀν. 7, 2, 34. [Νῦν ἐμοὶ χάρισαι ὧν ἂν δεηθῶ σου. Ξε. Κυ. 5, 5, 35. Ἐδέοντο Κύρου ἄλλος ἄλλης πράξεως. Ξε. Κυ. 8, 3, 19. vgl. Her. 3, 157, 1. 5, 40. 81?]

(A. 8. Material findet sich der Ge. auch bei μεθύσκεσθαι und ῥεῖν [bei ῥεῖν auch der Da. u. Ac. vgl. Lobeck z. So. Ai. 40 p. 95]. Ἐμεθύσθη τοῦ νέκταρος. Πλ. συ. 203, b. Ἡ πηγὴ ῥεῖ μάλα ψυχροῦ ὕδατος. Πλ. Φαῖ. 230, b.)

V. Der Genitiv des Preises, Maßes, Bezuges, der Beschuldigung und bei Kompositen.

17. Dem Ge. des Betrages bei Substantiven (§ 47, 8, 1) entspricht der Ge. des Preises bei den Verben des Wertes und der

Schätzung, des Kaufes und Verkaufes u. ä. *Οἱ βάρβαροι Θεμιστοκλέα τῶν μεγίστων δωρεῶν ἠξίωσαν. Ἰσ.* 4, 154. *Οὐδὲν ἀνισώτερον νομίζω τῶν ἐν ἀνθρώποις εἶναι τοῦ τῶν ἴσων τόν τε κακὸν καὶ ἀγαθὸν ἀξιοῦσθαι. Ξε. Κυ.* 2, 2, 17. *Προεῖπον ἐς τὴν νῆσον ἐσάγειν σῖτον, τάξαντες ἀργυρίου πολλοῦ. Θ.* 4, 26, 3. *Οἱ Ἀθηναῖοι Περικλέα ὀλίγου θανάτου ἐτίμησαν. Πλ. Γο.* 516, a. *Τῶν πόνων πωλοῦσιν ἡμῖν πάντα τἀγάθ' οἱ θεοί. Ἐπίχαρμος Στ.* 1, 101. *Οὐκ ἂν ἀπεδόμην πολλοῦ τὰς ἐλπίδας. Πλ. Φαίδ.* 98, a. *Οἱ ἀγαθοὶ οἰκονόμοι, ὅταν τὸ πολλοῦ ἄξιον μικροῦ ἐξῇ πρίασθαι, τότε φασὶ δεῖν ὠνεῖσθαι. Ξε. ἀπ.* 2, 10, 4. *Οὐκ ἔστιν ἐμπορεύματα λυσιτελέστερα ἢ ὅσα ἄθλων ὠνοῦνται. Ξε. Ἱέρ.* 9, 11. *Χρυσᾶ χαλκείων* (pros. *χαλκῶν*) *διαμείβεσθαι νοεῖς. Πλ. συ.* 219, a. *Μισθοῦ στρατεύονται. Ξε. Κυ.* 5, 2, 7.

[A. 1. Dieser Ge. findet sich auch bei γίγνεσθαι zu stehen kommen und εἶναι. Οἱ ἐξειργασμένοι ἀγροὶ πολλοῦ ἀργυρίου γίγνονται. Ξε. οἰκ. 20, 23. Τριῶν δραχμῶν πονηρός ἐστι. Δη. 19, 200. vgl. A. 3, Antiphanes 64 (62), Alexis 16 (15), 19 u. Schäfer z. Dem. 2 p. 501.]

[A. 2. Für das seltene πολλοῦ τιμᾶσθαι (Plat. Symp. 175, d, Dem. 19, 159, 21, 182, Her. 3, 154), ποιεῖσθαι (Pl. Prot. 328, d) ist üblicher περὶ πολλοῦ ποιεῖσθαι (eig. über). S. § 68, 31, 5.]

A. 3. Nicht selten erscheint dieser Ge. auch bei anderen Verben. So am häufigsten μισθοῦ für Sold. [z. Th. 4, 124, 4. vgl. 5, 6, 2. Dein. 1, 111, Xe. Mem. 2, 8, 2. Selten μετὰ μισθοῦ z. Th. 7, 57, 9.] Οἱ τύραννοι μισθοῦ φύλακας ἔχουσιν, ὥσπερ θεριστάς. Ξε. Ἱέρ. 6, 10. Κέκρισθε μηδενὸς ἂν κέρδους τὰ κοινὰ δίκαια τῶν Ἑλλήνων προέσθαι. Δη. 6, 10. Πόσου διδάσκει; Πέντε μνῶν. Πλ. ἀπ. 20, a. Ὀβολοῦ τὸ πρῶτον ἡμῖν ἐνέχεεν καὶ τεττάρων χαλκῶν μετὰ ταῦτα. Φιλή. 60 (4). Προπέποται τῆς παραυτίκα χάριτος τὰ τῆς πόλεως πράγματα. Δη. 3, 22.

(A. 4. Auch die verkäufliche Sache steht im Ge. bei διδόναι u. ä. W., z. B. εὐνοίας für Wohlwollen [Dem. 8, 25]. Οὐκ ἂν ἔτι δοίην τῶν θεῶν τριώβολον. Ἀρ. εἰρ. 848. Ἀπάγου τοὺς παῖδας μηδὲν αὐτῶν καταθείς. Ξε. Κυ. 3, 1, 37.)

18. Maßbestimmend ist der Ge. bei den (komparativen) Verben der Superiorität und Inferiorität: komparativer Ge. (vgl. 27), nicht zu verwechseln mit dem N. 15 erwähnten. Über den Da. § 48, 15, 9. *Ὁ ἄδικος ἀξιοῖ τοῦ δικαίου πλεονεκτεῖν καὶ τῆς δικαίας πράξεως, ὅς γε πάντων πλέον ἔχειν ἀξιοῖ. Πλ. πολ.* 349, c. *Οἱ τύραννοι τῇ εὐφροσύνῃ τῆς ἐλπίδος μειονεκτοῦσι τῶν ἰδιωτῶν. Ξε. Ἱέρ.* 1, 18. *Μηδὲν ἐλαττοῖ τοῦ ἀληθοῦς μηδὲ μειοῦ τὰ τῶν πολεμίων. Ξε. Κυ.* 6, 3, 17. *Σωκράτης θυσίας θύων μικρὰς οὐδὲν ἡγεῖτο μειοῦσθαι τῶν μεγάλα θυόντων. Ξε. ἀπ.* 1, 3, 3. *Παυσανίας ὑστέρησεν ἐς Ἁλίαρτον τοῦ Λυσάνδρου. Ξε. Ἑλ.* 3, 5, 25. *Οἱ ἐν ταῖς δημοκρατίαις ὑστερίζουσι τῶν πραγμάτων. Ἰσ.* 3, 19.

19. Hieran schließt sich der Ge. bei mehreren Verben, die ein Übertreffen, Überwinden und Nachstehen bezeichnen. *Ἄρχοντι*

προσήκει καρτερίᾳ τῶν ἰδιωτῶν περιεῖναι. Ξε. Ἀγ. 5, 2. *Ἡ ἀρετὴ τοῦ πλήθους περιγίγνεται.* Ἰσ. 4, 91. *Ἄνθρωπος ξυνέσει ὑπερέχει τῶν ἄλλων.* Πλ. Μενέξ. 237, d. *Οἱ Ἀθηναῖοι ἐμπειρίᾳ πολὺ τῶν ἄλλων προεῖχον περὶ τὰ ναυτικά.* Ξε. Ἑλ. 7, 1, 4. *Εἴ τίς τι ἕτερος ἑτέρου προφέρει ἢ ἐπιστήμῃ ἢ εὐψυχίᾳ, ἀποδειξάμενος ὠφέλιμος ἂν γένοιτο.* Θ. 7, 64, 2. *Φίλος εὐεργετῶν οὐδενὸς λείπεται.* Ξε. ἀπ. 2, 4, 7. *Οὐδὲν πλήθει γε ἡμῶν λειφθέντες ὑπεῖξάν σοι.* Ξε. ἀν. 7, 7, 31. (Über den Ao. Kr. z. Her. 4, 9, 2. Über *ὑπερφέρειν* z. Th. 1, 81, 1. Vereinzelt *προέχειν, ὑπερέχειν τινά.* z. Xe. An. 3, 2, 19.)

A. 1. Dreifache Konstruktion haben ἡττᾶσθαι und νικᾶσθαι: τινί, τινός und ὑπό τινος. Ὁμοίως αἰσχρὸν εἶναι νόμιζε τῶν ἐχθρῶν νικᾶσθαι ταῖς κακοποιίαις καὶ τῶν φίλων ἡττᾶσθαι ταῖς εὐεργεσίαις. Ἰσ. 1, 26. Χρὴ μήθ' ἡδονῆς ἡττηθῆναι μήθ' ὑπὸ κέρδους ἐπαρθῆναι. Λυ. 21, 19. Ὑπὸ τοῦ δικαίου ἐστὶν ἡττᾶσθαι καλόν. Φιλωνίδης Στ. 9, 14. [Mit und ohne ὑπό Dem. 15, 23.] Ποθεῖ ἃ μὴ χρή, κέρδεσι νικώμενος. Αἰσ. Ἀγ. 342 (327). [Pflugk z. Eu. Med. 315 u. Her. 234. Νικᾶσθαί τινος auch in der Prosa Antiph. 5, 87, Isokr. 1, 26.]

A. 2. Teils zu dieser, teils zu der folgenden Klasse gehört κρατεῖν überlegen sein, zügeln, in seiner Gewalt haben. Ἡ φύσις ἁπάντων τῶν διδαγμάτων κρατεῖ. Μέ. μο. 213. Γλώσσης μάλιστα πανταχοῦ πειρῶ κρατεῖν. Μέ. μο. 80. Ἰσχὺς μὲν βίᾳ τῶν ἄλλων κρατεῖν δύναται, κάλλος δὲ καὶ τῆς ῥώμης αὐτῆς ἄρχειν πέφυκεν. Ἰσ. 10, 16. Ὁ Μίνως τῆς νῦν Ἑλληνικῆς θαλάσσης ἐπὶ πλεῖστον ἐκράτησεν. Θ. 1, 4.

A. 3. In der Bedeutung besiegen hat κρατεῖν den Ge., insofern es bezeichnet die Oberhand haben, den Ac., wie νικᾶν immer, mit Bezug auf die Bewältigung eines faktischen Widerstandes. Daher wohl κρατεῖν τῶν ἀνδρῶν und τοὺς ἄνδρας, aber nur χωρίου, τῆς χώρας, τῆς θαλάσσης, θυμοῦ, ὀργῆς 2c. Εἷς τοι δίκαιος μυρίων οὐκ ἐνδίκων κρατεῖ, τὸ θεῖον τὴν δίκην τε συλλαβών. Εὐ. Παλ. 5 (588). Τοὺς περὶ τῶν οἰκείων ἀμυνομένους μαχόμενοι τὰ πλείω κρατοῦμεν. Θ. 2, 39, 2.

A. 4. Daneben findet sich bei κρατεῖν der Ac. des Inhaltes. Τύχῃ τὰ νῦν προχωρήσαντα ἐκράτησαν. Θ. 4, 18, 3. (Γαστρός γε πᾶσαν ἡνίαν κράτει. Χάρης Στ. 17, 3 (1).

20. Eben so steht der Ge. bei den Verben, die ein Anführen und Herrschen bezeichnen. *Φρόνησις μόνη ἡγεῖται ὀρθῶς πράττειν.* Πλ. Μέ. 97, b. *Τὴν ἐν ἀνθρώποις διάνοιαν ἁπάντων εὑρήσομεν ἡγεμονεύουσαν.* [Δη. 61, 37.] *Θεῖον τὸ ἐθελόντων ἄρχειν.* Ξε. οἰκ. 21, 12. *Φίλος ἀγαθός ἐστιν ὅστις ἄρχει γαστρός τε καί φιλοποσίας καὶ λαγνείας καὶ ὕπνου καὶ ἀργίας.* Ξε. ἀπ. 2, 6, 1. *Ἔρως τῶν θεῶν βασιλεύει.* Πλ. συ. 195, c. *Πολυκράτης Σάμου ἐτυράννει ἐπὶ Καμβύσου.* Θ. 1, 13, 5. *Ἄλλος ἄλλου δεσπόζειν ἀξιοῖ.* Πλ. πολ. 579, a. *Λάχης ὁπλιτῶν καὶ ἱππέων ἐστρατήγει.* Θ. 5, 61, 1. *Λαομέδων πλοίων ἐναυάρχει.* Δη. 18, 77. *Οἱ καλοί τε καὶ ἀγαθοὶ αἱροῦνται ἄνευ πόνου τὰ μέτρια κεκτῆσθαι μᾶλλον ἢ διὰ πολέμου πάντων κυριεύειν.* Ξε. ἀπ. 2, 6, 22.

A. 1. Auch bei diesen Verben erscheint der Ac. des Inhaltes. Ὁρῶ βροτοῖς τὴν γλῶσσαν, οὐχὶ τἄργα πάνθ' ἡγουμένην. Σο. Φι. 99. Δοκεῖ μοι τοῦτο ὑμᾶς πρῶτον ἡμῶν στρατηγῆσαι. Ξε. ἀν. 7, 6, 40. Μειδίας τὰς πομπὰς ἡγεῖτο. Δη. 21, 174.

A. 2. Der Dativ findet sich bei diesen Verben, insofern nicht die Suprematie berücksichtigt, sondern das Wirken für das (persönliche) Objekt hervorgehoben wird. Daher wird ἡγεῖσθαι von einem Wegweiser in der Regel mit dem Dativ verbunden (es müßte denn das Vorangehen hervorzuheben sein); eben so auch in der Bedeutung führen, leiten, wenn es so viel ist als ἡγεμόνα εἶναί τινι. Von einem Archon konnte nur gesagt werden ἄρχει τοῖς Ἀθηναίοις. [z. Th. 1, 93, 2.] Κέλευέ σοι τοὺς ἡγεμόνας τὴν ῥᾴστην ὁδὸν ἡγεῖσθαι. Ξε. Κυ. 2, 4, 27. Ὁ Ἔρως ταῖς ἄλλαις ἐπιθυμίαις ὥσπερ δορυφόροις ἡγεῖται. Πλ. πολ. 573, e. Ἄνδρας ἐχρῆν σοφούς τε κἀγαθοὺς φύλλοις στέφεσθαι χὤστις (καὶ ὅστις) ἡγεῖται πόλει κάλλιστα, σώφρων καὶ δίκαιος ὢν ἀνήρ. Εὐ. Αὐτόλ. 1 (284), 23. Ἄρχων εἰμὶ νῦν Ἀθηναίοις ἐγώ. Κρατῖνος 327.

A. 3. Beide Kasus hat mit ähnlichem Unterschiede auch ἐπιστατεῖν. Οὐκ ὀρθῶς ἂν ἔχοι τὸν χείρω τῶν βελτιόνων ἐπιστατεῖν. Πλ. Πρω. 338, b. Ἡ ψυχὴ τῷ σώματι ἐπιστατεῖ. Πλ. Γο. 465, d. Vgl. § 48, 11, 5 u. Isokr. 5, 97. 12, 154.

A. 4. Auch der Präposition wegen haben den Ge. προϊστάναι, προΐστασθαι, προστατεῖν, προστατεύειν. Ἄνδρα ἀγαθὸν ἡ πόλις ἀξιοῖ ἑαυτῆς προϊστάναι. Πλ. Λάχ. 197, d. Ῥᾴόν ἐστι ἰδίᾳ τινὰς θεραπεύειν ἢ τῶν ὑμετέρων δικαίων προΐστασθαι. Δη. 24, 3. Πρέπει τῶν μεγίστων προστατοῦντι μεγίστης φρονήσεως μετέχειν. Πλ. Λαχ. 197, e. Εὐδαιμονεστάτην τὴν πόλιν ἧς προστατεύεις πάρεχε. Ξε. Ἱέρ. 11, 7. Οἱ προστάντες τοῦ πράγματος. Δη. 30, 18.

21. Eigentlich in materialer Weise bezeichnet der Ge., auf welchen Gegenstand bezogen ein Begriff zu denken ist, übersetzbar durch in Bezug auf, wegen: Ge. der Relation; am häufigsten bei Verben der Gefühle und ihrer Äußerungen. *Τοὺς θέλοντας θεραπεύειν τὰς πόλεις οὐκ ἄγασαι τῆς ἀνδρείας τε καὶ εὐχερείας; Πλ. πολ.* 426, d. *Τοὺς περιφόβους ὑμᾶς ποιοῦντας τῆς μὲν τόλμης οὐ θαυμάζω, τῆς δὲ ἀξυνεσίας. Θ.* 6, 36, 1. *Συγχαίρω τῶν γεγενημένων. Δη.* 15, 15. *Τούτους οἰκτ[ε]ίρω τῆς ἄγαν χαλεπῆς νόσου. Ξε. συ.* 4, 37. *Τῆς τύχης ἣ ἐχρησάμην δικαίως ἂν ὑπὸ πάντων ἐλεηθείην. Ἀνδ.* 1, 67. *Τὸν ἰσονομικὸν ἄνδρα πολλοὶ ἂν καὶ πολλαὶ ζηλώσειαν τοῦ βίου. Πλ. πολ.* 561, e. *Σοφίας φθονῆσαι μᾶλλον ἢ πλούτου καλόν. Ἀγάθων. Στ.* 38, 23 (25). *Δίκαιον τῶν αὐτῶν ἀδικημάτων μάλιστα ὀργίζεσθαι τοῖς μάλιστα δυναμένοις μὴ ἀδικεῖν. Λυ.* 31, 11. *Οὐ μνησικακήσει βασιλεὺς αὐτοῖς τῆς ἐπιστρατείας. Ξε. ἀν.* 2, 4, 1. *Συγγιγνώσκειν αὐτοῖς χρὴ τῆς ἐπιθυμίας. Πλ. Εὐθύδ.* 306, c. [Vgl. z. Th. 1, 75, 1, 77, 2.]

Τοῦ μὲν γενέσθαι προέχοντα τῶν ἄλλων εἰκότως ἄν τις τὴν τύχην αἰτιάσαιτο, τοῦ δὲ καλῶς καὶ μετρίως κεχρῆσθαι τῇ φύσει δικαίως ἂν ἅπαντες τὸν τρόπον τὸν ἐμὸν ἐπαινέσειαν. Ἰσ. 15, 36. *Δοκοῦσί μοι πάντες τοὺς ἀνθρώπους εὐδαιμονίζειν τῶν ἀγαθῶν ὧν ὁ θεὸς αὐτοῖς αἴτιος. Πλ. συ.* 194, e. *Τοῦδ' ἂν οὐδεὶς ἐνδίκως μέμψαιτό μοι. Αἰσ. Προ.* 63.

A. Ebenso steht der Ge. bei Verben, die ein Streiten um etwas bezeichnen. Εὔμολπος ἠμφισβήτησεν Ἐρεχθεῖ τῆς πόλεως. Ἰσ. 12, 193. Εἰώθασιν ὧν ἂν ἐν ἑαυτοῖς διανεχθῶσιν γυνὴ καὶ ἀνὴρ διαλλάττεσθαι διὰ τοὺς παῖδας. Δη. 40, 29. Θεμιστοκλῆς Ἀδμήτῳ χρείας τινὸς ἠναντιώθη. Θ. 1, 136, 4. Οὐκ ἀντιποιούμεθα βασιλεῖ τῆς ἀρχῆς. Ξε. ἀν. 2, 3, 23. Vgl. § 48, 9. [Über ὀνειδίζειν τινί τινος Kr. z. Th. 2, 62, 3; ἀμύνεσθαί τινος z. 1, 96, 1.]

22. Eine Art des relativen Ge. ist der Ge. der Beschuldigung (criminis), der besonders bei gerichtlichen Verben erscheint. *Τῶν ἀγαθῶν οὐδένα ἄλλον αἰτιατέον ἢ τὸν θεόν. Πλ. πολ.* 379, c. *Προςκαλοῦμαί σε βλάβης. Ἀρ. σφ.* 1407. *Ἀνόσιόν ἐστι τὸ υἱὸν πατρὶ φόνου ἐπεξιέναι. Πλ. Εὐθύφ.* 4, e. *Τὸ χάριν ἀποδοῦναι παρανόμων γράφη. Δη.* 18, 119. *Διώκω μὲν κακηγορίας, τῇ δ' αὐτῇ ψήφῳ φόνου φεύγω. Λυ.* 11, 12. *Ἀνελεύθερον καὶ λίαν φιλόδικον εἶναι νομίζω κακηγορίας δικάζεσθαι. Λυ.* 10, 2. *Οἱ Πέρσαι δικάζουσιν ἀχαριστίας. Ξε. Κυ.* 1, 2, 7. *Οἱ πρέσβεις δώρων ἐκρίθησαν. Λυ.* 27, 3. *Κατὰ νόμον ἐξῆν παρανοίας ἑλόντι τὸν πατέρα δῆσαι. Ξε. ἀπ.* 1, 2, 49. *Ψευδομαρτυριῶν ἁλώσεσθαι προςδοκᾷ. Δη.* 39, 18. *Ὁπόσοι κλοπῆς ἢ δώρων ὄφλοιεν, τούτους ἔδει καὶ αὐτοὺς καὶ τοὺς ἐκ τούτων ἀτίμους εἶναι. Ἀνδ.* 1, 74. *Πολλῶν οἱ πατέρες ἡμῶν Μηδισμοῦ θάνατον κατέγνωσαν. Ἰσ.* 4, 157. *Τοὺς παρόντας τῆς ἐξαπάτης τιμωρησώμεθα. Ξε. ἀν.* 7, 1, 25. (*Τιμωρήσειν σοι τοῦ παιδὸς τὸν φονέα ὑπισχνοῦμαι. Ξε. Κυ.* 4, 6, 8.)

A. 1. Θανάτου bei Verben dieser Art ist der Genitiv des Preises No. 17. Λέγουσιν οἱ νόμοι, ἐάν τις ἁλῷ κλοπῆς καὶ μὴ τιμηθῇ θανάτου, προςτιμᾶν αὐτῷ δεσμόν. Δη. 24, 103. Οἱ ἔφοροι τὸν Σφοδρίαν ὑπῆγον θανάτου. Ξε. Ἑλ. 5, 4, 24.

A. 2. Relativer Art ist wohl auch der Ge. des Infinitivs, wenn er, auf einen ganzen Satz bezogen, eine Folge, meist eine beabsichtigte, bezeichnet: so daß, damit. Μίνως τὸ λῃστικὸν καθῄρει ἐκ τῆς θαλάσσης τοῦ τὰς προςόδους μᾶλλον ἰέναι αὐτῷ. Θ. 1, 4. Dobree u. Arnold z. Th. 2, 4?

A. 3. Übrigens entwickelt sich der relative Ge. als ein nur etwas lockeres Verhältnis aus der Grundbedeutung. Auch kann manches oben z. B. 1 A. 1, Erwähnte allenfalls ihm angeeignet werden. Eben so Stellen wie folgende. Ἐπεσκότει τῷ Κτησίππῳ τῆς θέας. Πλ. Εὐθύδ. 274, b. Τῆς ἀρχῆς προκόπτουσιν ἐκείνοις. Θ. 4, 60, 2. Εἰ ἡ γνῶσις τοῦ γνῶσις εἶναι μὴ μεταπίπτοι, μένοι ἂν ἀεί. Πλ. Κρατ. 440, a.

23. Viele mit einer den Ge. regierenden Präposition zusammengesetzte Verba haben wegen dieser den Ge. So besonders Komposita mit *ἀπό* (vgl. 13 A. 3) und *ἐξ*, *πρό* und *ὑπέρ*. *Τὸ δαιμόνιον ἀποτρέπει με τούτου ὃ ἂν μέλλω πράττειν, προτρέπει δ' οὔ ποτε. Πλ. ἀπ.* 31, d. *Οὐδενὸς χρὴ πράγματος τὸν εὖ πονοῦντ' ἀπογνῶναί ποτε. Μέ.* 133 (1). *Ὁ θεὸς ἥκιστα τῆς ἑαυτοῦ ἰδέας ἐκβαίνει. Πλ. πολ.* 380, d. *Τὰ φαλάγγια τοῦ φρονεῖν ἐξίστησιν. Ξε. ἀπ.* 1, 3, 12. *Ἀρχῆς οὐδ' ἐκστῆναι ἔτι ἔστιν. Θ.* 2, 63, 1. *Ἐξηρτήμεθα τῶν ἐλπίδων.*

Ἰσ. 8, 7. — *Χρὴ προτιθέναι παντὸς τοῦ λόγου τὸ πεφυκὸς προοίμιον ἑκάστοις.* Πλ. νό. 723, c. *Ἰσχὺν ἠξίωσαν τοῦ δικαίου προθεῖναι.* Θ. 3, 39, 3. *Πρόκειται τῆς Ἀττικῆς ὄρη μεγάλα.* Ξε. ἀπ. 3, 5, 25. *Πολλοῖς ἡ γλῶττα προτρέχει τῆς διανοίας.* Ἰσ. 1, 41. *Πολίτου ἀγαθοῦ νομίζω προκινδυνεύειν ἐθέλειν τοῦ πλήθους.* Ἀνδ. 4, 1. *Τὰ σώσοντα τῶν ῥᾴστων καὶ τῶν ἡδίστων προαιρετέον.* Δη. 6, 5, vgl. Πλ. Λάχ. 200, e. *Τίνα ἁπάντων κάλλιον προτιμᾶν ἢ τὸν ἀδελφόν;* Ξε. Κυ. 8, 7, 16. *Ἦθος προκρίνειν χρημάτων γαμοῦντα δεῖ.* Μέ. μο. 211. — *Οἱ πολέμιοι ὑπερκάθηνται ἡμῶν.* Ξε. ἀν. 5, 1, 9. *Ὑπερεφάνησαν τοῦ λόφου.* Θ. 4, 93, 3. *Ὑπερορᾶν ἐποίει τῶν καθεστώτων νομίμων τοὺς συνόντας.* Ξε. ἀπ. 1, 2, 9. *Ἀγησίλαος οὐκ ἀνθρώπων ὑπερεφρόνει, ἀλλὰ θεοῖς χάριν ᾔδει.* Ξε. Ἀγ. 11. 2. *Οὕτως ὑμῶν ὑπεραλγῶ.* Ἀρ. ὄρ. 466. *Χρὴ ὑπερδικεῖν τοῦ λόγου.* Πλ. Φαίδ. 86, e.

A. 1. Ἀπογιγνώσκειν aufgeben, ὑπερορᾶν und ὑπερφρονεῖν mißachten, ἀποστρέφεσθαι sich abwenden, verschmähen finden sich auch mit dem Ac. Τὸ κατὰ γῆν πορεύεσθαι ἀπεγνώκεσαν. Ξε. Ἑλ. 7, 5, 7. Πλὴν ἀρετῆς πάντα ὑπερορῶσιν. Πλ. Κριτί. 120, e. (Πέφυκεν ἄνθρωπος τὸ μὲν θεραπεῦον ὑπερφρονεῖν, τὸ δὲ μὴ ὑπεῖκον θαυμάζειν. Θ. 3, 39, 5 u. Kr. z. 6, 68, 2.) Οὐκ ἀποστρέψει με, ὥσπερ ἄρτι; Ξε. Κυ. 5, 5, 36.

A. 2. Seltener finden sich mit andern Präpositionen, wie mit ἀντί, zusammengesetzte Verba mit dem bloßen Ge.; noch weniger die meisten derer, die mit Präpositionen, welche mehrere Kasus regieren, zusammengesetzt sind. Denn ἐπιβαίνειν betreten hat den Ge. mehr nach N. 12. [Über den Da. z. Th. 7, 70, 5.] Δίκαιον τῆς νῦν ἁμαρτίας ἀντιθεῖναι τὴν τότε προθυμίαν. Θ. 3, 56, 3. — Τοὺς πολεμίους τῶν ὅρων τῆς χώρας οὐκ ἐάσομεν ἐπιβαίνειν. Πλ. νό. 778, e.

A. 3. Im allgemeinen ist bei Kompositen dieser Art (23) die Wiederholung ihrer Präposition oder einer sinnverwandten vorherrschend, zumal wenn die Präposition des Kompositums in ihrer eigentlichen Bedeutung noch scharf hervortritt und nicht mit dem Verbum zu einem gemischten Begriffe verschmolzen ist, wie in ἀπογιγνώσκειν, ἐξίστασθαι, ὑπερορᾶν u. a. Die Bemerkungen über das Einzelne bleiben den Wörterbüchern überlassen. (Über προτίθεσθαι (πρό) τινος z. Th. 5, 74, 1.)

24. Von den mit *κατά* zusammengesetzten Verben haben den (meist persönlichen) Ge. mehrere, die ein feindseliges Urteil oder eine nachteilige Äußerung bezeichnen. *Χρὴ μὴ καταφρονεῖν τοῦ πλήθους.* Ἰσ. 5, 79. *Λεωκράτης κατεγνώκει αὑτοῦ προδεδωκέναι τὴν πατρίδα.* Λυκ. 56. *Καταδικάζω ἐμαυτοῦ τῆς ἐσχάτης δίκης ἄξιος εἶναι.* Ξε. ἀν. 6, 4, 15. *Συμβουλεύω μὴ τούτων ἀποψηφισαμένους ὑμῶν αὐτῶν καταψηφίσασθαι.* Λυ. 12, 91. *Οὐδεὶς αὐτὸς αὑτοῦ κατηγόρησε πώποτε.* Δη. 38, 26. *Μή μου κατείπῃς πρὸς τοὺς ἄλλους.* Πλ. Θε. 149, a. *Δι' ἔχθραν καταψεύδονταί μου.* Δη. 21, 136. *Τίς οὐκ ἂν καταγελάσειεν ὑμῶν;* Δεί. 1, 16.

A. 1. Das sachliche Objekt steht bei diesen Verben neben dem Ge. des persönlichen, im Ac., der jedoch bei καταφρονεῖν selten ist. [Elmsley z. Eu. Her. 418.] Τὸ τελευτῆσαι πάντων ἡ πεπρωμένη κατέκρινεν. Ἰσ. 1, 43. Οἶμαι πάντας ὑμᾶς καταγνώσεσθαι πολλὴν ἄνοιαν καὶ μανίαν τῶν τὴν ἀδικίαν πλεονεξίαν εἶναι νομιζόντων. Ἰσ. 8, 17. Οἱ Ἀθηναῖοι ἐρήμῃ δίκῃ θάνατον κατέγνωσαν Ἀλκιβιάδου. Θ. 6, 61, 6. Ἐνίων ἔπεισαν ὑμᾶς ἀκρίτων θάνατον καταψηφίσασθαι. Λυ. 25, 26. Τὰ τῶν τριάκοντα ἁμαρτήματα ἐμοῦ κατηγόρουν. Λυ. 25, 5. Τῶν ἄλλων καταψεύδει τοιοῦτο πρᾶγμα. Πλ. Εὐθύδ. 283, e. Κατεφρόνησαν τῶν Ἀθηναίων ἀδυνασίαν. Θ. 8, 8, 3. (Ὁ εὐνοῦχος κατεφρόνησε τῆς Καμβύσου μωρίας. Πλ. νό. 695, b.) [Über den Da. Lobeck z. So. Ai. p. 352.]

[A. 2. Selten steht hier statt des Ac. nach R. 22 der Ge. vgl. R. 23. Παρανόμων ἢ παραπρεσβείας ἤμελλον αὐτοῦ κατηγορεῖν. Δη. 21, 5. Κατεψηφίσθησαν θανάτου ἢ φυγῆς. Πλ. πολ. 558, e. Κατακεκρίσθαι θανάτου Polyb. 4, 35. 31, 7 z. E.]

[A. 3. Selten ist auch der Ac. der Person. Τὸ καταφρονεῖν τοὺς ἐπιόντας ἐν τῶν ἔργων τῇ ἀλκῇ δείκνυται. Θ. 6, 34, 8 vgl. dort Kr. u. Aristot. Rhet. A. 7, 3. Ἀληθῆ ἦν ταῦτα ἅ με κατηγόρησαν. Ἀνδ. 1, 24. [κατηγοροῦσιν? wie wohl auch Men. 681 (710).] Εἴρηται τοῦτον μὴ καταγιγνώσκειν φόνου. Λυ. 1, 30.]

IV. Der Genitiv bei verbalen Substantiven, bei adjektivischen Begriffen, Komparativen, Superlativen und Adverbien.

25. Substantive, die mit Verben, welche den Ge. regieren, stamm- oder sinnverwandt sind, haben den Ge. in gleicher Weise.

A. 1. Da auch wir in dieser Verbindung den Ge. oder leicht sich darbietende Präpositionen gebrauchen, so werden folgende Beispiele genügen. [R. 10 A. 11.] Οὐ παρανομοῦμεν τῶν τε ἀεὶ ἐν ἀρχῇ ὄντων ἀκροάσει καὶ τῶν νόμων. Θ. 2, 37, 3. Πᾶν ζῷον μεστόν ἐστιν ἀνηκουστίας τοῦ λέγοντος ἄλλο τι δεῖν πράττειν πλὴν τὰς ἡδονάς. Πλ. νό. 782, e. — [R. 11.] Ἡδὺ μνήμην παρέχειν ἑαυτοῦ. Ξε. ἀν. 6, 3, 24. Πάντες ἄνθρωποι τούτων πλείστην μνείαν ἔχουσιν ὧν ἂν ἐν ταῖς συμφοραῖς εὖ πάθωσιν. Ἰσ. 5, 37. Τῶν εὖ δεδρασμένων ὑπόμνησιν ποιησόμεθα. Θ. 3, 54, 1. (Ἐβούλετο ὑπόμνησιν ποιεῖσθαι τοῦ θαρσεῖν. Θ. 2, 88, 2 u. z. 4, 17, 2.) Λήθην λόγοι ποιοῦσι τῶν ὄντων κακῶν. Σο. Θυ. 237 (239), 2. [vgl. Xe. Mem. 1, 2, 21.] Τῶν χρηστῶν ἔχει τιν' ἐπιμέλειαν καὶ θεός. Μέ. 366 (379). Λαβὲ πρόνοιαν τοῦ προσήκοντος βίου. Μέ. μο. 331. Γονέων ἀμέλειαι τῷ ἀγαθῷ οὐ προσήκουσιν. Πλ. πολ. 443, a. Μεταμέλεια τοῦ πεπραγμένου γίγνεται. Πλ. νό. 866, e. — [R. 12 A.] Εὔχου μὴ λαβεῖν πεῖραν φίλων. Φιλή. 83 (213), 14. — [R. 13.] Πεπρωμένης οὐκ ἔστι θνητοῖς ξυμφορᾶς ἀπαλλαγή. Σο. Ἀντ. 1338. — [eb. A. 7.] Κακῶν παῦλα ἔσται. Πλ. πολ. 501, e. Ἀνάπαυσίς ἐστι τῶν κακῶν ἀπραξία. Στ. 1, 10. — [R. 14.] Ὁ ἔρως τούτων ἐστὶν ὧν ἂν ἔνδεια παρῇ αὐτῷ. Πλ. συ. 200, e. Δίψα ἐστὶ δίψα ἆρά γε θερμοῦ ποτοῦ ἢ ψυχροῦ; Πλ. πολ. 437, d.

[R. 15.] Λύπη μανίας κοινωνίαν ἔχει τινά. Ἄλεξις 300 (296). Τὸ εἶναι ἄλλο τι ἐστι μέθεξις οὐσίας μετὰ χρόνου τοῦ παρόντος. Πλ. Παρ. 151, e. Σοὶ ἀρετῆς τίς μετουσία; Δη. 18, 128. Ἀρετὴ ἀγαθὴ μὲν συλλήπτρια τῶν ἐν εἰρήνῃ πόνων, βεβαία δὲ τῶν ἐν πολέμῳ σύμμαχος ἔργων, ἀρίστη δὲ φιλίας κοινωνός. Ξε. ἀπ. 2, 1, 32. Οὐχ αἱ τῶν ἀφροδισίων ἀπολαύσεις τοῦ τυραννεῖν τὰς ἐπιθυμίας παρέχονται. Ξε. Ἱέρ. 1, 26. Ἔοικα ἀνταπολήψεσθαι τὴν τῶν λόγων ἑστίασιν. Πλ. Τίμ. 27, b. — [R. 16.] Τῷ μὲν τὸ σῶμα διατεθειμένῳ κακῶς χρεία 'στ' ἰατροῦ· τῷ δὲ τὴν ψυχὴν φίλου. Μέ. 583 (591). Εὔχετο πρὸς τοὺς θεοὺς διδόναι καρποῦ μὲν ἀφθονίαν, φρενῶν δὲ ἀφορίαν. Ξε. συ. 4, 55.

Ὑπεῖξάν σοι προστατῶν ἀπορίᾳ. Ξε. ἀν. 7, 7, 31. Πάντων ἐστὶ πλησμονή. Ἀρ. πλ. 189.

[R. 19. 20.] Μέγα τὸ τῆς θαλάσσης. Θ. 1, 143, 3. Ἡ Ἀττικὴ πρὸς τὴν ἀρχὴν τὴν τῆς θαλάσσης εὐφυῶς εἶχεν. Ἰσ. 4, 108. Δεῖ τὴν ἡγεμονίαν τῶν ὅλων τὸν ἄνδρ' ἔχειν. Μέ. 473 (484). Κόσμος πού τις ἡ σωφροσύνη ἐστὶ καὶ ἡδονῶν τινων καὶ ἐπιθυμιῶν ἐγκράτεια. Πλ. πολ. 430, e. Ἀκρατείᾳ ἡδονῶν καὶ ἐπιθυμιῶν ἐπὶ τὸν ἀσεβῆ βίον ὁρμῶνται αἱ ψυχαί. Πλ. νό. 886, a. Τὰ βελτίω διά τινας ἥττας ἡδονῶν καὶ λυπῶν οὐ ποιοῦσιν. Πλ. νό. 902, b. Καιρὸς ἀνδράσι μέγιστος ἔργου παντός ἐστ' ἐπιστάτης. Σο. Ἠλ. 76. Ξυμπαρέμεινεν ἡμῖν ἡ προστασία τοῦ πλήθους. Θ. 6, 89, 3.

[R. 21.] Περικλῆς ἐκέλευε τὴν ὀλόφυρσιν μὴ οἰκιῶν καὶ γῆς ποιεῖσθαι. Θ. 1, 143, 5. Αἱ τιμαὶ τοῖς πολίταις φθόνον ἐμποιοῦσι τῆς δυνάμεως. Ξε. πολ. Λ. 15, 8. — Γαστὴρ ὧν πέπονθεν οὐκ ἔχει χάριν. Χάρης Στ. 17, 3. — [R. 22.] Γίγνεται ἐγκλήματα καὶ βίας καὶ ἀπάτης. Ξε. Κυ. 1, 2, 6. Δεῖ λόγον καὶ δίκην ὑπέχειν τῶν πεπραγμένων. Δη. 19, 95. — [R. 22. A. 1.] Πολλῶν ἐν ταῖς πόλεσι θανάτου ζημία πρόκειται. Θ. 3, 45, 1. Σωκράτης τὴν κατάγνωσιν τοῦ θανάτου πρᾳότατα καὶ ἀνδρωδέστατα ἤνεγκεν. Ξε. ἀπ. 4, 8, 1. — [R. 23.] Ἀπόγνοια ἦν τοῦ ἄλλο τι ἢ κρατεῖν. Θ. 3, 85, 2.

(A. 2. Auffallender, aber leicht erklärlich sind Fälle wie folgende. Τῶν ἀφροδισίων ἐν τῷ γήρᾳ πολλὴ εἰρήνη γίγνεται καὶ ἐλευθερία. Πλ. πολ. 329, c. Τὸ θανεῖν κακῶν μέγιστον φάρμακον νομίζεται. Εὐ. Ἡρ. 595. Πολλάκις τὸ λιμοῦ ἀγαθὸν πυρετοῦ κακόν ἐστιν. Ξε. ἀπ. 3, 8, 7. Vgl. § 47, 7, 6.)

26. Viele Adjektive und Adverbia, die mit Verben, welche den Ge. regieren, stamm- oder sinnverwandt sind, nehmen denselben Kasus an.

A. 1. So z. B. ἐπ-, κατ-, ὑπ-, συν-, ἀνήκοος. Λόγων καλῶν τε καὶ ἐλευθέρων ἱκανῶς ἐπήκοοι γεγόνασιν. Πλ. πολ. 499, a. Γυναῖκα δεῖ κατήκοον εἶναι τοῦ ἀνδρός. Πλ. Μέν. 71, e. Ὑπήκοον δεῖ εἶναι τῶν γονέων. Πλ. πολ. 463, d. Μακάριοι οἱ ξυνήκοοι τῶν ἐκ τοῦ σωφρονοῦντος στόματος ἰόντων λόγων. Πλ. νό. 711, e. Εὐχῆς δικαίας οὐκ ἀνήκοος θεός. Μέ. μο. 146.

A. 2. Κατ- und ὑπήκοος finden sich (letzteres bei Attikern selten) mit dem Dativ, insofern nicht sowohl Abhängigkeit als Hingebung, wie ἐπήκοος, wenn ein Willfahren zu bezeichnen ist. [Kr. z. Her. 1, 141, 1 u. Pflugk z. Eu. Her. 287.] Τῇ πόλει κατήκοοι ἐγένοντο. Πλ. πολ. 499, d. Ἅπαντα τῷ πλουτεῖν ἔσθ' ὑπήκοα. Ἀρ. πλ. 146. Ἐπήκοοί εἰσι γονεῦσι πρὸς τέκνα θεοί. Πλ. νό. 931, b.

A. 3. So haben ferner den Ge. [μνήμων,] ἀμνήμων, ἐπιμελής und ἀμελής [11], ἐπιστήμων (eig. zu A. 9 gehörig), ἔμπειρος und ἄπειρος [12 A.]; ἐπήβολος und δύσερως [14], μέτοχος, ἰσόμοιρος, ἄμοιρος, ἄκληρος, ἄγευστος [R. 15.] Ähnlich ist ἐπώνυμός τινος nach jemand genannt. Ἡ ἐπιθυμία τῆς τιμωρίας ἀμνήμονα τῶν κινδύνων καθίστη αὐτόν. Ἀντ. 2, a, 7. Ἐπιμελεῖς σμικρῶν εἰσιν οἱ θεοὶ οὐχ ἧττον ἢ τῶν μεγέθει διαφερόντων. Πλ. νό. 900, c. Οἱ ἄνθρωποι στερισκόμενοι τῆς ἐπιθυμίας οὐκ ἀμελέστεροι γίγνονται τῶν προςτασσομένων. Ξε. Κυ. 7, 5, 63.(Οὐ τρίβων ἦν ἱππικῆς. Ἀρ. σφ. 1429.) — Τὸν μέλλοντα ὀρθῶς ῥητορικὸν ἔσεσθαι δίκαιον δεῖ εἶναι καὶ ἐπιστήμονα τῶν δικαίων. Πλ. Γο. 508, c. (Ἅπερ ἐπιστήμονες, ταῦτα καὶ σοφοί (εἰσιν). Πλ. Θέ. 145, e. vgl. § 46, 4, 5.) Οἱ Ἀθηναῖοι θαλάσσης ἐμπειρότατοι ἦσαν. Θ. 1, 8, 2. Ὁ γραμμάτων ἄπειρος οὐ βλέπει βλέπων. Μέ. μο. 438. Δεῖ τοὺς παιδείας ὀρεγομένους μηδενὸς ἀπείρως ἔχειν. Ἰσ. 1, 52. — Οὐκ ἐπήβολοι γεγόνατε τῆς καλλίστης ᾠδῆς. Πλ. νό. 666, d. Ἔμοιγε δοκοῦσιν οἱ ἀφροδισίων δυςέρωτες ἀδύ-

νατοι εἶναι διδαχθῆναι. Ξε. οἰκ. 12, 13. — Σοφίας ὁ κατὰ λόγον ζῶν μέτοχος. Πλ. νό. 689, e. Ὁ νόμος κελεύει ἅπαντας τοὺς γνησίους ἰσομοίρους εἶναι τῶν πατρῴων. Ἰσαῖ. 6, 25. Πῶς ἂν θεὸς εἴη ὅ γε τῶν καλῶν καὶ ἀγαθῶν ἄμοιρος; Πλ. συ. 202, d. Ἐβουλήθη τοὺς ἀδελφιδοῦς ἀκλήρους ποιῆσαι τῶν ἑαυτοῦ. Ἰσαῖ. 1, 20. Ἐλευθερίας καὶ φιλίας ἀληθοῦς τυραννικὴ φύσις ἀεὶ ἄγευστος. Πλ. πολ. 576, a. — Ἴων τὴν χώραν ἐπώνυμον ἑαυτοῦ κατέλιπεν. Στράβ. 8, 7 p. 383.

A. 4. Analog den Verben R. 13 haben den Ge. γυμνός, ψιλός, καθαρός, (ἁγνός), ἔρημος, ὀρφανός, ἐλεύθερος. Ἡ ψυχὴ γυμνὴ τοῦ σώματος παρὰ Πλούτωνα ἀπέρχεται. Πλ. Κρατ. 403, b. Ἀριθμητικὴ ψιλὴ τῶν πράξεών ἐστιν. Πλ. πολιτικός 258, d. Ἡ ψυχὴ καθαρὰ ἔσται πάντων τῶν περὶ τὸ σῶμα κακῶν καὶ ἐπιθυμιῶν. Πλ. Κρατ. 403, e. (Ἁγνὰς μὲν ὦ παῖ χεῖρας αἵματος φέρεις. Εὐ. Ἱπ. 316.) Τῷ ἀρετῆς ἐρήμῳ οὐδ' ἄλλο καλῶς ἔχειν οὐδὲν προσήκει. Ξε. Κυ. 7, 5, 84. Δυστυχὴς ἡ Ἑλλὰς τοιούτων ἀνδρῶν ὀρφανὴ γενομένη. Λυ. 2, 60. Ἔργων πονηρῶν χεῖρ' ἐλευθέραν ἔχε. Μέ. μο. 148. Αἰδοῦς ὁ δειλὸς ἐλεύθερος. Πλ. νό. 699, c.

A. 5. Zu den Begriffen R. 13 gehört auch μέσος, ja selbst διάφορος (und διαφερόντως), ἄλλος, ἀλλοῖος und ἕτερος. Ἑνὸς καὶ πλήθους τὸ ὀλίγον μέσον. Πλ. πολιτικός 303, a. Ἐπιστήμη ἐπιστήμης διάφορος. Πλ. Φίλ. 61, d. Οἱ τύραννοι τιμᾶσθε διαφερόντως τῶν ἄλλων ἀνθρώπων. Ξε. Ἱέρ. 7, 4. Ποίησιν πράξεως καὶ ἐργασίας ἄλλο ἐνόμιζε. Πλ. Χαρ. 163, b. Πότερόν ἐστιν ἐπιστήμη ἡ ἀρετὴ ἢ ἀλλοῖον ἐπιστήμης; Πλ. Μέν. 87, c. Ἕτερον τὸ ἡδὺ τοῦ ἀγαθοῦ. Πλ. Γο. 500, d. Über ἐναντίος § 48, 13, 4.

A. 6. Den A. 4 erwähnten verwandt sind die der R. 16 entsprechenden Adjektive μεστός, πλέως, πλήρης; πλούσιος, ἄπληστος; κενός, ἐνδεής, ἐπιδεής, ἐλλιπής, πένης. Μεστὸν κακῶν πέφυκε φορτίον γυνή. Μέ. μο. 334. Εἰ μηδὲν ὧν μάθοι σῴζειν δύναιτο, λήθης ὢν πλέως ἆρ' ἂν οἷός τ' εἴη ἐπιστήμης μὴ κενὸς εἶναι; Πλ. πολ. 486, c. Θεῶν ἐστι πλήρη πάντα. Πλ. νό. 899, b. Πλουσιώτερος εἰς τὸ γῆρας ἀναφανήσει φρονήσεως. Πλ. πολιτικός 261, e. Τὸ ἐπιθυμητικὸν χρημάτων φύσει ἀπληστότατον. Πλ. πολ. 442, a. Τοῦ σωφρονεῖν ἐνδεὴς ὢν ζῇ ὁ πᾶς ἄνθρωπος. Πλ. νό. 734, b. Ὁ τύραννος πλείστων ἐπιδεέστατος καὶ πένης τῇ ἀληθείᾳ φαίνεται. Πλ. πολ. 579, e. Ἐρρήθη τὰ τότε τῆς ἀκριβείας ἐλλιπῆ. Πλ. πολ. 504, b. Εἰσὶ χρημάτων πένητες, ἔνθεν ηὑγένει' ἀπόλλυται. Εὐ. Ἠλ. 37.

A. 7. Wie bei den Verben R. 17, so steht auch bei einigen Adjektiven der Ge. des Wertes. Οἱ φιλόσοφοι δοκοῦσιν εἶναι τοῖς μὲν τοῦ μηδενὸς τίμιοι, τοῖς δ' ἄξιοι τοῦ παντός. Πλ. σοφ. 216, c. Δόξῃ μὲν χρήματα κτητά, δόξα δὲ χρημάτων οὐκ ὠνητή. Ἰσ. 2, 32. Αἵματος ἡ ἀρετὴ ὠνία. Αἰ. 3, 160.

A. 8. Den Verben R. 20 entsprechend steht der Ge. bei den Adjektiven, die eine Gewalt bezeichnen. Ἡ τύχη πάντων ἐστὶ κυρία. Αἰ. 2, 131. Σωκράτης τῶν ἡδονῶν πασῶν ἐγκρατέστατος ἦν. Ξε. ἀπ. 1, 2, 14. Τῆς οἰκείας γνώμης αὐτοκράτωρ εἰμί. Θ. 4, 64, 1. Τὰ μοχθηρὰ ἀνθρώπια πασῶν τῶν ἐπιθυμιῶν ἀκρατῆ ἐστιν. Ξε. Κυ. 5, 1, 13. Ἑαυτοῦ ὢν ἀκράτωρ ἄλλων ἐπιχειρεῖ ἄρχειν. Πλ. πολ. 579, c.

A. 9. Häufig erscheint auch der relative Ge. R. 21 bei Adjektiven, zur Bezeichnung des Gegenstandes, in Rücksicht auf den ihr Begriff zu fassen ist. So auch bei denen auf — ικός. Ἔστι μοι θυγάτηρ γάμου ἤδη ὡραία. Ξε. Κυ. 4, 6, 9. Ἕκαστος τῆς ἀρχῆς ἧς ἦρχεν ὑπεύθυνος ἦν. Δη. 18, 117. Οἱ Λακεδαιμόνιοι οὐχ ὑποτελεῖς ἔχοντες φόρου τοὺς ξυμμάχους ἡγοῦντο. Θ. 2, 19. Φειδωλοὶ χρημάτων εἰσίν, φιλαναλῶται δὲ ἀλλοτρίων. Πλ. πολ. 548, b. — Τὸ πῦρ ἐπίκουρον μὲν ψύχους, ἐπίκουρον δὲ σκότους. Ξε. ἀπ. 4, 3, 7. Τυφλόν ἐστι τοῦ μέλλοντος ἄνθρωπος. Πλούτ. Σολ. 12. [vgl. Xe. Symp. 4, 12.] Φύσει ἔστ' Ἔρως τοῦ νουθετοῦντος κωφόν. Μέ. 60 (59). Τοὺς ἀληθινοὺς τίνας λέγεις; τοὺς τῆς ἀληθείας φιλοθεάμονας. Πλ. πολ. 475, e. Δεῖ φιλο-

μαθῆ σὲ ἁπάντων εἶναι. Ξε. Κυ. 1, 6, 38. Γέρων ὀψιμαθὴς γέγονε τῆς ἀδικίας οἷόν ἐστιν. Πλ. πολ. 409, b. Σύμψηφός σοί εἰμι τούτου τοῦ νόμου. Πλ. πολ. 380, c. Ἡ γεωργία ἐπιστήμονας εὐθὺς ἑαυτῆς ποιεῖ. Ξε. οἰκ. 19, 17. (Κριτίας οὐδενὸς ἰδιώτης ἦν. Πλ. Τίμ. 20, a.) — Οὐ πάντες ὁμοπαθεῖς λύπης τε καὶ ἡδονῆς εἰσιν. Πλ. πολ. 464, d. Κῦρος ἦν πρᾶος καὶ συγγνώμων τῶν ἀνθρωπίνων. Ξε. Κυ. 6, 1, 37. — (Ἐμποδὼν ἀλλήλοις πολλῶν καὶ ἀγαθῶν ἔσεσθε. Ξε. Κυ. 8, 5, 24.) Οὐ μόνον τοῦ εἶναι, ἀλλὰ καὶ τοῦ εὖ εἶναι σύνεργα ἀλλήλοις τὸ θῆλυ καὶ τὸ ἄρρεν ἐστίν. Ἀρλ. οἰκ. 3. Ὁ ἀκρατὴς κακοῦργος μὲν τῶν ἄλλων, ἑαυτοῦ δὲ πολλῷ κακουργότερος. Ξε. ἀπ. 1, 5, 3.

Παρασκευαστικὸν τῶν εἰς τὸν πόλεμον τὸν στρατηγὸν εἶναι χρὴ καὶ ποριστικὸν τῶν ἐπιτηδείων τοῖς στρατιώταις. Ξε. ἀπ. 3, 1, 6. Τοῦ ἐπιμελεῖσθαι ὧν προσήκει (erg. ἐπιμελεῖσθαι) οἴει τι κωλυτικώτερον ἀκρασίας εἶναι; Ξε. ἀπ. 4, 5, 7. Ἀθηναίοις οὐ σφόδρα μέλει, ἄν τινα δεινὸν οἴωνται εἶναι, μὴ μέντοι διδασκαλικὸν τῆς αὑτοῦ σοφίας. Πλ. Εὐθύφ. 3. vgl. § 41, 11, 10.

A. 10. So findet sich ferner der Ge. besonders bei Adjektiven, die mit dem steretischen α zusammengesetzt sind. Νέος τε ἦν καὶ κακῶν ἀπαθής. Ἡρ. 5, 19, 1. Ὁ Ἔρως φιλόδωρος εὐμενείας ἄδωρος δυσμενείας. Πλ. συ. 197, d. Ἡ κακία τοῦ πάντων ἡδίστου ἀκούσματος, ἐπαίνου ἑαυτῆς, ἀνήκοός ἐστι, καὶ τοῦ πάντων ἡδίστου θεάματο ἀθέατος· οὐδὲν γὰρ πώποτε ἑαυτῆς ἔργον καλὸν τεθέαται. Ξε. ἀπ. 2, 1, 31. Ἁλίσκονται, ἅτε πόνων ἀγύμναστοι. Πλ. πολ. 619, d. Οἱ Παίονες ἀήθεις τοῦ κατακαύειν τινός εἰσιν. Δη. 1, 23. Δεῖ ἀκέραιον κακῶν ἠθῶν νέον ὄντα γεγονέναι. Πλ. πολ. 409, a. Χρὴ τοὺς πολιτευομένους ὀλιγαρχικῶς ἀτίμους τοῦ συμβουλεύειν ὑμῖν αὐτοῖς ποιεῖσθαι. Δη. 15, 33. [z. Th. 3, 58, 4.] Τῶν τριηραρχιῶν οὐδείς ἐστ' ἀτελής. Δη. 20, 27. (vgl. Her. 1, 192, 3.]

A. 11. Einem solchen Adjektiv wird auch der Ge. eines stamm- (oder sinn-) verwandten Substantivs beigefügt, in der Regel jedoch nur, wenn ein Adjektiv zu demselben hinzutritt, da der Ausdruck sonst tautologisch wäre. Ὁ μὴ πειθόμενος ἄτιμος τῶν παιδείων ἔστω τιμῶν. Πλ. νό. 810, a. Κέκροψ ἄπαις ἦν ἀρρένων παίδων. Ἰσ. 12, 126.

A. 12. Auch der Ge. der Schuld erscheint bei Adjektiven. Πολλῶν τὰ χρήματ' αἴτι' ἀνθρώποις κακῶν. Εὐ. Στ. 93, 16 (633). Οὐδεὶς ἔνοχός ἐστι δειλίας. Λυ. 14, 5. Φόνου καὶ τῶν δεινοτάτων ἦν ὑπόδικος. Δη. 54, 25.

A. 13. Bei αἴτιος (wie auch bei ἄξιος) erscheinen die Ac. τί, τὶ, οὐδέν, μηδέν vgl. § 46, 4, 4. Αἴτιόν τι καὶ νόμος γυναῖκας ἀνδρῶν μὴ βλέπειν ἐναντίον. Εὐ. Ἑκ. 974. Διαβολὴ μῖσος ἀναπλάττει πρὸς τὸν οὐδὲν αἴτιον. Κλεάνθης Στ. 42, 2. z. Xe. An. 6, 4, 8. [Ἀπεστάτουν ἄθυμος οὐδὲν ἀξία. Αἰσ. Χο. 444 (0).]

27. **Maßbestimmend ist der Ge. bei den Komparativen, während die synonyme Ausdrucksweise mit ἤ als mehr parallelisiert.** vgl. Xe. Oik. 2, 8. (*Κρεῖττον σιωπᾶν ἐστιν ἢ λαλεῖν μάτην. Μέ. μο. 290.*) *Νέοις τὸ σιγᾶν κρεῖττόν ἐστι τοῦ λαλεῖν. Μέ. μο. 387. Πολλῶν χρημάτων κρείττων ὁ παρὰ τοῦ πλήθους ἔπαινος. Ἰσ.* 1, 37. *Θηρῶν ἁπάντων ἀγριωτέρα γυνή. Μέ. μο.* 248. *Πονηρία θᾶττον τρέχει. Πλ. ἀπ.* 39, a. *Τὸ ψευδὲς ὄνειδος οὐ περαιτέρω τῆς ἀκοῆς ἀφικνεῖται. Αἰ.* 2, 149. *Ἴσχυσε τὸ ψεῦδος τῆς ἀληθείας μᾶλλον. Δείν.* 1, 53.

A. 1. Der Ge. kann beim Komparativ für ἤ mit jedem Kasus, ja sogar für ἤ mit einer Präposition eintreten. Ἡγοῦ τῶν ἀκουσμάτων πολλὰ

πολλῶν εἶναι χρημάτων κρείττω. Ἰσ. 1, 16. Πολλάκις σοφωτέρους πένητας ἄνδρας εἰσορῶ τῶν πλουσίων. Εὐ. Δα. 12 (329), 4. Δεῖ ἐλευθέρους εἶναι δουλείαν θανάτου μᾶλλον πεφοβημένους. Πλ. πολ. 387, b. — Ἀθλιώτερόν ἐστι μὴ ὑγιοῦς σώματος μὴ ὑγιεῖ ψυχῇ ξυνοικεῖν. Πλ. Γο. 479, b. Ἐβούλοντο μείζονι παρασκευῇ τῆς μετὰ Λάχητος πλεῦσαι. Θ. 6, 1. Ἔξεστιν ἡμῖν μᾶλλον ἑτέρων. Θ. 1, 85, 2. Τῆς ἐς αὔριον οὐδὲν πλέον μοι σοῦ μέτεστιν ἡμέρας. Σο. ΟΚ. 568. [z. Th. 1, 85, 2.] — (Ὁ οὐ δίκαιος, κἂν ἀμείνονος πατρὸς Ζηνὸς πεφύκῃ, δυσγενὴς εἶναι δοκεῖ. Εὐ. Δί. 11 (345), 3. [Vgl. Zeitschr. f. Alt. 7. Jahrg. 148 u. dagegen Ullrich Beitr. z. Krit. des Th. 2 S. 14.] Ἐν στρατηγίᾳ δεῖ βλέπειν εἰς τὴν ἐμπειρίαν μᾶλλον τῆς ἀρετῆς. Ἀρλ. πολ. 5, 7, 15. vgl. Kr. z. Her. 1, 133, 1.)

A. 2. Oft bedeutet dieser Ge. so viel als ἤ mit dem No. und ἐστίν oder mit ἢ ὥστε und einem dem Ge. stammverwandten Infinitiv. Ἡ Κακία ἐκεκαλλώπιστο τὸ μὲν χρῶμα ὥστε λευκοτέραν καὶ ἐρυθρότεραν τοῦ ὄντος δοκεῖν φαίνεσθαι, τὸ δὲ σχῆμα ὥστε δοκεῖν ὀρθοτέραν τῆς φύσεως εἶναι. Ξε. ἀπ. 2, 1, 22. Εὐαγόρας καταδεεστέραν τὴν δόξαν τῆς ἐλπίδος ἔλαβεν. Ἰσ. 2, 7. Φίλιππος Θηβαίους περαιτέρω τοῦ καιροῦ καὶ τοῦ ὑμετέρου συμφέροντος ἰσχυροὺς κατεσκεύασεν. Αἰ. 3, 80. — Κρεῖττον ἦν λόγου τὸ κάλλος τῆς γυναικός. Ξε. ἀπ. 3, 11, 1. — Ἀμαθέστερον τῶν νόμων τῆς ὑπεροψίας παιδευόμεθα καὶ σωφρονέστερον ἢ ὥστε αὐτῶν ἀνηκουστεῖν. Θ. 1, 84, 3 u. dort Kr. Οἱ πρόγονοι κρείττω τὴν ἐπὶ τοῖς ἔργοις δόξαν τῶν φθονούντων κατέλιπον. Δη. 3, 24.

A. 3. Wie μείζων τινός, παντός u. ä. sagte man auch οὐδενός, μηδενὸς μείζων u. ä., was wir uns für die Übersetzung auflösen in οὐ μείζων τινὸς (ἄλλου), wie auch z. B. οὐδενὸς ἐνδεής. Τὸ μεῖζόν τινός ἐστι μεῖζον, καὶ οὐκ ἄν τι εὕροιμεν μεῖζον ὃ μηδενὸς μεῖζόν ἐστιν. Πλ. Χαρ. 168, b. Οὐδενὸς ἧττον σοφὸς τῶν ποιητῶν Εὐριπίδης. Αἰ. 1, 151. Ἡ τῶν πραγμάτων αἰσχύνη οὐδεμιᾶς ἐλάττων ζημία[ς] τοῖς σώφροσιν. Δη. 1, 27. (Λυκομήδης γένος οὐδενὸς ἐνδεὴς ἦν. Ξε. Ἑλ. 7, 1, 23.)

A. 4. Wenn der Ge. ein fragendes oder relatives Pronomen ist, so müssen wir uns, wie beim Lateinischen, umschreibender Wendungen bedienen. Τοῦτ' ἀσέβημα ἔλαττον τίνος ἡγεῖσθε; Δη. 22, 78. (24, 186.) Τῆς ἀρετῆς ἐφικέσθαι δύνασθε, ἧς οὐδὲν κτῆμα σεμνότερον οὐδὲ βεβαιότερόν ἐστιν. Ἰσ. 1, 5.

(A. 5. Vermöge einer bei Vergleichungen überhaupt üblichen Verkürzung (§ 48, 13, 9) findet sich beim Komparativ auch der Ge., wenn nur das ihm gleichfalls beizulegende Subjekt des Komparativs berücksichtigt wird: παροίκησις ἐπικινδυνοτέρα ἑτέρων für τῆς ἑτέρων (παροικήσεως). Ἐπικινδυνοτέραν ἑτέρων τὴν παροίκησιν τῶνδε ἔχομεν. Θ. 4, 92, 4. Τὰ Ἀθηναίων ἐπὶ πλέον ὑμῶν κεκαίνωται. Θ. 1, 71, 3. Kr. z. Dion. p. 9 s.)

A. 6. Der Komparativ (mit seinem Nomen) kann ein sachlicher, der Ge. ein persönlicher Begriff und dieser kann dann so viel sein als ἤ mit dem erforderlichen Kasus und dem in der angemessenen Form wiederholt zu denkenden Verbum. Πλείοσι ναυσὶ τῶν Ἀθηναίων παρῆσαν. Θ. 8, 52, 1. Μέγιστον τῶν ἀγαθῶν ἅπαντες εἶναι νομίζομεν τὸ πλέον ἔχειν τῶν ἄλλων. Ἰσ. 12, 244. Πλείων χρόνος ὃν δεῖ μ' ἀρέσκειν τοῖς κάτω τῶν ἐνθάδε. Σο. Ἀντ. 74.

(A. 7. Wenn der Komparativ den Artikel hat, so kann der Ge. sowohl nach diesem als (weniger nachdrucksvoll) nach jenem eintreten. Πείθου τοῖς σοῦ σοφωτέροις. Εὐ. Ἑκ. 399. Ὁ νοῦν ἔχων ἐπιθυμοῖ που ἂν ἀεὶ εἶναι παρὰ τῷ αὑτοῦ βελτίονι. Πλ. Φαίδ. 62, d. Ταῦτα σκοπώμεθα μετὰ τῶν πρεσβυτέρων ἡμῶν. Πλ. Πρω. 314, b. Ἐν τῷ τοῦ σώματος τιμιωτέρῳ, τῇ ψυχῇ, πολλὰ νοσήματα ἔχει. Πλ. Γο. 512, a. Über den Gebrauch der Pronomina vgl. Arndt De pron. 2 p. 20. 36.)

(A. 8. Wenn der Ge. ein demonstratives oder relatives Pronomen ist, so kann noch ἤ mit einem Infinitiv epexegetisch angefügt werden. Οὐκ ἔστι

τοῦδε παισὶ κάλλιον γέρας ἢ πατρὸς ἐσθλοῦ κἀγαθοῦ πεφυκέναι Εὐ. Ἡρ. 297. Τίς ἂν αἰσχίων εἴη ταύτης δόξα ἢ δοκεῖν χρήματα περὶ πλείονος ποιεῖσθαι ἢ τοὺς φίλους; Πλ. Κρίτ. 44, b.)

A. 9. Als Komparative stehen mit dem Ge. auch (δεύτερος und) ὕστερος einem nachstehend, ἡ προτεραία der Tag vorher und ἡ ὑστεραία der Tag nachher. (Τυραννὶς τῶν θεῶν δευτέρα νομίζεται Εὐ. Ἀρχ. 30 (252). Ἱππόνικος ἦν γένει οὐδενὸς ὕστερος τῶν πολιτῶν. Ἰσ. 16, 31. [z. Th. 1, 91, 4.] Λακεδαιμόνιοι τῇ ὑστεραίᾳ τῆς μάχης ἀφίκοντο. Πλ. Μενέξ. 240, c. [z. Th. 2, 83, 1 u. 5, 75, 3.]

A. 10. Dem komparativen Ge. haben auch die Adjektive auf — πλάσιος und — στός (erstere auch ἤ): eben so περιττός und περιττεύειν. Ἐκ φειδωλίας κατέθετο μῖσος διπλάσιον τῆς οὐσίας. Μέ. 599 (626). Τριπλασίου τριπλάσιον ἀριθμῷ ἀληθοῦς ἡδονῆς ἀφέστηκε τύραννος. Πλ. πολ. 587, d. Μυριοπλάσια ἡμῶν πάντα ἔχει ἡ πᾶσα πόλις. Ξε. οἰκ. 8, 22. Πολλοστὸν μέρος ἦν τὰ χρήματα ὧν ὑμεῖς προσεδοκᾶτε. Λυ. 19, 39. Ἃ ἂν εἰδῶ περιττὰ ὄντα τῶν ἐμοὶ ἀρκούντων, τούτοις τὰς ἐνδείας τῶν φίλων ἐξακοῦμαι. Ξε. Κυ. 8, 2, 22. Τἀρκοῦντα ἔχει καὶ περισσεύοντα τῆς δαπάνης. Ξε. συ. 4, 35.

28. Der partitive Ge. erscheint bei adjektivischen (auch nicht substantivierten Begriffen, indem sie sein Genus annehmen.

A. 1. Wenn der adjektivische Begriff ein Positiv (oder Komparativ) eines nicht numerischen oder quantitativen Adjektivs oder ein Particip ist, so erfordert er, wie auch der Ge., gewöhnlich den Artikel. Von numerischen Begriffen merke man besonders οἱ ἡμίσεις τῶν die Hälfte der. Vgl. A. 9. Αἰσχρὸν τοὺς παῖδας μὴ μιμεῖσθαι τοὺς σπουδαίους τῶν γονέων. Ἰσ. 1, 11. Αἱ φιλότιμοι τῶν φύσεων τῷ ἐπαίνῳ παροξύνονται. Ξε. οἰκ. 13, 9. Δεῖ τῶν λόγων τοὺς ματαίους καὶ τῶν πράξεων τὰς μηδὲν πρὸς τὸν βίον φερούσας ἀναιρεῖν ἐξ ἁπασῶν τῶν διατριβῶν. Ἰσ. 15, 269. — Οἱ προέχοντες τῶν ποιητῶν μάλιστα ἐπὶ ταῖς καλουμέναις γνώμαις ἐσπούδασαν. Ἰσ. 2, 44. Οὐδένα λέληθεν ὅσον διαφέρουσι τῶν λόγων οἱ λεγόμενοι τῶν ἀναγιγνωσκομένων. Ἰσ. 5, 25.

Σοφία μόνον τῶν κτημάτων ἀθάνατον. Ἰσ. 1, 19. Πολλοὶ τῶν ἀνθρώπων διὰ τὰς ἀκρασίας οὐκ ἐμμένουσι τοῖς λογισμοῖς. Ἰσ. 15, 221. Ὀλίγα τῶν ἐπιτηδείων εἶχον. Λυ. 31, 18. — Οὐδεὶς ἀνθρώπων μισεῖ τὸ λυσιτελοῦν. Ἰσαῖ. 3, 66. — Ἠδίκηντο οἱ δύο τῶν βασιλέων. Δη. 23, 180. Ταῖς ἡμισείαις τῶν νεῶν Κνίδον ἐφύλασσον. Θ. 8, 35, 2. (Αἱ ἀπὸ τῶν δυνατωτάτων ἡμίσειαι χάριτες πλέον ἢ ὅλον τὸ παρὰ τοῦ ἰδιώτου δώρημα δύνανται. Ξε. Ἱέρ. 8, 4.)

A. 2. Von Pronominen können den partitiven Ge. annehmen die demonstrativen und relativen, wie auch das pronominale ὁ μέν und ὁ δέ vgl. § 50, 1, 6; ferner τίς und τὶς (nebst οὐδείς, μηδείς), ἔνιοι, πολλοί; πότερος, ὁπότερος, ποῖος, ὁποῖος, πόσος, ὁπόσος, ἑκάτερος, (οὐδέτερος, μηδέτερος,) ἕκαστος: eben so wie die Kardinalzahlen A. 1. Bei ὁ μὲν und ὁ δέ, ὅς und ὅστις steht der Ge. meist entweder unmittelbar vor oder nicht unmittelbar nach diesen Wörtern. [Kr. z. Xe. An. 1, 7, 13.] Τῶν πολιτειῶν αὗται πλεῖστον χρόνον διαμένουσιν αἵτινες ἂν ἄριστα τὸ πλῆθος θεραπεύωσιν. Ἰσ. 2, 16. [z. Th. 1, 71, 1.] Τοὺς τοιούτους τῶν νόμων διαφθείρουσιν. Δη. 24, 215. — Οἱ τύραννοι οὓς τῶν πολιτῶν δεδίασι, χαλεπῶς μὲν αὐτοὺς ζῶντας ὁρῶσι, χαλεπῶς δὲ ἀποκτείνουσιν. Ξε. Ἱέρ. 6, 15. Τῶν ἀδικημάτων οὐ ῥᾴδιον εὑρεῖν ὃ μήπω τυγχάνει γεγενημένον. Ἰσ. 11, 45. — Ὅστις δὲ θνητῶν θάνατον ὀρρωδεῖ λίαν, μῶρος πέφυκε· τῇ τύχῃ μέλει τάδε. Στ. 118, 12. Δίκαιον τιμᾶν τῶν νέων ὅσοι ἀγαθοί. Πλ. πολ. 468, c. Γενναῖα καλοῦμεν τῶν ζῴων ὁπόσα καλὰ καὶ μεγάλα καὶ ὠφέλιμα ὄντα πρᾳέα ἐστὶ πρὸς τοὺς ἀνθρώπους. Ξε. οἰκ. 15, 4. Ὁποῖα τῶν χωρίων ἁλώσιμα ἐδόκει εἶναι ἐνεπίμπρασαν. Ξε. ἀν. 5, 2, 3.

Τὸν μὲν γιγνώσκω ὑμῶν, τὸν δ' οὐ γιγνώσκω. Πλ. Θε. 193, d. Τῶν δοξῶν τὰς μὲν δεῖ περὶ πολλοῦ ποιεῖσθαι, τὰς δὲ μή. Πλ. Κρίτ. 46, e. Τίς ἂν θεῶν σοι τόνδ' ἄριστον ἄνδρ' ἰδεῖν δοίη; Σο. ΟΚ. 1100. [Herm. z. So. Ai. 977.] Ἔν τισι τῶν γενῶν ἡ μανία ἐγγενομένη ἀπαλλαγὴν εὕρετο. Πλ. Φαῖδρ. 244, e. Ἐν ἐνίαις τῶν πόλεων οὐκ ἔξεστι τῶν πολιτῶν οὐδενὶ βαναυσικὰς τέχνας ἐργάζεσθαι. Ξε. οἰκ. 4, 3. Οὐκ ἔστιν οὐδὲν τῶν ἐν ἀνθρώποις ἴσον. Εὐ. Στ. 43, 12. Ποτέρῳ νῦν χρήσονται τῶν λόγων; Ἀντ. 5, 36. Τούτων ὁπότερον βούλει ποίει. Πλ. Γο. 462, b. Οἱ Ἀθηναῖοι πολλὰς πόλεις ἐφ' ἑκατέρας τῶν ἠπείρων ἔκτισαν. Ἰσ. 12, 44. Κινδυνεύει ἡμῶν οὐδέτερος οὐδὲν καλὸν κἀγαθὸν εἰδέναι. Πλ. ἀπ. 21. Αἱ χεῖρες ἃ διανοούμεθα ἑκάστῳ ἡμῶν ὑπουργοῦσιν. Ἀντ. 4, γ 4.

A. 3. Im Ge. steht das Ganze, wenn der Teil, mit dem Teilbegriffe in gleichem Kasus, wenn das Ganze als Hauptsache hervortritt. [Vgl. § 50, 1, 6 u. Kr. z. Xen. An. 5, 6, 30.] Τοῦ περιβόλου βραχέα εἱστήκει καὶ οἰκίαι αἱ μὲν πολλαὶ πεπτώκεσαν, ὀλίγαι δὲ περιῆσαν. Θ. 1, 89, 3. Φέρετον τὼ ὁδὼ ἡ μὲν εἰς μακάρων νήσους, ἡ δὲ εἰς τάρταρον. Πλ. Γο. 524, a. — Ἀμελεῖσθαι δοκοῦντες στρατιῶται οἱ μὲν ἀγαθοὶ πολὺ ἀθυμότεροι γίγνονται, οἱ δὲ πονηροὶ πολὺ ὑβριστότεροι. Ξε. Κυ. 5, 5, 41. — Τὰ ἐν τοῖς πολέμοις πλεονεκτήματα εὕροι τις ἂν τὰ πλεῖστα καὶ μέγιστα σὺν ἀπάτῃ γεγενημένα. Ξε. Ἱπ. 5, 11. Δύο ὑποσχέσεις τὴν μὲν ἐβούλετο ἀναπρᾶξαι, τὴν δὲ αὐτὸς ἀποδοῦναι. Θ. 2, 95, 1. Vgl. § 57, 8 A. [u. Reg. z. Th. u. Apposition.]

A. 4. Der Ge. ist nicht, wie im Deutschen, statthaft, wo ein numerischer Begriff als Prädikat eintritt. Οἱ μὲν φαῦλοι πολλοὶ καὶ οὐδενὸς ἄξιοι, οἱ δὲ σπουδαῖοι ὀλίγοι καὶ παντὸς ἄξιοι. Πλ. Εὐθύδ. 207, a. Ἐς τὰς ναῦς, αἳ ἐφρούρουν δύο, κατέφυγον. Θ. 4, 113, 2. [Kr. Reg. z. Th. u. Numeralia.]

A. 5. Häufiger als beim Positiv steht der partitive Ge. bei Superlativen, die (wenn sie kein eigenes Nomen haben) im Genus sich nach dem Ge. richten. Δεσμῶν κάλλιστος ὃς ἂν αὐτὸν καὶ τὰ ξυνδούμενα μάλιστα ἓν ποιῇ. Πλ. Τί. 31, c. Τὸ νικᾶν αὐτὸν αὑτὸν πασῶν νικῶν πρώτη τε καὶ ἀρίστη. Πλ. νό. 626, e. Ἀρετὴ μέγιστον τῶν ἐν ἀνθρώποις καλῶν. Εὐ. ἀποσ. ἀδ. 6 (1017.) Ὡς ἔστι τὸ γαμεῖν ἔσχατον τοῦ δυστυχεῖν. Ἀντιφάνης 279 (292). Ἐμὸν ἔργον ἐστὶ προαιρεῖσθαι τῶν λόγων μὴ τοὺς ἡδίστους, ἀλλὰ τοὺς ὠφελιμωτάτους. Ἰσ. 8, 39.

A. 6. Gewöhnlich steht der Superlativ im Genus des Ge. auch dann, wenn ein Subjekt von verschiedenem Genus da ist. Πάντων κτημάτων κράτιστον ἂν εἴη φίλος σαφὴς καὶ ἀγαθός. Ξε. ἀπ. 2, 4, 1. Ὁ παῖς πάντων θηρίων ἐστὶ δυσμεταχειριστότατον. Πλ. νο. 808, d. [Ἄνθρωπος πάντων θηρίων θεοειδέστατος. Ἀντ. b. Suidas s. v. θεοειδέστατον. vgl. Porson z. Eu. Phoi. 1730. Ὁ πόντος πελαγέων ἁπάντων πέφυκε θαυμασιώτατος. Ἡρ. 4, 85, 1.]

(A. 7. Beide Begriffe können verschiedenartig sein, der Ge. ein persönlicher, der Superlativ (mit seinem Nomen) ein sachlicher und umgekehrt. Οἱ Ἀθηναῖοι δύναμιν εἶχον μεγίστην τῶν Ἑλλήνων. Θ. 4, 60, 1. Κῦρος διήνεγκε τῷ πλεῖστα ἀνθρώπων δωρεῖσθαι. Ξε. Κυ. 8, 2, 7. (Καλλίας σῶμα ἀξιοπρεπέστατον ἰδεῖν τῆς πόλεως εἶχεν. Ξε. συ. 8, 40. Σοφία παλαιοτάτη τε καὶ πλείστη τῶν Ἑλλήνων ἐν Κρήτῃ τε καὶ Λακεδαίμονι καὶ σοφισταὶ πλεῖστοι γῆς ἐκεῖ εἰσιν. Πλ. Πρω. 342, a.)

A. 8. Auch bei Superlativen von Adverbien findet sich der partitive Ge. selbst im Singular. Πάντων τῶν δεινῶν ὁ φόβος μάλιστα καταπλήττει τὰς ψυχάς. Ξε. Κυ. 3, 1, 25. Πρόδικος τῶν σοφιστῶν κάλλιστα τὰ ὀνόματα διῄρει. Πλ. Λάχ. 197, d. Ἡ ναῦς ἄριστά μοι ἔπλει παντὸς τοῦ στρατοπέδου. Λυ. 21, 6.

A. 9. Selbst wenn der partitive Ge. ein Singular ist, können der Positiv und Superlativ sich ihm im Genus und Numerus assimilieren, wenn nicht bloß, wie durch das Neutrum, die Masse, sondern stoffartige Gleich=

heit zu bezeichnen ist: ἡ ἀρίστη τῆς γῆς der beste Boden des Landes. Ein Sprachgebrauch, der jedoch beim Positiv selten ist, am häufigsten bei (ὁ) πολύς. [Vgl. Reg. z. Th. u. πολύς u. ἥμισυς.] Πολλὴ ἔσται τῆς ὁδοῦ ἄοινος. Ξε. Κυ. 6, 2, 26. Τῆς λείας τὴν πολλὴν ἀπέλαβον. Θ. 8, 3, 2. Πέμπετε τοῦ πεποιημένου σίτου τὸν ἥμισυν. Ξε. Κυ. 4, 5, 1. (vgl. A. 1 E.) Τάχ' ἂν σωφρονέστεροι πρὸς τὸν λοιπὸν τοῦ χρόνου γένοιντο. Δη. 15, 16. — Μάλιστα τῆς γῆς ἡ ἀρίστη ἀεὶ τὰς μεταβολὰς τῶν οἰκητόρων εἶχεν. Θ. 1, 2, 2. Ἡ καλλίστη καὶ μεγίστη τῶν ξυμφωνιῶν μεγίστη δικαιότατ' ἂν λέγοιτο σοφία. Πλ. νό. 689, d. — Τῆς ζημίας μεγίστη τὸ ὑπὸ πονηροτέρου ἄρχεσθαι. Πλ. πολ. 347, c. Ὀρθοτάτη τῆς σκέψεως μετὰ τῶν ἐπισταμένων. Πλ. Κρατ. 391, b. Τὴν μεγίστην τῆς εὐλαβείας παρεσκευασμένοι ἂν εἶεν, εἰ τῷ ὄντι καλῶς πεπαιδευμένοι εἰσίν. Πλ. πολ. 416, b. Τῆς μαρίλης μοι συχνὴν ὁ λάρκος ἐνετίλησεν. Ἀρ. Ἀχ. 350.

(A. 10. Ungenau sagte man μόνος τῶν ἄλλων und verband auch Superlative mit partitiven Ge., die den Begriff des Vorzeitigen enthalten, insofern doch das Subjekt des μόνος, wie das des Superlativs, durch die Beziehung auf den Ge. dessen Sphäre wenigstens sehr nahe gerückt wird: μόνος τῶν ἄλλων so v. a. allein unter allen im Gegensatze zu den übrigen. [Schäfer z. Dem. 3 p. 154]; πόλεμος ἀξιολογώτατος τῶν προγεγενημένων der denkwürdigste der seither geführten Kriege mit den früher geführten zusammengestellt. [Kr. z. Th. 1, 1, 1.] Ὁμήρου καθ' ἑκάστην πενταετηρίδα τῶν Παναθηναίων μόνου τῶν ἄλλων ποιητῶν ῥαψῳδοῦνται τὰ ἔπη. Λυκ. 102. Ἱεροπρεπέστατος δοκεῖς εἶναι τῶν προγεγενημένων. Ξε. συ. 8, 40. Ἀθηναῖοι ἀρχὴν τὴν ἤδη μεγίστην τῶν πρὶν Ἑλλήνων καὶ τῶν νῦν κέκτηνται. Θ. 7, 66, 2.

A. 11. Bei substantivierten Adjektiven und Pronominaladjektiven steht der partitive Ge. (auch im Singular), in der Regel mit dem Artikel, wenn er ein Substantiv oder eine Substantivierung ist. Ὁ σώφρων ἡμῶν θεῷ φίλος· ὅμοιος γάρ. Πλ. νό. 716, c. Σώμασιν ἑτοιμότεροι οἱ αὐτουργοὶ τῶν ἀνθρώπων ἢ χρήμασι πολεμεῖν. Θ. 1, 141, 4. — Τοῦ δήμου ἔνιοι ταῦτα ἐπῄνουν. Ξε. Ἑλ. 1, 7, 12. — Οὐδὲν εὐπετὲς τῶν μεγάλων. Πλ. πολ. 365, e. Ἕνα ἕκαστον ἓν δεῖ ἐπιτηδεύειν τῶν περὶ τὴν πόλιν. Πλ. πολ. 433, a. Τί τῶν φύσει καλῶν ὄντων μελέτῃ κατεργασθὲν αἰσχρὸν ἢ κακόν ἐστιν; Ἰσ. 15, 291. Τῶν Ἀθηναίων ὅπερ ἐστράτευε καθαρὸν ἐξῆλθε καὶ Λημνίων τὸ κράτιστον. Θ. 5, 8, 2. — Λαμβάνων τὸ χρυσίον ἅμα καταδουλοῦται τὸ βέλτιστον ἑαυτοῦ τῷ μοχθηροτάτῳ. Πλ. πολ. 589, e. Λάμψακος ἐδόκει πολυοινότατον τῶν τότε εἶναι. Θ. 1, 138, 6. Ἰταλίας καὶ Σικελίας τὸ πλεῖστον Πελοποννήσιοι ᾤκισαν. Θ. 1, 12, 3. — Ἀρχὴ παντὸς ἔργου μέγιστον. Πλ. πολ. 377, a.

(A. 12. In πάντων μάλιστα ist πάντων das Neutrum und der Ausdruck findet sich daher auch auf Feminina bezogen. Ἦν αὐτῶν ἡ διάνοια τάς πόλεις ἐλευθεροῦν καὶ πάντων μάλιστα τὴν Ἄντανδρον. Θ. 4, 52, 2.)

A. 13. Von Superlativen gebildete Verba haben gleichfalls den Ge. Οἱ Ἀθηναῖοι ἐν τοῖς πολέμοις τῶν καθ' ἑαυτοὺς ἀνθρώπων ἠρίστευσαν. Ξε. ἀπ. 3, 5, 10. Εὐαγόρας ἐν τοῖς ἀγῶσι τῶν ἡλικιωτῶν ἐκρατίστευσεν. Ἰσ. 9, 23. Οἱ Ἀθηναῖοι ἐπρώτευσαν τῶν Ἑλλήνων. Ἰσ. 7, 6.

A. 14. Über den possessiven Ge. bei Substantivierungen R. 10.

29. Zahlreich sind die Adverbia, welche den Ge. regieren, namentlich viele, welche die Art der Stellung zu einem Objekt bezeichnen, auch in nicht sinnlicher Bedeutung. Die lokalen finden sich zuweilen von ihrem Ge. getrennt. *Χωρὶς γὰρ οἰκοῦσ' ἀρεταὶ τῶν ἡδονῶν. Κω. ἀν.* 317 (1286). [z. Xe. An. 1, 8, 23. vgl. 3, 4, 35.]

A. 1. So μεταξύ (wie μέσος 26 A. 5), ἐντός und ἐκτός, εἴσω (ἔσω) und ἔξω, χωρίς; εὐθύ, ἐγγύς, πλησίον, πρόσω und πόρρω; auch in Verbindung mit Verben der Bewegung. Vgl. § 66, 3, 6. Über πόρρω § 47, 10, 4, ἐναντίον § 48, 13, 4; vereinzelt ἐνώπιον Aisch. 3, 43. Ἔστι [τι] μεταξὺ σοφίας καὶ ἀμαθίας. Πλ. συ. 202, a. Εἴσω τοῦ ἐρύματος ἦλθον. Ξε. Ἱέρ. 2, 10. Φθόνος ἔξω θείου χοροῦ ἵσταται. Πλ. Φαῖδ. 247, a. Ἐχώρουν ἔξω τοῦ τείχους. Θ. 3, 22, 5. Πέπεισο μὴ εἶναι σὸν κτῆμα ὅπερ μὴ ἐντὸς διανοίας ἔχεις. Πυθ. Στ. 1, 23. Θύαμις ποταμὸς ὁρίζει τὴν Θεσπρωτίδα καὶ Κεστρίνην, ὧν ἐντὸς ἡ ἄκρα ἀνέχει τὸ Χειμέριον. Θ. 1, 46, 3. (Ὃς ἂν ἱεροσυλῶν ληφθῇ ἐκτὸς τῶν ὅρων τῆς χώρας γυμνὸς ἐκβληθήτω. Πλ. νό. 854, c.) — Ὁ δικαίως τὸν βίον διελθὼν καὶ ὁσίως εἰς μακάρων νήσους ἀπιὼν οἰκεῖ ἐν πάσῃ εὐδαιμονίᾳ ἐκτὸς κακῶν. Πλ. Γο. 523, a. — Οὐδενὶ χωρὶς τῶν ὀλίγων καὶ σμικρῶν πολλὰ ἢ μεγάλα. Πλ. νό. 902, d. Ὅρα, πόνου τοι χωρὶς οὐδὲν εὐτυχεῖ. Σο. Ἠλ. 945. Εὐθὺ τῆς Φασήλιδος τὸν πλοῦν ἐποιεῖτο. Θ. 8, 88. Ἐγγὺς ἀγαθοῦ παραπέφυκε καὶ κακόν. Μέ. 400 (7), 3. Τὸ μὲν θεῖον κράτιστον, τὸ δ' ἐγγυτάτω τοῦ θείου ἐγγυτάτω τοῦ κρατίστου. Ξε. ἀπ. 1, 6, 10. Τὸ δικαστήριον πλησίον ἦν τοῦ δεσμωτηρίου. Πλ. Φαίδ. 59, d. Οἱ ποταμοὶ πρόσω τῶν πηγῶν ἄποροί εἰσιν. Ξε. ἀν. 3, 2, 22. Πόρρω που τοῦ ἀληθοῦς ἡ μιμητική ἐστιν. Πλ. πολ. 598, b.

A. 2. Ferner gehören hieher (ἔμ)προσθεν, (ἐξ)όπισθεν, [κατόπιν vgl. Kr. z. Arr. 1, 13, 1], (ἄποθεν, ἄνωθεν,) ἀμφοτέρωθεν, ἑκατέρωθεν, ἔνθεν καὶ ἔνθεν; πέραν, (κατ)αντιπέρας und ἀντιπέραν, καταντικρύ; πέρα und πλήν. [Über πέριξ Kr. z. Xe. An. 7, 8, 12.] Παρήγγειλε παρεῖναι πρόσθεν τοῦ στρατοπέδου. Ξε. Ἑλ. 4, 1, 22. Τῆς ἀρετῆς ἔμπροσθεν οἱ θεοὶ ἱδρῶτα ἔθεσαν. Πλ. Πρω. 340, d. Ὄπισθεν τοῦ στρατοπέδου ἐπυρπόλουν. Ξε. Κυ. 3, 3, 25. [Κατόπιν ἑορτῆς ἥκομεν. Πλ. Γο. 447, a.] (Τὸ χωρίον ἦν ἄποθεν τοῦ τείχους. Αἰ. 1, 99. Δεσμεύειν τὸν ἵππον ἄνωθεν κεφαλῆς δεῖ. Ξε. ἱππ. 5, 4.) Ἀμφοτέρωθεν τῆς ὁδοῦ ἔστασαν. Ξε. Ἑλ. 5, 2, 6. Ἦν λόφος καρτερὸς καὶ ἑκατέρωθεν αὐτοῦ χαράδρα. Θ. 7, 78, 3. Στίχοι ἑστήκεσαν ἔνθεν καὶ ἔνθεν τῆς ὁδοῦ. Ξε. Κυ. 8, 3, 9. Τούτους ἥρπασαν πέραν τοῦ ποταμοῦ ἐς τὸ ἀσφαλές. Θ. 6, 101, 5. Ζάκυνθος ἡ νῆσος κεῖται ἀντιπέρας Ἤλιδος. Θ. 2, 66. Χερρόνησός ἐστι καταντιπέρας Ἀβύδου. Ξε. ἀν. 1, 1, 9. Ἔσχον ἐς τὰ καταντικρὺ Κυθήρων τῆς Λακωνικῆς. Θ. 7, 26, 2. Μὴ φοβεῖσθε πέρα τοῦ μετρίου. Δη. 14, 35. Ἐλεύθερος οὐδείς ἐστι πλὴν Διός. Αἰσ. Προ. 50. Ἅπανθ' ὁ λιμὸς γλυκέα πλὴν αὐτοῦ ποιεῖ. Ἀντιφάνης 291 (293).

A. 3. Über den Ge. bei substantivierten Pronominen und Adverbien § 47, 10, 2 ff.; bei ἄλις u. ἄδην § 62, 1, 3 u. 2, 4, δίχα, λάθρα und κρύφα § 66, 2 u. A. 2.

§ 48. Dativ.

I. Lokaler und temporaler Dativ.

1. Der Dativ in weitester Bedeutung bezeichnet, daß einem Begriffe etwas beigelegt, zugewiesen werde.

A. 1. Hiemit in Verbindung steht die ursprüngliche lokale Bedeutung. S. § 46, 1, 3. Noch zu bemerken ist κύκλῳ neben dem selteneren ἐν κύκλῳ im Kreise, rings herum [z. Th. 3, 18, 3. vgl. Ast, Lex. Plat.] Ἐκέλευσε κύκλῳ τοῦ στρατοπέδου κρυπτεύειν. Ξε. Κυ. 4, 5, 5. Ἐμπιπρᾶσι τὰς οἰκίας τὰς ἐν κύκλῳ τῆς ἀγορᾶς. Θ. 3, 74, 2. Τάφρον ὤρυττε κύκλῳ περὶ τὴν πόλιν. Ξε. Ἑλ. 5, 2, 4.

[A. 2. Vereinzelt findet sich ἔχειν anlegen, anlanden mit dem Da. eines Ortnamens für εἰς oder κατά mit dem Ac. bei Thuk. 3, 29, 1. 33. 7, 1, 2. vgl. Her. 1, 148?]

2. Bei Zeitangaben steht der bloße Da., wenn sie bloß das Datum einer Begebenheit bezeichnen; ἐν mit dem Da., wenn sie als Zeitraum zu betrachten sind, in dessen Währung, Verlauf etwas gehört.

A. 1. So steht der Da. (datierend) in der Regel ohne ἐν, wenn der Tag eines Monats anzugeben ist; eben so τῇ προτεραίᾳ, τῇ ὑστεραίᾳ, τῇ προτέρᾳ, πρώτῃ, δευτέρᾳ 2c. (ἡμέρᾳ) u. ä.; τῇ πανσελήνῳ Ar. Ach. 84, ἕνῃ καὶ νέᾳ Wo. 1197. Vgl. § 47, 2, 4. Ziemlich regelmäßig steht auch von Festnamen der Da. ohne ἐν, immer bei Ar. (ähnlich τραγῳδοῖς καινοῖς); aber nur ἐν (τῇ) ἑορτῇ. vgl. Her. 2, 42, 3. Τὰ ἀρχαιότερα Διονύσια τῇ δωδεκάτῃ ποιεῖται ἐν μηνὶ Ἀνθεστηριῶνι. Θ. 2, 15, 3. Ἱερὸν ὄρος κατείληφε Φίλιππος Ἐλαφηβολιῶνος μηνὸς ἕκτῃ φθίνοντος. Aἰ. 2, 90. Θεσμοφορίοις νηστεύομεν. Ἀρ. ὄρ. 1519. Χθὲς αὐτὸν διέφυγον τοῖς ἐπινικίοις. Πλ. συ. 174, a.

A. 2. Gewöhnlich ohne ἐν stehen auch μηνί, ἔτει, ἐνιαυτῷ mit einer Ordinalzahl oder einem Particip verbunden. Οἱ Σάμιοι ἐξεπολιορκήθησαν ἐνάτῳ μηνί. Θ. 1, 117, 3. Οἱ ἐν Ἰθώμῃ τετάρτῳ ἔτει ξυνέβησαν. Θ. 1, 103, 1. Μέλλει νέος ἐνιαυτὸς μετὰ θερινὰς τροπὰς τῷ ἐπιόντι μηνὶ γίγνεσθαι. Πλ. νό. 767, c. [Beispiele von ἐν z. Th. 1, 87, 4.]

A. 3. Von ὅδε, οὗτος, ἐκεῖνος, ὁ αὐτός begleitet ist der Da. sowohl mit als ohne ἐν statthaft. Also neben τῇδε, ταύτῃ, ἐκείνῃ τῇ ἡμέρᾳ, auch ἐν τῇδε, ταύτῃ, ἐκείνῃ τῇ ἡμέρᾳ u. ä., wie ᾗ ἡμέρᾳ neben ἐν ᾗ ἡμέρᾳ. In der Regel jedoch findet sich nur ἐν τούτῳ oder ἐκείνῳ τῷ χρόνῳ, τῷ καιρῷ (auch wenn das Substantiv nach ἐν eintritt), ἐν τῷ πρότερον oder πρόσθεν χρόνῳ, wie gewöhnlich auch ἐν τῷδε, τούτῳ τῷ, τῷ αὐτῷ μηνί, θέρει, χειμῶνι, ἔτει, ἐνιαυτῷ. Dagegen findet sich ὑστέρῳ χρόνῳ neben ἐν (τῷ) ὑστέρῳ χρόνῳ. [z. Th. 8, 27, 2.] Nie fehlt ἐν bei Substantivierungen, wie ἐν ὑστέρῳ, ἐν τῷ παρόντι, ἐν τούτῳ, ἐν τῷ τότε, ἐν τῷ παραχρῆμα u. a. Ἐν παντὶ δεῖ καιρῷ τὸ δίκαιον ἐπικρατεῖν ἁπανταχοῦ. Μέ. 172 (3). Über ἐν ἡμέρᾳ ῥητῇ z. Th. 4, 76, 3.

A. 4. Neben μιᾷ ἡμέρᾳ u. ä. ist ἐν μιᾷ ἡμέρᾳ üblich, aber wohl nur ἐν ἡμέρᾳ; bei größeren Kardinalzahlen, so wie bei πολύς, ὀλίγος u. ä. hat der temporale Da. regelmäßig ἐν. Ἑρμαῖ μιᾷ νυκτὶ οἱ πλεῖστοι περιεκόπησαν τὰ πρόσωπα. Θ. 6, 27, 1. Οὐ ῥᾴδιον τὰ ἐν ἅπαντι τῷ χρόνῳ πραχθέντα ἐν μιᾷ ἡμέρᾳ δηλωθῆναι. Λυ. 2, 54. Ἔργον συναγαγεῖν σωρὸν ἐν πολλῷ χρόνῳ, ἐν ἡμέρᾳ δὲ διαφορῆσαι ῥᾴδιον. Δίφιλος 99 (100). Οὐ ῥᾴδιον ἄνοιαν ἐν μικρῷ μεταστῆσαι χρόνῳ. Μέ. 492 (504). Ἐν ἑβδομήκοντα ἔτεσιν οὐδ' ἂν εἷς λάθοι πονηρὸς ὤν. Λυ. 19, 60. [Über das seltene ὀλίγῳ χρόνῳ 2c. vgl. Dial. Sh. § 48, 2, 9.]

[A. 5. Hiemit nicht zu verwechseln ist der ἐν verschmähende Da. der Differenz in Verbindungen wie δέκα ἔτεσι πρότερον oder πρό τινος, ὕστερον oder μετά τι eig. um zehn Jahre. Vgl. 15 A. 12.]

A. 6. Ἐν muß dem Da. beigefügt werden, wenn das Substantiv ohne adjektivische Bestimmung (Adjektiv, Pronominaladjektiv, Particip oder Adverbium mit dem Artikel) eintritt, wofern es nicht ein Festname ist. Ἐν νυκτὶ βουλὴ τοῖς σοφοῖσι γίγνεται. Μέ. μο. 150. Δοκεῖ βέλτιον εἶναι ἐν τῷ χειμῶνι παχέα ἱμάτια φορεῖν. Ξε. οἰκ. 17, 3. Τὰς μεγάλας ἡδονὰς οἱ ἐν τῷ καιρῷ πόνοι παρέχονται. Ξε. Κυ. 3, 3, 8.

(A. 7. Die Ausnahmen hievon sind meist nur scheinbar, indem das Adjektiv entweder in dem Substantiv enthalten ist oder durch einen Genitiv vertreten wird. Νουμηνίᾳ κατὰ σελήνην ὁ ἥλιος ἐξέλιπε. Θ. 2, 28. Τίς κίνδυνος μείζων ἀνθρώποις ἢ χειμῶνος ὥρᾳ πλεῖν; Ἀνδ. 1, 137. Vgl. Dial. Sy. A. 8)

A. 8. Der Da. nicht temporaler Begriffe als Zeitbestimmung gebraucht, erfordert in der Regel ἐν, auch wenn er einen adjektivischen

Zusatz hat. Τὰ ἐπιτηδεύματα κοινὰ ἐν πολέμῳ τε καὶ εἰρήνῃ εἶναι δεῖ. Πλ. πολ. 543, a. Οὐδὲν τῆς σῆς ἀρχῆς ἀδικήσει ἐν ταῖς σπονδαῖς. Ξε. Ἑλ. 3, 4, 5. — Φῄς με ἐν τῇ προτέρᾳ πρεσβείᾳ λαθεῖν σαυτὸν συνεστηκότα ἐπὶ τὴν πόλιν, ἐν δὲ τῇ ὑστέρᾳ αἰσθέσθαι. Αἰ. 2, 123.

[A. 9. Einige Abweichungen finden sich, besonders bei Thuk., die nicht füglich als dynamische Dative erklärbar sind. So Βυζάντιον εἷλε τῇ προτέρᾳ παρουσίᾳ 1, 128, 3. Ἐς τὸ πεδίον ἐκείνῃ τῇ ἐσβολῇ οὐ κατέβη 2, 20, 1 u. 3. vgl. 57 (u. Her. 6, 92, 1.) Μάχῃ τῇ ἐν τῇ ἡμετέρᾳ χώρᾳ γενομένῃ παρεγενόμεθα ὑμῖν 3, 54, 2. vgl. Her. 9, 102, 1. (Über τῷ πολέμῳ rc. z. Th. 1, 55, 3.) Eben so steht auch gegen A. 6 an einigen, jedoch z. Th. zw. St. καιρῷ für ἐν καιρῷ. [vgl. Dial. Sy. § 48, 2, 8 u. über γαλήνῃ eb. § 47, 2, 2.] Ohne ἐν findet sich zuweilen τῇ (προτέρᾳ) ἐκκλησίᾳ Thuk. 1, 44, 1; Aisch. 2, 65. 3, 34. Ἀνέστη τῇ προτέρᾳ τῶν ἐκκλησιῶν ἐν αἷς περὶ τῆς εἰρήνης ἐβουλεύεσθε. Δη. 19, 13. Πρυτανείᾳ 18, 75.]

A. 10. Nicht hieher gehört χρόνῳ, als Da. der Differenz: um (einige, geraume) Zeit; als dynamischer Da., wie das seltenere (τῷ) χρόνῳ, mit der Zeit, nach (einiger, geraumer) Zeit; [z. Th. 4, 85, 1 u. Dial. Sy. § 48, 2, 11.] Χρόνῳ ὕστερον ξυνέβη Θασίους ἀποστῆναι. Θ. 1, 100, 2. Ὕστερον χρόνῳ ἐπὶ Τροίαν ἐστράτευσαν. Θ. 1, 8, 3. — Πάλιν χρόνῳ τἀρχαῖα καινὰ γίγνεται. Γν. 586. Ἀθηναῖοι ναῦς τῶν πόλεων τῷ χρόνῳ παρέλαβον. Θ. 1, 19.

II. Dativ des Besitzes, des Interesses, der Relation und der Teilnahme.

3. Wie der Ge., so steht auch der Da. bei *εἶναι* und *γίγνεσθαι*, *ὑπάρχειν* (nach A. 3 auch bei *καθίστασθαι*) und mehr poetisch bei *πεφυκέναι*, so jedoch, daß er nicht wie jener das Angehören oder Eigentum, sondern nur das Zugehören oder den Besitz (*περιποίησιν* vgl. Apoll. *π. συντ.* 3, 32 p. 290) bezeichnet, mit Bezug auf Verfügung (Disposition) und Benutzung oder Einwirkung. *Εἴη ἄν τι ἐκείνῳ (τῷ ἑνὶ) καὶ ἐκείνου. Πλ. Παρ.* 155, d. *Ἀνάγκη ἐμέ τε τινὸς γίγνεσθαι, ὅταν αἰσθανόμενος γίγνωμαι, ἐκεῖνό τε τινὶ γίγνεσθαι, ὅταν γλυκὺ ἢ πικρὸν ἤ τι τοιοῦτον γίγνηται· γλυκὺ γάρ, μηδενὶ δὲ γλυκὺ γίγνεσθαι ἀδύνατον. Πλ. Θέ.* 160, a.

A. 1. So zunächst, wenn der Satz nur ein Subjekt hat, das Prädikat aber im Verbum enthalten ist: ἔστι gehört, γίγνεται wird gehörig. Ἆρ' ἄν τι ὠφελοίη τὰ ἀγαθά, εἰ εἴη μόνον ἡμῖν, χρῴμεθα δ' αὐτοῖς μή; Πλ. Εὐθύδ. 280, c. Οὐδὲν οὕτως ἡμέτερόν ἐστιν ὡς ἡμεῖς ἡμῖν αὐτοῖς. Ξε. Κυ. 4, 3, 10. — Φύσει ὑπάρχει τοῖς παροῦσι τὰ τῶν ἀπόντων καὶ τοῖς ἐθέλουσι πονεῖν καὶ κινδυνεύειν τὰ τῶν ἀμελούντων. Δη. 4, 5. — Αὐτόματα τἀγαθὰ τῷ φιλουμένῳ γίγνεται καὶ παρὰ θεῶν καὶ παρ' ἀνθρώπων. Ξε. Ἱέρ. 3, 5. Πόθεν αἱ διαβολαί σοι αὗται γεγόνασιν; Πλ. ἀπ. 20, c.

A. 2. Sodann beim Prädikat, wenn das Verbum kein bestimmtes Subjekt hat, wo wir dafür es setzen, wiewohl eigentlich auch hier der No. das Subjekt und das Prädikat im Verbum enthalten ist: ἔστιν ist vorhanden, γίγνεται entsteht, wird zu teil. Ἔστιν ἀνθρώπῳ λογισμός, ἔστι καὶ θεῖος λόγος. Ἐπιχ. Στ. 1 p. LV. Ἄλλοις μὲν χρήματά ἐστι πολλά, ἡμῖν δὲ ξύμμαχοι ἀγαθοί. Θ. 1, 86, 2. Τί ἡμῖν ἔσται, ἐάν σοι ξυνῶμεν; Πλ. Γο. 455, d. Πόλλ' ἔστιν ἀνθρώποισιν ὦ ξένοι κακά. Εὐ. Ἀντιόπη 42 (203). Ἦν υἱὸς τῷ Σφοδρίᾳ. Ξε. Ἑλ. 5, 4, 25. — Ἱππίᾳ μόνῳ τῶν ἀδελφῶν παῖδες ἐγένοντο. Θ. 6, 55, 1. Πάππων καὶ προγόνων

μυριάδες ἑκάστῳ γεγόνασιν ἀναρίθμητοι. Πλ. Θε. 175, a. Vgl. Kr. z. Xen. An. 1, 7, 8.

A. 3. Ferner wenn beide, Subjekt und Prädikat, da stehen, wo der Da. meist unserm für entspricht. Ἐκείνη ἑταίρα ἦν τῷ βουλομένῳ καὶ οὐ γυνὴ τοῦ ἡμετέρου θείου. Ἰσαῖ. 3, 13. Τίς ἔστ' ἀνήρ σοι; Ἀρ. θε. 619. Ἡ γῆ ἀνθρώπῳ ἐστὶ χρήματα. Ξε. οἰκ. 1, 8. — Τὸ σῶμά ἐστιν ἡμῖν σῆμα. Πλ. Γο. 493, a. Οἱ νόμοι ζημίαι μόνον εἰσὶ τοῖς ἁμαρτάνουσιν. Ξε. οἰκ. 14, 7. Λύπης ἰατρός ἐστιν ἀνθρώποις λόγος. Μέ. μο. 326. — (Τερπνὸν κακὸν πέφυκεν ἀνθρώποις γυνή. Μέ. μο. 493.) — Οἰκεῖα τά τε σὰ ἡμῖν ὑπάρξει καὶ σοὶ τὰ ἡμέτερα. Πλ. Λάχ. 181, a. — Παράδειγμα αὐτοῖς αἱ τῶν πέλας ξυμφοραὶ ἐγένοντο. Θ. 3, 39, 3. Ἡσίοδον καὶ Θέογνιν καὶ Φωκυλίδην φασὶν ἀρίστους γεγενῆσθαι συμβούλους τῷ βίῳ τῷ τῶν ἀνθρώπων. Ἰσ. 2, 43. — Πρὸς τοὺς ἀστυγείτονας πᾶσι τὸ ἀντίπαλον καὶ ἐλεύθερον καθίσταται. Θ. 4, 92, 3.

A. 4. Besonders in diesem Falle kann ἐστίν, εἰσίν auch ausgelassen werden. Μεγάλη τυραννὶς ἀνδρὶ τέκνα καὶ γυνή. Εὐ. Οἰδ. 7 (547). Οἱ πόνοι ὄψον τοῖς ἀγαθοῖς. Ξε. Κυ. 7, 5, 80. Φθόνος τοῖς ζῶσι πρὸς τὸ ἀντίπαλον. Θ. 2, 45, 1.

A. 5. Dieser Ausdrucksweise (A. 3 vgl. 4) bedient sich der Grieche auch da, wo wir gereichen, dienen sagen, der Lateiner auch den sachlichen Begriff im Da. eintreten läßt, selbst wo derselbe eigenschaftliche Bedeutung hat. Οἱ ῥήτορες ἐπολίτευσαν ἃ κατορθούμενα μὲν τοῖς ἰδιώταις τιμὴ καὶ ὠφελία μᾶλλον ἦν, σφαλέντα δὲ τῇ πόλει ἐς τὸν πόλεμον βλάβη καθίστατο. Θ. 2, 65, 4. Γυναικὶ κόσμος ὁ τρόπος, οὐ τὰ χρυσία. Μέ. μο. 92. (Κόραισι κόσμος ἡ σιγή. Σο. Ἀκρ. 61, 4. Vgl. Th. 1, 5, 2 u. § 61, 7, 5.)

A. 6. Auch bei der Redensart ὄνομά (ἐστί) τινι steht der Name selbst mit ὄνομα immer in demselben Kasus. Τῷ μὲν πατρὶ Πυριλάμπης ὄνομα, αὐτῷ δέ γε Ἀντιφῶν. Πλ. Παρ. 126, b. Ἔδοξα ἀκοῦσαι ὄνομα αὐτῷ εἶναι Ἀγάθωνα. Πλ. Πρω. 315, e. (Daneben z. B. εἷλον κώμην Πόλιν ὄνομα ἔχουσαν. vgl. Kr. z. Th. 3, 101, 2 u. z. Her. 5, 52, 4.)

(A. 7. In der Formel τί (οὐδέν, μηδέν) πλέον ἐμοί (ἐστι). γίγνεται; was (nichts) habe ich, gewinne ich davon? ist πλέον elliptisch: mehr als ohne dies. Τί ἐμοὶ πλέον τὸ τὴν γῆν πλατύνεσθαι, αὐτὸν δὲ ἀτιμάζεσθαι; Ξε. Κυ. 5, 5, 34. Πλέον οὐδὲν ἦν ἀγανακτοῦσιν ἡμῖν. Δη. 35, 31. Τῶν ἀθλητῶν δὶς τοσαύτην ῥώμην λαβόντων οὐδὲν ἂν πλέον γένοιτο τοῖς ἄλλοις. Ἰσ. 4, 2. Εἰ γένοιτο τοῖς χρηστοῖς μηδ' ὁτιοῦν πλέον, πόση ταραχὴ γένοιτ' ἂν εἰκότως; Δη. 24, 217.)

(A. 8. Τί (ἐστιν) ἐμοί mit dem Subjekt τοῦτο [selten einem Inf.] bedeutet was verschlägt es mir? oder welche Folgen entstehen daraus für mich? Εἰ Φαίδραν λοιδορεῖ, ἡμῖν τί τοῦτ' ἔστιν; Ἀρ. θε. 497. Σκεψώμεθα τί τοῦτ' ἔσται τῇ πόλει, ἐὰν ἅπαντες λειτουργῶσιν. Δη. 20, 20. Dem. 54, 17 u. Schäfer z. Lamb. B. p. 598 s.)

(A. 9. Τί ἐμοὶ καὶ σοί (ἐστιν); bedeuten was habe ich mit dir zu schaffen? vgl. A. 2. Τί τῷ νόμῳ καὶ τῇ βασάνῳ; Δη. 29, 26. Τί ἔστ' Ἐρεχθεῖ καὶ κολοιοῖς καὶ κυνί; Ἀρ. ἱπ. 1022.)

(A. 10. Wie εἶναι kann auch ein Verbum der Vorstellung oder Äußerung mit dem Dativ verbunden werden. Κῦρος τὸν ἀγαθὸν ἄρχοντα βλέποντα νόμον τοῖς ἀνθρώποις ἐνόμιζεν. Ξε. Κυ. 8, 1, 22. Κακὸν ἑκάστῳ τι καὶ ἀγαθὸν λέγεις. Πλ. πολ. 608, e. Τῷ πλέγματι τούτῳ τὸ ὄνομα ἐφθεγξάμεθα λόγον. Πλ. σοφ. 262, d.)

4. An den besitzlichen Da. schließt sich der Da. des Interesses (da. commodi oder incommodi), der wie bei Substantiven nach 3 A. 3 und Adjektiven, so auch bei Verben aller Art bezeichnet,

wem zum Vorteil, zum Gebrauch oder zum Schaden etwas statt findet.

A. 1. Am gewöhnlichsten ist dieser Da. ein persönlicher Begriff. Πόλει γὰρ εὐτυχοῦντες οἱ κακοὶ νόσος. Εὐ. Πλεισθ. 2 (628), 8. — Ὡς ἡδὺ δούλοις δεσπότας χρηστοὺς λαβεῖν. Εὐ. Μελέ. 19 (533). Μισῶ σοφιστὴν ὅστις οὐχ αὑτῷ σοφός. Μέ. μο. 332. Οὐκ οἶδε τὸν μέγιστον ἀνθρώποις θεόν. Εὐ. Αὐγή 3 (271), 4. — Εὔελπίς εἰμι εἶναί τι τοῖς τετελευτηκόσιν.. Πλ. Φαίδ. 63, c. Ἐν ταῖς ψυχαῖς καὶ τὸ εὐδαιμονεῖν καὶ τὸ κακοδαιμονεῖν τοῖς ἀνθρώποις ἀπόκειται. Ξε. Ἱέρ. 2, 4. Ἕκαστος οὐχὶ τῷ πατρὶ καὶ τῇ μητρὶ μόνον γεγένηται, ἀλλὰ καὶ τῇ πατρίδι. Δη. 18, 205. — Ἄλλῳ ὁ τοιοῦτος πλουτεῖ, οὐχ ἑαυτῷ. Πλ. Μενέξ. 246, e. Ἦ αὐτοῖς ἢ τοῖς κρείττοσι τἀγαθὰ πάντες κέκτηνται. Δη. 19, 90. Μεγάλων πραγμάτων καιροὶ προεῖνται τῇ πόλει. Δη. 19, 8. — Πᾶς ἀνὴρ αὑτῷ πονεῖ. Σο. Αἴ. 1366. Ἐστράτευμαι τὰς στρατείας τῇ πόλει. Ἰσαῖ. 7, 41. Πλεῖστα ἐλάμβανε τῇ στρατιᾷ τὰ ἐπιτήδεια. Ξε. Κυ. 6, 1, 24. Οὐχ ἅπασιν ἡμῖν οἱ αὐτοὶ νόμοι γεγραμμένοι εἰσίν. Δη. 35, 45. — Πάντες πάντα κακὰ νοοῦσι τῷ τυράννῳ. Ξε. Ἱέρ. 1, 15. Τὰ χρήματ' ἀνθρώποισιν εὑρίσκει φίλους. Σο. Ἀλε. 109 (86), 1. — (Χρήματα οὐκ ἔχει οὐδ' ἀφορμὴν τῷ πολέμῳ. Δη. 23, 171. Νικίας ἐβούλετο τῷ μέλλοντι χρόνῳ καταλιπεῖν ὄνομα. Θ. 5, 16, 3. Γέρων ἀνὴρ σμικροῦ χρόνου τῷ βίῳ λοιποῦ ὄντος ἐτόλμησας οὕτω γλίσχρως ἐπιθυμεῖν τοῦ ζῆν; Πλ. Κρίτ. 53, e.

(A. 2. Unbestimmt wie der Begriff des Interesses kann dieser Da. auch überhaupt eine Zugehörigkeit bezeichnen: bei, gegen, vor. Ἀταλαίπωρος τοῖς πολλοῖς ἡ ζήτησις τῆς ἀληθείας. Θ. 1, 20, 4. Διαμένει τοῖς βασιλεῦσιν ἡ πολυδωρία. Ξε. Κυ. 8, 2, 7. Οἱ καπηλεύοντες τῷ ἀεὶ ἐπιθυμοῦντι ἐπαινοῦσι πάντα ἃ πωλοῦσιν. Πλ. Πρω. 313, d. Οἱ πολέμιοι τῷ Τισσαφέρνει διεβάλλοντο. Θ. 8, 81, 2.)

A. 3. Über diesen Da. bei ποιεῖν ꝛc. s. § 46, 12, 3.

(A. 4. Hieher gehören die Redensarten στεφανοῦσθαι, κείρεσθαί τινι zu jemandes Ehre. Ἐκέλευε στεφανοῦσθαι πάντας τῷ θεῷ. Ξε. Ἑλ. 4, 3, 21. Κόραι κόμας κεροῦνταί σοι. Εὐ. Ἱπ. 1425.)

5. Auf einen Satz bezogen kann der Da. auch bezeichnen, daß jener nur mit Rücksicht auf diesen (als gültig) zu denken sei: Da. der Relation. *Οἷα μὲν ἕκαστα ἐμοὶ φαίνεται, τοιαῦτα μέν ἐστιν ἐμοί, οἷα δὲ σοί, τοιαῦτα δὲ αὖ σοί. Πλ. Θέ.* 152, a. *Τὰ ἀγαθὰ τοῖς ἀγαθοῖς ὄντως ἀγαθά, τοῖς δὲ κακοῖς κακά. Πλ. νό.* 661, d. — *Ἅπαντα τῷ φοβουμένῳ ψοφεῖ. Σο. Ἀκρ.* 58. *Ὃς οὐδέν εἰμι καὶ τέθνηχ' ὑμῖν πάλαι. Σο. Φι.* 1030.

A 1. Mit dem Particip verbunden kann dieser Da. durch als übersetzt werden: absoluter Da. Τοῖς Ἀθηναίοις τότε τὴν παραθαλάσσιον δῃοῦσι οἱ Λακεδαιμόνιοι τὰ πολλὰ ἡσύχαζον. Θ. 4, 56, 1. Vgl. Reg. z. Th. u. Dativ 1.)

A. 2. Durch wenn man zu übersetzen ist dieser Da., wenn ein allgemeiner Begriff wie τινί, ἀνθρώποις dabei zu ergänzen ist. So besonders bei Lokalangaben. Ein Da. dieser Art ist auch συνελόντι (εἰπεῖν) für den zusammenfassenden, wenn man es zusammengefaßt hat, um es kurz zu sagen vgl. § 55, 1, 2 u. Kr. z. Dem. 4, 7. So ξυνελών Th. 1, 70, 5 ꝛc., συλλαβών Her. 3, 82, 3 mit Kr.s Anm. Ἐπίδαμνός ἐστι πόλις ἐν δεξιᾷ ἐσπλέοντι (ἐς) τὸν Ἰόνιον κόλπον. Θ. 1, 24, 1. Κῦρος λέγεται καταστρέψασθαι πάντα τὰ ἔθνη ὅσα Συρίαν ἐκβάντι οἰκεῖ μέχρι ἐρυθρᾶς θαλάσσης. Ξε. Κυ. 8, 6, 20. — Οὕτω γε σκοπουμένῳ πάνυ ἔοικε ταῦτα

σοφοῦ τινος δημιουργοῦ καὶ φιλοζῴου τεχνήματι. Ξε. ἀπ. 1, 4, 7. — (Συνελόντι πολὺ τὸ διαφέρον κατὰ γένος ἢ κατὰ δόσιν ἀμφισβητεῖν. Ἰσαῖ. 4, 22.) Ὡς συνελόντι εἰπεῖν οὐδὲν ἀξιόλογον ἄνευ πυρὸς ἄνθρωποι τῶν πρὸς τὸν βίον χρησίμων κατασκευάζονται. Ξε. ἀπ. 4, 3, 7. Τὸ νόσημα πολλὰ παραλιπόντι ἀτοπίας τοιοῦτον ἦν. Θ. 2, 51, 1. — Πάντες οἱ ποταμοὶ προϊοῦσι πρὸς τὰς πηγὰς διαβατοὶ γίγνονται. Ξε. ἀν. 3, 2, 22.

A. 3. Auch bei Zeitangaben erscheint der relative Da., wenn mit einem zugehörigen Particip verbunden, bezeichnend, von welcher Zeit her die Angabe zu rechnen sei. [z. Th. 1, 13, 3.] (Πολὺς χρόνος ἐγένετο τῷ Σωκράτει ἐν τῷ δεσμωτηρίῳ. Πλ. Φαίδ. 58, c.) Εὑρήσει δέκα ἔτη τῷ πρώτῳ πολέμῳ διαγεγενημένα. Θ. 5, 20, 3. — Ἡμέραι ἦσαν τῇ Μυτιλήνῃ ἑαλωκυίᾳ ἑπτὰ ὅτε κατέπλευσεν. Θ. 3, 29, 2. Ἡμέρα ἦν πέμπτη ἐπιπλέουσι τοῖς Ἀθηναίοις. Ξε. Ἑλ. 2, 1, 27. — (Ἔτη ταύτῃ τῇ μάχῃ ἑξήκοντα καὶ διακόσιά ἐστι μέχρι τοῦ αὐτοῦ χρόνου. Θ. 1, 13, 3.)

6. Ein persönlicher Da. der Relation kann auch ein Angelegen sein, eine bloße Teilnahme des Geistes, ein Interessieren für etwas bezeichnen: ethischer Da. (besonders persönlicher Pronomina).

A. 1. Rücksichtlich des Willens bezeichnet der ethische Da. die Person, der ein Begehren zu befriedigen ist. Τούτῳ πάνυ μοι προσέχετε τὸν νοῦν. Δη. 18, 178. Τί σοι μαθήσομαι; Ἀρ. νε. 111. Τί σοι παράσχω δῆτα τῷ τεθνηκότι; Εὐ. Ἑλ. 1248. Ἡ γυνὴ ἄχθεται ὅτι οὐ τῶν ἀρχόντων αὐτῇ ὁ ἀνήρ ἐστιν. Πλ. πολ. 549, d. Κλεώνυμός με κελεύει σου δεηθῆναι σῶσαί οἱ τὸν πατέρα. Ξε. Ἑλ. 5, 4, 30. Ποιητήν, εἰ ἀφίκοιτο ἡμῖν εἰς τὴν πόλιν, ἀποπέμποιμεν ἂν εἰς ἄλλην πόλιν. Πλ. πολ. 398, a. [Heindorf z. Plat. Soph. 32 u. Schäfer z. Dem. 2 p. 248. 5 p. 484.]

(A. 2. Hieher gehört auch die Formel μή μοι mir nichts davon, das will ich nicht, wobei oft ein λέγε fehlt. vgl. § 62, 3, 12. Μή μοι θεοὺς καλοῦσα βουλεύου κακῶς. Αἰσ. ἑπ. 223 (206). Μή μοι μυρίους ξένους. Δη. 4, 19.)

A. 3. Rücksichtlich des Gefühls bezeichnet der ethische Da. die Person, welche Freude (oft ironisch) oder Verdruß an der Sache empfindet. Πῶς ἡμῖν ἔχεις; Φιλή. 118 (125). Οὕτως ἡμῖν οἱ ῥήτορες δεξιοί εἰσιν. Πλ. Μενέξ. 235, c. Ἀμουσότεροι γενήσονται ὑμῖν οἱ νέοι. Πλ. πολ. 546, e. Πάντες οἱ παρόντες ὑμῖν πάντα καὶ ὅσα ἂν λέγητε καὶ ὅσα ἂν ποιῆτε ἐπαινοῦσιν. Ξε. Ἱέρ. 1, 14. — Αἱ τέχναι σοι, ἃς πηγάς φασι τῶν καλῶν εἶναι, διεφθαρμέναι ἔσονται. Ξε. Κυ. 7, 2, 13. Παντάπασι τὸ τῶν ἀνθρώπων γένος ἡμῖν διαφαυλίζεις. Πλ. νό. 804, b.

A. 4. Näher bestimmt wird ein solcher Da. (A. 1. 3.) durch ein hinzugefügtes βουλομένῳ (poetisch auch ἐθέλοντι), ἡδομένῳ, ἀσμένῳ, ἀχθομένῳ. [z. Th. 2, 3, 2.] Ἐπισκεψόμεθα σαφέστερον, ἂν ἔτι βουλομένοις ὑμῖν ᾖ. Πλ. σοφ. 254, b. Εἶπον οὐκ ἂν σφίσι βουλομένοις εἶναι διὰ τῆς γῆς σφῶν τὸν στρατὸν ἰέναι. Θ. 7, 35, 2. Θαυμάζω εἰ μὴ ἀσμένοις ὑμῖν ἀφῖγμαι. Θ. 4, 85, 2. Ἐπανέλθωμεν, εἴ σοι ἡδομένῳ ἐστίν. Πλ. Φαίδ. 78, b. Ἐκελεύσθησαν ἐξιέναι ὅτῳ ὑμῶν μὴ ἀχθομένῳ εἴη. Ξε. Κυ. 4, 5, 21. (Θέλοντι κἀμοὶ τοῦτ᾽ ἂν ἦν. Σο. ΟΤ. 1356.)

A. 5. Rücksichtlich des Verstandes bezeichnet der ethische Da. die Person, deren Ansicht die Sache gemäß ist. Ὁ ἐσθλὸς εὐγενὴς ἔμοιγ᾽ ἀνήρ. Εὐ. Δίκ. 11 (345), 2. Ἐκ τούτου τοῦ λόγου ἡμῖν πᾶσαι ψυχαὶ πάντων ζῴων ὁμοίως ἀγαθαὶ ἔσονται. Πλ. Φαίδ. 94, a. — Οὔπω φαίνεται τέλεον ὁ βασιλεὺς ἡμῖν σχῆμα ἔχειν. Πλ. πολιτ. 277, a. Τὸ ἐπανόρθωμά σοι μεῖζον ἁμάρτημα ἔχει ἢ ὃ ἐπανορθοῖς. Πλ. Πρω. 340, d. Θεὸς μέγιστος τοῖς φρονοῦσιν οἱ γονεῖς. Δικαιογένης Στ. 79, 33 (5). (Μάλα ἄτοπος γίγνοιτ᾽ ἂν ὥς γ᾽ ἐξαίφνης ἀκούσαντι Διονύσου πρεσβυτῶν χορός. Πλ. νό. 665, b. (Über ὡς ἐμοὶ Heindorf z. Plat. Soph. 25. 42.)

[A. 6. Vereinzelt sind ὡς γοῦν ἐμοὶ τηλικῷδε ὄντι κρῖναι Platon Soph. 234, e und ὥς γ᾽ ἐμοὶ ἀκροατῇ Rep. 536, c und einiges Ähnliche bei Spätern.]

A. 7. Hieher gehört auch τίμιός τινι bei jemand geschätzt, ἄξιός τινί τινος der bei jemanden, von Seiten jemandes, etwas verdient hat. (Dagegen ἄξιόν τινι für jemand verlohnend oder geziemend.) Τὰ χρήματ' ἀνθρώποισι τιμιώτατα. Εὐ. Φοί. 439. Ἐμοὶ Σωκράτης ἐδόκει τιμῆς ἄξιος εἶναι τῇ πόλει μᾶλλον ἢ θανάτου. Ξε. ἀπ. 1, 2, 62. (Ἐμοί τε εἰπεῖν καὶ σοὶ ἀκοῦσαι ἄξιον. Πλ. Θε. 143, e. Σοὶ ἄξιον τούτων ἐνθυμουμένῳ πειρᾶσθαί τι καὶ τῶν ἐς τὸν μέλλοντα χρόνον τοῦ βίου φροντίζειν. Ξε. ἀπ. 2, 1, 34.

III. Der Dativ bei (einfachen) Verben.

7. Der **objektive** Da. des beteiligten Gegenstandes steht im Griechischen meist bei eben den Verben wie im Deutschen.

A. 1. So namentlich bei den Verben, die bedeuten nötig und schuldig sein, genügen, geben, gewähren, verschaffen; nützen, helfen, dienen, gefällig sein, folgen und gehorchen; weichen, nachgeben; vertrauen, glauben, bezeugen, versprechen, sagen, auftragen, befehlen, vorwerfen. Μισθοφόρων ἀνδρὶ τυράννῳ δεῖ. Ξε. Ἱέρ. 8, 10. Βροτοῖς ἅπασιν ἀποθανεῖν ὀφείλεται. Εὐ. Ἄλκ. 782. Ὁ ἀγαθὸς φίλος ἑαυτὸν τάττει πρὸς πᾶν τὸ ἐλλεῖπον τῷ φίλῳ. Ξε. ἀπ. 2, 4, 6. Οἷς μάλιστα τὰ παρόντα ἀρκεῖ, ἥκιστα τῶν ἀλλοτρίων ὀρέγονται. Ξε. συ. 4, 42. — Ἡ μωρία δίδωσιν ἀνθρώποις κακά. Μέ. μο. 224. Κράτος πάντα τὰ τῶν ἡσσόνων τοῖς κρείττοσι δωρεῖται. Ξε. Κυ. 2, 1, 17. Τῇ γῇ δανείζειν κρεῖττόν ἐστιν ἢ βροτοῖς. Φιλή. 145 (231). Νόμος γονεῦσιν ἰσοθέους τιμὰς νέμειν. Μέ. μο. 378. Οὐδενὶ ἐπιτρέψομεν κακῷ εἶναι. Ξε. ἀν. 3, 2, 31. Πολλὰ ἀγαθὰ οἱ θεοὶ παρέχουσι τοῖς ἀνθρώποις. Ξε. ἀπ. 2, 2, 3. Δικαιοσύνη καὶ τελευτήσασι δόξαν παρασκευάζει. Ἰσ. 1, 38. Λέγουσί γε οἱ πλεῖστοι μουσικῆς ὀρθότητα εἶναι τὴν ἡδονὴν ταῖς ψυχαῖς πορίζουσαν δύναμιν. Πλ. νό. 655, d. Ξένοις ἐπαρκῶν τῶν ἴσων τεύξῃ ποτέ. Μέ. μο. 391. Κλαύμασι καὶ πατέρες υἱοῖς σωφροσύνην μηχανῶνται καὶ διδάσκαλοι παισὶν ἀγαθὰ μαθήματα. Ξε. Κυ. 2, 2, 14.

Δικαιοσύνη φύσει λυσιτελεῖ τῷ ἔχοντι. Πλ. πολ. 392, c. Ξένῳ μάλιστα συμφέρει τὸ σωφρονεῖν. Μέ. μο. 392. Τοῖς ἀδικοῦσι βοηθοῦντες ἄλλους τῶν αὐτῶν ἔργων ἐπιθυμεῖν ποιήσουσιν. Λυ. 14, 22. (Τί ἐστι τοῦ τοῖς φίλοις ἀρήγειν κάλλιον; Ξε. Κυ. 1, 5, 13.) Χρὴ πάντας ἀμύνειν τῇ πόλει. Θ. 2, 60, 3. — Ἐδόκει αὐτοῖς ὑπουργεῖν τοῖς Συρακοσίοις ἔργῳ. Θ. 6, 88, 2. — Μακάριος ὅστις μακαρίοις ὑπηρετεῖ. Μέ. μο. 350. Τοὺς τῷ κάλλει λατρεύοντας φιλοκάλους καὶ φιλοπόνους εἶναι νομίζομεν. Ἰσ. 10, 57. Αἱ ἡδοναὶ πείθουσι τὴν ψυχὴν ἑαυταῖς τε καὶ τῷ σώματι χαρίζεσθαι. Ξε. ἀπ. 1, 2, 23. Μηδεμιᾷ δούλευε τῶν ἡδονῶν. Ἰσ. 2, 29. — Ἕπεσθαι δοκεῖ μάλιστα τῇ ἀχαριστίᾳ καὶ ἡ ἀναισχυντία. Ξε. Κυ. 1, 2, 7. Νόμοις ἕπεσθαι τοῖς ἐπιχωρίοις καλόν. Μέ. μο. 372. Ξένος ὢν ἀκολούθει τοῖς ἐπιχωρίοις νόμοις. Μέ. μο. 394. Πατρὸς ἀνάγκη παισὶ πείθεσθαι λόγῳ. Εὐ. Ἀρχ. 32 (236). Δίκαια ἂν πράττοι ὁ τοῖς νόμοις πειθόμενος, ἄδικα δὲ ὁ τούτοις ἀπειθῶν. Ξε. ἀπ. 4, 4, 13. Οἱ ἀπιστοῦντες τῇ ἑαυτῶν ξυνέσει ἀμαθέστεροι τῶν νόμων ἀξιοῦσιν εἶναι. Θ. 3, 37, 5. Πειθαρχεῖν με τοῖς νόμοις δεῖ. Ἀρ. ἐκ. 762. Οἱ Λακεδαιμόνιοι τὴν πολιτείαν ὁμοίαν κατεστήσαντο στρατοπέδῳ καλῶς διοικουμένῳ καὶ καλῶς πειθαρχεῖν ἐθέλοντι τοῖς ἄρχουσιν. Ἰσ. 6, 81.

Σὺ εἴκ' ἀνάγκῃ καὶ θεοῖσι μὴ μάχου. Εὐ. Τηλ. 25 (724), 1. Πᾶν πλῆθος καὶ πᾶς πλοῦτος ἀρετῇ ὑπείκει. Πλ. Μενέξ. 240, d. Τοῦτό σοι συγχωρῶ, τοὺς ἐπαίνους παρὰ τῶν ἐλευθερωτάτων ἡδίστους εἶναι. Ξε. Ἱέρ. 1, 16. — Μὴ πάντα πειρῶ πᾶσι πιστεύειν ἀεί. Μέ. μο. 335. — Προσήκειν ἡγοῦ τοῖς πονηροῖς ἀπιστεῖν. Ἰσ. 1, 22. Τὰ ψευδῆ μαρτυροῦσιν ἀλλήλοις. Δη. 54, 37. Οὐχ ὑπεσχόμην οὐδενὶ οὐδὲν πώποτε μάθημα. Πλ. ἀπ. 33, a. Δεινὸν ἡγεῖται τοὺς χείρους τῶν βελτιόνων ἄρχειν καὶ τοὺς

ἀνοητοτέρους τοῖς φρονιμωτέροις προστάττειν. Ἰσ. 2, 14. Ὁ ἀεὶ παρὼν τῶν πολιτῶν κύριος ἔστω ἐπιτάττειν τοῖς παισὶν ὅ, τι ἂν ἀγαθὸν δοκῇ εἶναι. Ξε. Λακ. π. 2, 10. — Θηβαίοις τὴν ἀμαθίαν ὀνειδίζουσιν. Ἰσ. 15, 248. (auch τινά. vgl. die Lex.) Πολλὰ ἐπιτιμῶσι τοῖς πεπαιδευμένοις. Ξε. Κυν. 12, 16. Τί ἐγκαλῶν ἡμῖν ἐπιχειρεῖς ἡμᾶς ἀπολλύναι; Πλ. Κρίτ. 50, b. Ὅστις ἄνθρωπος ὢν ἀνθρώπῳ τύχην προφέρει ἀνόητον ἡγοῦμαι. Δη. 18, 252. Ἀντὶ τοῦ συνεργεῖν ἑαυτοῖς τὰ συμφέροντα ἐπηρεάζουσιν ἀλλήλοις. Ξε. ἀπ. 3, 5, 16.

[A. 2. Dramatisch ist δεῖ ἐμέ τινος. Οὐ πολλοῦ πόνου με δεῖ. Εὐ. Ἱπ. 23. Πολλῆς δεῖ δικαιοσύνης καὶ πολλῆς σωφροσύνης [μετέχειν] τοὺς ἄριστα δοκοῦντας πράττειν. Ἀρλ. πολ. 7, 13, 19. Vgl. Dial. Sy. 47, 16, 2.]

A. 3. Δεῖ ἐμοί (statt ἐμέ) mit dem Infinitiv findet sich zuweilen in der Bedeutung es ist nötig, erforderlich. [Schömann z. Isai. p. 380.] Ἐάν τις θόρυβος γένηται, δεῖ ἐπισάξαι τὸν ἵππον Πέρσῃ ἀνδρὶ καὶ χαλινῶσαι δὲ καὶ θωρακισθέντα ἀναβῆναι. Ξε. ἀν. 3, 4, 35.

[A. 4. Χρὴ ἐμοί mit dem Inf. wird durch richtige Erklärung wohl auf einige Stellen der Dramatiker beschränkt werden. Dial. Sy. A. 6.]

[A. 5. Δωρεῖσθαι mit dem Ac. der Person und dem Da. der Sache (donare aliquem re) ist der guten att. Prosa wohl fremd geblieben. Ἀναθήμασι δωροῦνται τοὺς θεούς. [Πλ.] Alk. 2 p. 149 c.]

A. 6. Τιμωρεῖν τινι θάνατον heißt jemandes Tod rächen. Εἰ τιμωρήσεις Πατρόκλῳ τῷ ἑταίρῳ τὸν φόνον, αὐτὸς ἀποθανεῖ. Πλ. ἀπ. 28, c.

A. 7. Ὑπακούειν mit dem Ge. bezeichnet Abhängigkeit oder Gehorsam: gehorchen; mit dem Da. Aufmerksamkeit oder Folgsamkeit: auf jemand oder etwas hören, Folge leisten. Ὑπακούετε τῆς διδασκαλίας ταύτης. Ξε. οἰκ. 14, 3. Ἡ μάλιστα τοῖς ἄρχουσιν ἐθέλουσα πείθεσθαι πόλις ἥκιστα τῶν πολεμίων ἀναγκάζεται ὑπακούειν. Ξε. Κυ. 8, 1, 4. Οὐκ ἐσχόλαζε τοῖς τοιούτοις ὑπακούειν. Ξε. Κυ. 8, 1, 18. Ἐξῆν τοῖς Ἀθηναίοις τῶν λοιπῶν ἄρχειν Ἑλλήνων, ὥστ' αὐτοὺς ὑπακούειν βασιλεῖ. Δη. 6, 11.

[A. 8. Sehr selten ist bei Attikern πείθεσθαί τινος, das aus dem Ionismos übergegangen ist. z. Th. 7, 73, 2 vgl. Eur. Iph. A. 726.]

A. 9. Die Verba des Auftragens und Befehlens haben überhaupt den Da., auch in Verbindung mit dem Inf., nur daß Participia auch im Ac. angefügt werden und bei parataktischen Verbindungen auch der Übergang zum Ac. und Inf. statthaft ist. Vgl. § 55, 3, 12 u. 13 u. eb. 2, 7. Ἐπιστέλλουσι τοῖς ἄρχουσιν ὁμήρους λαβεῖν. Θ. 1, 57, 4. Ἐπέταξαν τῷ Θηραμένει ἀνελέσθαι τοὺς ναυαγούς. Ξε. Ἑλ. 1, 7, 17. Παρηγγύησε τοῖς Πέρσαις παρασκευάζεσθαι. Ξε. Κυ. 3, 2, 8. Τοῖς πελτασταῖς πᾶσι παρήγγειλε διηγκυλωμένους ἰέναι. Ξε. ἀν. 5, 2, 12. Πᾶσι παρήγγελλεν ἐξοπλίζεσθαι καὶ εἰς τὴν ἑαυτοῦ τάξιν καθίστασθαι ἕκαστον. Ξε. ἀν. 1, 8, 3. Vgl. über παραινεῖν Th. 1, 93, 5.

A. 10. Nur κελεύειν hat bei den Attikern bloß den Ac. mit dem Inf. [z. Th. 1, 44, 1.] (Bei Homer und seit Polybios findet es sich zuweilen auch mit dem Da. und Inf.) Mit dem Ac. und Inf. erscheinen auch παραγγέλλειν, διακελεύεσθαι u. ä. Verba, wenn nicht der Befehl an das Objekt gerichtet, sondern nur die Handlung von ihm verlangt wird. Σωκράτης ἐκέλευεν Ἀλκιβιάδῃ διδόναι τἀριστεῖα τοὺς στρατηγούς. Πλ. συ. 220, e. Κῦρος παρήγγειλεν ἐκ τῆς τάξεως μηδένα κινεῖσθαι. Ξε. Κυ. 7, 2, 4. — Σπουδάσαι ἡμᾶς διεκελεύσατο περὶ τὸν αὑτοῦ λόγον. Πλ. Θε. 168, d. Ὁ νόμος τὰς δίκας τὰς δικασθείσας προστάττει κυρίας εἶναι. Πλ. Κρίτ. 50, b.

A. 11. Über ὠφελεῖν, βλάπτειν ꝛc. § 46, 7 u. A. 1, λυμαίνεσθαι eb. A. 2, μέμφεσθαι, λοιδορεῖν und λοιδορεῖσθαι eb. A. 3, διώκειν eb. 8, ἀκούειν und ἀκροᾶσθαι § 47, 10, 10—12.

(A. 12. Ἕπεσθαι und ἀκολουθεῖν in eigentlicher Bedeutung gestatten auch σύν τινι, wenn eine Verbindung, μετά τινος, wenn eine Gesellung

zu bezeichnen ist. [Dobree z. Ar. Plut. 824 u. Lobeck z. Phryn. p. 353 s. vgl. Kr. z. Xe. An. 1, 3, 6.] Σὺν τοῖς νικῶσι θαρροῦντες καὶ οἱ ἀκόλουθοι ἕπονται. Ξε. Κυ. 5, 2, 36. Μετὰ τῶν κρατούντων ἕπεσθαι κερδαλέον ἐστίν. Ξε. Ἑλ. 5, 2, 19. Ἱππῆς ἠκολούθουν Μακεδόνων ξὺν Χαλκιδεῦσιν ὀλίγου ἐς χιλίους. Θ. 4, 124, 2. Τοῖς μὲν σώμασι μετ' ἐκείνων ἀκολουθεῖν ἠναγκάζοντο, ταῖς δ' εὐνοίαις μεθ' ὑμῶν ἦσαν. Ἰσ. 14, 15. (Vgl. Ὀδ. η 300 mit 304.)

A. 13. Bei den Verben des Sprechens bezeichnet der Da., wem (rücksichtlich der Auffassung) die Rede gilt, wen sie berührt; πρός τινα an oder gegen wen sie gerichtet ist (im Gegensatze zu einem andern). (Ὁ νοῦς ἐστιν ὁ λαλήσων θεῷ. Μέ. 71 (70). Οὐδὲ εἷς νῦν μοι λαλεῖ. Ποσείδιππος 29 (31). Εἰ σὺ μὴ τόδ' ἐννοεῖς, ἐγὼ λέγω σοι. Αἰσχ. Ἀγ. 1088 (1047). Εἰπέ μοι, τί χρήσῃ αὐτῷ; Ξε. Κυ. 1, 4, 13. — Καὶ πρὸς ἄνδρ' εἰπὼν ἕνα, πύθοιντ' ἂν ἀστοὶ πάντες ἃ κρύπτειν χρεών. Εὐ. Ἰνώ 2 (415), 3. Πρὸς εὖ λέγοντας οὐδὲν ἀντειπεῖν ἔχω. Μέ. μο. 464. — Οἱ Μοσσύνοικοι διελέγοντο ἑαυτοῖς. Ξε. ἀν. 5, 4, 34. Εὐβούλους νομίζομεν οἵτινες ἂν αὐτοὶ πρὸς αὑτοὺς ἄριστα περὶ τῶν πραγμάτων διαλεχθῶσιν. Ἰσ. 3, 8.

A. 14. Den Da. der Person hat auch εὔχεσθαι Einem wünschen; θεοῖς die Götter um etwas (τί) anflehen oder ihnen geloben. In Verbindung mit dem Infinitiv findet sich in der Bedeutung anflehen auch πρός mit dem Ac. (Δεῖσθαι bitten hat den Ge. mit dem Infinitiv; ἱκετεύειν wie αἰτεῖν den Ac. mit dem Inf. S. unten § 55, 3, 12.) Εὔχοντο αὐτῷ πολλὰ καὶ ἀγαθά. Ξε. Ἑλ. 5, 1, 3. (Κακὰς ἀρὰς ἠρᾶτο τοῖσι τοὔργον ἐξειργασμένοις. Σο. Ἀντ. 427.) — Τοῖς θεοῖς εὔχονται πολυκαρπίαν. Ξε. ἀπ. 3, 14, 3. Ἡ μήτηρ πολλὰ τοῖς θεοῖς εὔχεται [ἀγαθὰ] ὑπὲρ σοῦ. Ξε. ἀπ. 2, 2, 10. — Ὧν τοῖς θεοῖς ἄνθρωπος εὔχεται τυχεῖν, τῆς εὐθανασίας κρεῖττον οὐδὲν εὔχεται. Ποσειδ. 16 (18). Εὔξαιτ' ἄν τις πτηνὸς γενέσθαι. Ξε. ἱπρ. 8, 6. Εὔχομαι δοῦναί μοι τοὺς θεοὺς αἴτιόν τινος ὑμῖν ἀγαθοῦ γενέσθαι. Ξε. ἀν. 3, 9, 26. Σωκράτης εὔχετο πρὸς τοὺς θεοὺς ἁπλῶς τἀγαθὰ διδόναι. Ξε. ἀπ. 1, 3, 2. (Ξέρξης εὔχετο πρὸς τὸν ἥλιον. Ἡρ. 7, 54.)

A. 15. An die Verba des Sagens schließen sich mehrere des Ratens, Zuredens, Ermahnens. Ὑμῖν συμβουλεύω ἐγὼ γνῶναι ὑμᾶς αὐτούς. Ξε. Ἑλ. 2, 4, 40. Ἄλλῳ πονοῦντι ῥᾴδιον παραινέσαι. Φιλή. 71 (5), 1. Πολλὰ διεκελευόμην αὐτῷ οὕτω ποιεῖν. Ξε. Κυ. 7, 3, 10. Οἱ ἄριστοι ἄνδρες παρακελεύονται τοῖς πολίταις ὁμονοεῖν. Ξε. ἀπ. 4, 4, 16.

A. 16. Über πείθειν § 46, 11, 2, über νουθετεῖν § 46, 6, 6.

8. Eben so steht der Da. bei manchen Verben, die eine Stimmung, Gesinnung gegen jemand bezeichnen, besonders eine feindselige. So gewöhnlich auch bei *ἀρέσκειν*. *Δοῦλος πεφυκὼς εὐνόει τῷ δεσπότῃ. Μέ. μο.* 116. *Τὸ πᾶσιν ἅμα χαλεπαίνειν πᾶσιν αὐτοῖς ὁμόνοιαν ἐμβάλλει. Ξε. Κυ.* 5, 5, 11. *Φύσει πᾶσιν ἀνθρώποις ὑπάρχει τοῖς ἐπαινοῦσιν αὐτοὺς ἄχθεσθαι. Δη.* 18, 3. *Οἱ Ἀθηναῖοι ἀπηχθάνοντο τοῖς Ἕλλησιν. Ἰσ.* 8, 79. *Ἡσυχίαν ηγεν ἡ πόλις τοῖς μὲν βαρβάροις συγγιγνώσκουσα, τοῖς δ' Ἕλλησιν ἀγανακτοῦσα. Πλ. Μενέξ.* 244, b. *Οἱ ἀγαθοὶ ἐάν τι ὀργισθῶσι τοῖς γονεῦσιν, αὐτοὶ ἑαυτοὺς παραμυθοῦνται. Πλ. Πρω.* 346, b. *Τοῖς πράγμασιν γὰρ οὐχὶ θυμοῦσθαι χρεών. Εὐ. Βελλ.* 28 (289). *Ὄλοιθ' ὁ τοῖς ἔχουσι τἀγαθὰ φθονῶν. Διον. Στ.* 38, 7. *Ἄρεσκε πᾶσι καὶ σὺ μὴ σαυτῷ μόνῳ. Μέ. μο.* 48. Vgl. *Ἀρ. ἱπ.* 1311. *σφ.* 818. *εἰρ.* 1143. *ἐκ.* 710.

A. 1. Für φθονεῖν τινί τι ist, zumal in der Prosa, regelmäßig φθονεῖν τινί τινος. S. § 47, 21. Wohl aber finden sich andere der hieher gehörigen Verba mit einem Ac. der Sache, besonders einem substantiviertem Neutrum eines Pronominaladjektivs. Bei δυςχεραίνειν erscheint der Ac. überhaupt vorherrschend, bei Platon wohl ausschließlich. Ἀγανακτῶ τοῦτο, εἰ τὰ χρήματα λυπεῖ τινας ὑμῶν. Δη. 8, 55. Τὴν ἐμαυτοῦ δυςμαθίαν δυςχεραίνω. Πλ. Θε. 195, a. Δυςχεραίνουσιν οἱ ἄνθρωποι τὸν ἕνα ἐκεῖνον μόναρχον. Πλ. πολιτ. 301, c. [Über δυςανασχετεῖν z. Th. 7, 71, 5.] (Καλοῖς [Bekker für καλοὺς] οὐ φθονοῦμεν τῆς ὥρας. [Λουκ.] Χαριδ. 23.)

A. 2. Μισεῖν erfordert den Ac. Auch mit dem Ac. verbinden ἀρέσκειν ansprechen, befriedigen (und ἀπαρέσκειν) die Dramatiker und Platon. (Thuk. nur 1, 128, 5. vgl. Heindorf zu Plat. Krat. 19.) Ἀρέσκεσθαί τινι ist eig. Passiv. Οὐδείς μ' ἀρέσκει νυκτὶ θαυμαστὸς θεῶν. Εὐ. Ἱπ. 106. Ἔν τί με τῶν ῥηθέντων ἀπαρέσκει. Πλ. Θε. 202, d. Τοῖς λόγοις τοῖς ἀπὸ σοῦ ἀρέσκομαι. Θ. 1, 129, 3. Οὐ γάρ μ' ἀρέσκει γλῶσσά σου τεθηγμένη. Σο. Αἴ. 584. Vgl. Ἀρ. Ἀχ. 189. ἱπ. 359. σφ. 776. 1339. Λυ. 509. Θε. 406. βα. 103. Πλ. 353.

9. Ähnlich erscheint der Da. bei Verben, die bedeuten ver- vermischen, mitteilen, Teil nehmen, zukommen, geziemen, umgehen, sich unterreden, widerstreben, streiten, kämpfen und versöhnen. *Ὡς ἡδὺ συνέσει χρηστότης κεκραμένη. Μέ.* 798 (785). *Οὐ πάντα λευκὰ οἷς μέλανα μὴ μέμικται. Πλ. Πρω.* 346, d. — *Τῷ πλήθει τὰ ῥηθέντα ἐκοίνωσαν. Θ.* 2, 72, 3. *Κεκοίνωνται ψόγον ταῖς οὐ κακαῖσιν αἱ κακαί. Εὐ. Μελαν.* 18 (496), 3. *Φήμη οὐ κοινωνεῖ διαβολῇ. Αἰ.* 2, 145. [vgl. § 47, 15.] *Ἅπασι προςήκει περὶ πολλοῦ ποιεῖσθαι τὴν φρόνησιν. Ἰσ.* 9, 80. *Τὸ μηδὲν ἀδικεῖν πᾶσιν ἀνθρώποις πρέπει. Μέ.* 808 (775). *Ἁρμόττει πᾶσι τοῖς ψευδομένοις τοὺς χρόνους μεταφέρειν. Αἰ.* 2, 96. — *Κακοῖς ὁμιλῶν καὐτὸς ἐκβήσῃ κακός. Μέ. μο.* 274. *Τῶν παρόντων τοῖς φρονιμωτάτοις πλησίαζε. Ἰσ.* 2, 15. — *Οἱ σοφισταὶ τοῖς μὴ ἔχουσι χρήματα διδόναι οὐκ ἤθελον διαλέγεσθαι. Ξε. ἀπ.* 1, 2, 60. — *Σωκράτης μόνος ἠναντιώθη τοῖς Ἀθηναίοις μηδὲν ποιεῖν παρὰ τοὺς νόμους. Πλ. ἀπ.* 32, b. *Οὐκ ἀντιποιύμεθα βασιλεῖ τῆς ἀρχῆς. Ξε. ἀν.* 2, 3, 23. *Ἀμφισβητοῦσι μὲν καὶ δι' εὔνοιαν οἱ φίλοι τοῖς φίλοις, ἐρίζουσι δὲ οἱ διάφοροί τε καὶ ἐχθροὶ ἀλλήλοις. Πλ. Πρω.* 337, b. *Οὐκ αἰσχρόν ἐστι τοῖς πονηροῖς διαφέρεσθαι. Ξε. ἀπ.* 2, 9, 8. — *Σῶμα νοσῶδες στασιάζει αὐτὸ αὑτῷ. Πλ. πολ.* 556, e. *Εἴ τινα ἀλλήλοις μάχην συνάψετε, κατακεκόψεσθε. Ξε. ἀν.* 1, 5, 16. *Λακεδαιμόνιοι οὔτ' ἂν Θρᾳξὶν ἐν πέλταις καὶ ἀκοντίοις οὔτε Σκύθαις ἐν τόξοις ἐθέλοιεν ἂν (δι)αγωνίζεσθαι. Ξε. ἀπ.* 3, 9, 2. *Θεῷ μάχεσθαι δεινόν ἐστι καὶ τύχῃ. Μέ. μο.* 247. *Τινὲς οὐ ταῖς πονηρίαις ἀλλὰ ταῖς εὐπραγίαις πολεμοῦσιν. Ἰσ.* 15, 142. *Ἀθηναῖοι πλείστας δίκας ἀλλήλοις δικάζονται. Ξε. ἀπ.* 3, 5, 16. — *Κῦρος περὶ πλείστου ἐποιεῖτο εἴ τῳ σπείσαιτο καὶ εἴ τῳ συνθοῖτο*

καὶ εἴ τῳ ὑπόσχοιτό τι, μηδὲν ψεύδεσθαι. Ξε. ἀν. 1, 9, 7. *Ἐδέοντο τοὺς φεύγοντας ξυναλλάξαι σφίσιν.* Θ. 1, 24, 4. *Χρὴ ἰδιώτην ἰδιώτῃ καταλλαγῆναι καὶ πόλιν πόλει.* Θ. 4, 61, 2.

A. 1. So steht der Da. auch bei Redensarten, z. B. εἰς λόγους ἔρχεσθαι zur Unterredung mit jemand kommen, εἰς χεῖρας ἰέναι in jemandes Hände oder mit jemand ins Handgemenge kommen. So nach der Analogie sinnverwandter Verba, wie συνέρχεσθαι. Vgl. Dial. Sy. A. 2. (Außer dieser Verbindung bezeichnet der persönliche Da. bei einfachen Verben des Gehens und Kommens ein Interesse: für jemand; das Hin wird bei ihnen durch εἰς, πρός, παρά oder ἐπί mit dem Ac. ausgedrückt.) Τῷ Ἀλκιβιάδῃ τινὲς ἐς λόγους ἦλθον. Θ. 8, 48, 1. Οὐδενί πω κρείττονι ἑαυτοῦ εἰς χεῖρας ἐλθεῖν ἔφη. Ξε. ἀν. 1, 2, 26. Οἱ πολλὰ ἔχοντες εἰς χεῖρας οὐκ ἐθέλουσι τοῖς κρείττοσιν ἰέναι. Ξε. Κυ. 8, 8, 6. Διανοούμεθα διὰ πολέμου αὐτοῖς ἰέναι. Ξε. ἀν. 3, 2, 8. Ὁ κακὸς οὔτε κακῷ οὔτε ἀγαθῷ οὐδέποτε εἰς ἀληθῆ φιλίαν ἔρχεται. Πλ. Λύ. 214, d. (Ἦλθον αὐτοῖς βόες. Ξε. ἀν. 4, 8, 25. vgl. Th. 1, 13. 3, 5, 3. 6, 33, 2 u. Reg. u. ἔρχεσθαι; über παρέρχεσθαι τοῖς Ἀ. z. 6, 15, 3.)

A. 2. Bei manchen der hieher gehörigen Verben, besonders denen des Streitens, findet sich häufig auch πρός mit dem Ac., bei ἀγωνίζεσθαι fast regelmäßig. Vgl. 7 A. 13. Οὐκ ἔχω ὅπως χρὴ πρὸς ἃ λέγεις ἐναντιοῦσθαι. Πλ. Κράτ. 390, e. Ψυχὴ πρὸς σῶμα διαφέρεται. Πλ. Φιλ. 47, d. Νομίζω, ὅστις ἐν πολέμῳ ὢν στασιάζει πρὸς ἄρχοντα, τοῦτον πρὸς τὴν ἑαυτοῦ σωτηρίαν στασιάζειν. Ξε. ἀν. 5, 9, 29. Οὐ προςήκει ἀνδρὶ τυράννῳ πρὸς ἰδιώτας ἀγωνίζεσθαι. Ξε. Ἱέρ. 11, 6. Βιάζῃ καὶ πρὸς ἡνίας μάχῃ. Αἰσ. Προ. 1010 (1014). Ἐπολέμησάν ποτε Ἐλευσίνιοι Εὐμόλπου πρὸς Ἐρεχθέα. Θ. 2, 15, 2.

(A. 3. Vereinzelt findet sich auch ἐπί τινα z. B. bei πολεμεῖν; πολεμεῖν τινα jemand bekriegen erst bei Spätern, besonders bei den Byzantinern häufiger. [Dorville z. Char. p. 576.] Κλέαρχος ἐπὶ τοὺς Θρᾶκας ἐπολέμησεν. Ξε. ἀν. 1, 3, 4. Τοιούτων συμβούλων ὤφελον τυχεῖν οἱ πολεμήσαντες τὴν πόλιν. Δείν. 1, 36.)

A. 4. Πλησιάζειν hat auch in der Bedeutung sich nähern, wie das fast poet. πελάζειν, den Da.; sehr selten bei Attikern den Ge. (den Da. und Ge. hat auch ἐγγίζειν, z. B. bei Polyb.). Ἐν οἷς ἂν ἀτυχήσῃ τις ἄνθρωπος τόποις, ἥκιστα τούτοις πλησιάζων ἥδεται. Ἄμφις 4. Ἐπλησίαζον τῶν ἄκρων. Ξε. Κυ. 3, 2, 8.

A. 5. Zu den Verben des Umgehens gehört auch χρῆσθαι. (Vgl. Xen. Symp. 2, 10.) Ἡδέως μὲν ἔχε πρὸς ἅπαντας, χρῶ δὲ τοῖς βελτίστοις. Ἰσ. 1, 20. Οἱ ἄριστα διδάσκοντες μάλιστα λόγῳ χρῶνται. Ξε. ἀπ. 3, 3, 11.

10. In gleicher Weise findet sich der Da. bei Verben, die eine Ähnlichkeit, Gleichheit oder Übereinstimmung bezeichnen. *Τὸ ὁμοιοῦν ἑαυτὸν ἄλλῳ μιμεῖσθαί ἐστιν ἐκεῖνον ᾧ ἂν ὁμοιοῖ.* Πλ. πολ. 393, c. *Ὡς οὐδέν ἐσμεν πλὴν σκιαῖς ἐοικότες.* Σο. ἀποσ. 682 (860). *Εἴπερ τοῖς βελτίστοις εἰκάζω αὐτόν, ἐπαινοῦντι δικαίως ἂν εἰκάζοι μέ τις.* Ξε. συ. 6, 9. *Ὁ σίδηρος ἂν ἰσοῖ τοὺς ἀσθενεῖς τοῖς ἰσχυροῖς ἐν τῷ πολέμῳ.* Ξε. Κυ. 7, 5, 65. *Τί ταῦτα ἐκείνοις ὁμολογεῖ;* Ἀνδ. 3, 12. *Ζήτει νόμους δικαίους καὶ συμφέροντας καὶ σφίσιν αὐτοῖς ὁμολογουμένους.* Ἰσ. 2, 17. *Αἱ παραυτίκα ἡδοναὶ συμπείθουσι πολλοὺς τῇ πονηρίᾳ ὁμογνωμονεῖν.* Ξε. Κυ. 2, 2, 24. *Ἡ ψυχὴ ἐκ τοῦ ὁμοδοξεῖν τῷ σώματι καὶ τοῖς*

αὐτοῖς χαίρειν ἀναγκάζεται. Πλ. Φαίδ. 83, d. *Οἱ Ἀθηναῖοι διὰ τὸ ἀλλήλοις ὁμονοεῖν τὴν ἀρχὴν τῶν Ἑλλήνων κατειργάσαντο.* Ἀνδ. 1, 108.

IV. Der Dativ bei Kompositen.

11. Den Da. haben auch viele Verba, die mit den Da. regierenden Präpositionen zusammengesetzt sind, insbesondere mit *ἐν, σύν, ἐπί*, seltener mit *πρός, παρά, περί* und *ὑπό*, bald wegen der Präposition allein, bald wegen der Bedeutung des Kompositums.

A. 1. Sehr häufig erscheint der Da. bei Kompositen mit ἐν, sowohl, wenn sie eine Ruhe, als wenn sie eine Bewegung bezeichnen. Οὐκ ἀζήμιον γνώμην ἐνεῖναι τοῖς σοφοῖς λίαν σοφήν. Εὐ. Ἠλ. 295. Πάντ' ἐμπέφυκε τῷ μακρῷ γήρᾳ κακά. Σο. Σκύρ. 500 (864). Ἀπηνθηκότι σώματι οὐκ ἐνίζει Ἔρως. Πλ. συ. 196, b. Ἐλευθέροισιν ἐμπεπαίδευμαι τρόποις. Εὐ. Ἰνώ 3 (417), 5. Σωκράτης προείλετο μᾶλλον τοῖς νόμοις ἐμμένων ἀποθανεῖν ἢ παρανομῶν ζῆν. Ξε. ἀπ. 4, 4, 4. [z. Th. 4, 118, 9.] — Ἐν τῷ γιγνώσκεσθαι καὶ τὸ αἰσχύνεσθαι πᾶσι δοκεῖ μᾶλλον ἐγγίγνεσθαι. Ξε. Κυ. 2, 1, 25. Κεραυνὸς οἷς ἂν ἐντύχῃ πάντων κρατεῖ. Ξε. ἀπ. 4, 3, 14. Νῦν ἄρτι μοι τὸ γῆρας ἐντίθησι νοῦν. Φερεκράτης 149 (6), 6. Ὁ θεὸς τὴν ψυχὴν κρατίστην τῷ ἀνθρώπῳ ἐνέφυσεν. Ξε. ἀπ. 1, 4, 13. Λυκοῦργος τὸ πείθεσθαι τοῖς νόμοις μάλιστα ἐνειργάσατο τῇ Σπάρτῃ. Ξε. ἀπ. 4, 4, 15. Αἱ ἡδοναὶ ψυχῇ ἐπιστήμην ἀξιόλογον οὐδεμίαν ἐμποιοῦσιν. Ξε. ἀπ. 2, 1, 20. Εἴς γε τὸ προθυμίαν ἐμβαλεῖν στρατιώταις οὐδέν μοι δοκεῖ ἱκανώτερον εἶναι ἢ τὸ δύνασθαι ἐλπίδας ἀγαθὰς ἐμποιεῖν ἀνθρώποις. Ξε. Κυ. 1, 6, 19. Οἱ ἐνέδραις ἐμπίπτοντες ἐκπλήττονται. Ξε. ἱπ. 8, 20. — Οἱ Ἀθηναῖοι τῇ γνώμῃ ἄποροι καθεστῶτες ἐνέκειντο τῷ Περικλεῖ. Θ. 2, 59, 2. Ἡνίκα ἂν ἡμεῖς ἐγχειρῶμεν τοῖς πολεμίοις, αἰσθήσεσθε. Ξε. Κυ. 7, 1, 9. Δεῖ τοὺς ἀγαθοὺς ἄνδρας ἐγχειρεῖν ἅπασιν ἀεὶ τοῖς καλοῖς. Δη. 18, 97. [Ἐνεδρεύειν τινά Dem. 40, 45.]

A. 2. Wenn ἐν wiederholt wird, ist die Verbindung weniger innerlich. [Vgl. Mnemosyne 4 p. 6.] Βίου ἔνεστιν ἀσφάλει' ἐν ταῖς τέχναις. Με. 69 (68), 3. Πολλὰ ἀγαθὰ ἔνι ἐν τῷ πειθαρχεῖν. Ξε. ἱπ. 1, 24. Ἐπειδὰν λάβωσι τὰς δυναστείας, ἐν πολλοῖς ἐμπεπλεγμένοι κακοῖς εἰσιν. Ἰσ. 8, 111. — Οἱ Ἀθηναῖοι προεῖπον μήτε ἐναποθνῄσκειν ἐν Δήλῳ μήτε ἐντίκτειν. Θ. 3, 104, 1.

A. 3. Ἐμβάλλειν transitiv hat bei nicht innerlicher Verbindung εἰς; so auch meistens in den intransitiven Bedeutungen (wie bei εἰσβάλλειν). Wenn es angreifen heißt, erfordert es den Da., z. B. τοῖς πολεμίοις. Ἡ ἀκρασία εἰς ἀφροσύνην αὐτοὺς ἐμβάλλει. Ξε. ἀπ. 4, 5, 6. vgl. § 52, 2, 7.

A. 4. Bei Kompositen mit εἰς ist der Da. nicht häufig, da in Verbindung mit ihm meist ἐν- eintritt, wie ἐμβάλλειν für εἰσβάλλειν, ἐμπίπτειν für εἰσπίπτειν ꝛc. Bei εἰσιέναι, (εἰσέρχεσθαι) findet sich neben dem (seltneren) Da. auch der Ac., beide aber (persönlich) in der att. Prosa nur, wenn von Gedanken und Gefühlen die Rede ist. Sonst wird, wie auch bei andern Kompositen mit εἰς, im allgemeinen die Präposition wiederholt. Παρόντα με ἀνδρὸς ἐπιτηδείου ἔλεος εἰσῄει. Πλ. Φαίδ. 58, e. Οὐδὲν πάνυ μοι ἐλεεινὸν εἰσῄει. Πλ. Φαίδ. 59, a. Vgl. Dem. 19, 33 u. Dial. Sy. A. 3.

A. 5. Zahlreich sind die Komposita mit ἐπί, welche, häufiger ihrer Bedeutung als der Präposition halber, den Da. haben. Αἴσχει οὐκ ἔπεστιν Ἔρως. Πλ. συ. 197, b. Πολλῶν ὄντων καὶ καλῶν ἐν τῷ τῶν ἀνθρώπων βίῳ τοῖς πλείστοις αὐτῶν οἷον κῆρες ἐπιπεφύκασιν. Πλ. νό. 937, d. — Τὰ Κύθηρα ἐπίκειται τῇ Λακωνικῇ. Θ. 4, 53, 2. Τῷ ἄρξαντι πανταχοῦ μεγάλα ἐπιτίμια ἐπίκειται. Ἀντ. 4, δ, 7. Ἤδη

κολοφῶνα ἐπιτίθῃς τῇ σοφίᾳ. Πλ. Εὐθύδ. 301, e. Ὅτε εὖ ἔπραττον, ἐπέκειντο ἡμῖν. Ξε. Ἑλ. 6, 5, 35. Πολλάκις ἐπέθεντο τοῖς Λακεδαιμονίοις οἱ Εἵλωτες· ὥσπερ γὰρ ἐφεδρεύοντες τοῖς ἀτυχήμασι διατελοῦσιν. Ἀρλ. πολ. 2, 6, 2. Τί ὄφελος διδασκάλους τοῖς παισὶν ἐφιστάναι; Αἰ. 1, 187. Δεῖ τοὺς ἐπιμελεῖς ἐπιστατῆσαι τοῖς παιδευομένοις. Ἰσ. 15, 188. Οὐ δίκαιον ὅπλα ἐπιφέρειν ἀλλήλοις ἡμᾶς. Ξε. Ἑλ. 6, 3, 6. Οἱ κρίνειν οὐκ ἐπιστάμενοι ἃ δεῖ πράττειν πολλάκις πονηροῖς ἐπιχειροῦσι πράγμασιν. Ξε. ἀπ. 4, 1, 4. Τοῖς ἀμαθαίνουσι τῶν πολιτῶν οὐδὲν ἐπιτρεπτέον ἀρχῆς ἐχόμενον. Πλ. νό. 689, c. — Ἤδη μοι ἐπιβουλεύουσι τὴν μεγίστην ἐπιβουλήν. Δη. 53, 16. Οἱ βάρβαροι τῇ τῶν Ἑλλήνων ἐπεβούλευον φθορᾷ. Πλ. Μενέξ. 242, a. — Νὺξ ἐπεγένετο τῷ ἔργῳ. Θ. 4, 25, 1. Οὐκέτι αὐτοῖς ἐπῄεσαν ἐς μάχην. Θ. 4, 44, 3. Ἤδη ποτέ σοι ἐπῆλθεν ἐνθυμηθῆναι ὡς ἐπιμελῶς οἱ θεοὶ ὧν οἱ ἄνθρωποι δέονται κατεσκευάκασιν; Ξε. ἀπ. 4, 3, 3. Ἐπέπεσε πολλὰ καὶ χαλεπὰ κατὰ στάσιν ταῖς πόλεσιν. Θ. 3, 82, 2. — Ὀρθῶς μοι ἐπέπληξας. Πλ. πολ. 529, c. Οἱ ἐχθροὶ ἐφήδονταί μοι. Ξε. Κυ. 6, 1, 37. Ταῖς ἀτυχίαισι μὴ ἐπίχαιρε τῶν πέλας. Μέ. 646 (673). Ἀτυχοῦντι μὴ ἐπιγέλα· κοινὴ γὰρ ἡ τύχη. Χείλων Στ. 112, 11. Ἐπισκοτεῖ τῇ κρίσει τὸ ἴδιον ἡδὺ ἢ λυπηρόν. Ἀρλ. ῥητ. 1, 1. — Ἀρὰς ποιοῦνται, εἴ τις ἐπικηρυκεύεται Πέρσαις τῶν πολιτῶν. Ἰσ. 4, 157.

A. 6. Ἐπιστρατεύειν verband man regelmäßig mit dem Da., seltener mit ἐπί und dem Ac., mehr poetisch mit dem bloßen Ac. Ἡμάρτανον οἱ ἡμῖν ἐπιστρατεύσαντες. Θ. 3, 54, 1. Οἱ Ἀμφικτύονες ἐψηφίσαντο ἐπιστρατεύειν ἐπὶ τοὺς Ἀμφισσέας. Αἰ. 3, 128. [Εἰώθασι τὸν ἡσυχάζοντα ἀδεέστερον ἐπιστρατεύειν. Θ. 4, 92, 5. z. 4, 60, 2.]

A. 7. **Von Kompositen mit πρός haben den Da. mehrere, die eine Verbindung oder Annäherung bezeichnen.** Τῇ βίᾳ πρόσεισιν ἔχθραι καὶ κίνδυνοι. Ξε. ἀπ. 1, 2, 10. Ὅταν γινώμεθ', εὐθὺς χἠ [καὶ ἡ] τύχη προσγίνεθ' ἡμῖν συγγενὴς τῷ σώματι. Φιλή. 10, 3. Χαρμίδης ὤκνει προσιέναι τῷ δήμῳ. Ξε. ἀπ. 3, 7, 1. [z. Th. 8, 91, 2.] Διψῶντι πάντα προσφέρων σοφὰ οὐκ ἂν πλέον τέρψειας ἢ πιεῖν διδούς. Σο. ἀποσ. 702 (692). Οἵτινες τοῖς κρείσσοσι καλῶς προσφέρονται πλεῖστ' ἂν ὀρθοῖντο. Θ. 5, 111, 5. (Φίλοι γε προσφέρεσθε πρὸς φίλον. Εὐ. Κυ. 176.) Τῷ κατὰ γῆν στρατῷ προσέβαλλον τῷ τειχίσματι. Θ. 4, 11, 1. Προσέχωμεν τὸν νοῦν ἡμῖν αὐτοῖς. Πλ. σοφ. 262, e. Σωκράτης ἐτεκμαίρετο τὰς ἀγαθὰς φύσεις ἐκ τοῦ ταχὺ μανθάνειν οἷς προσέχοιεν. Ξε. ἀπ. 4, 1, 2. Βραχεῖ λόγῳ πολλὰ πρόσκειται σοφά. Σο. Ἀλήτ. 89 (99). (Γλώσσῃ ματαίᾳ ζημία προστρίβεται. Αἰσ. Προ. 329 (331).

A. 8. Προσπαίζειν gestattet die Person im Da. (**mit jemand scherzen**) wie im Ac. (**bescherzen**); προσκυνεῖν hat bei guten Schriftstellern nur den Ac. (Προσκαθέζεσθαι πόλιν Thuk. 1, 26, 3 und einiges Ähnliche ist teils vereinzelt teils dichterisch.) Οὐ χρὴ προσπαίζειν οἰκέταις. Πλ. νό. 777, e. Σωκράτης ἀεὶ προσέπαιζε τοὺς ῥήτορας. Πλ. Μενέξ. 235, c. Οὐδένα ἄνθρωπον δεσπότην, ἀλλὰ τοὺς θεοὺς προσκυνεῖτε. Ξε. ἀν. 3, 2, 13.

A. 9. Nicht eben häufig ist der Da. bei Kompositen mit παρά, in der Regel ein **persönliches** Objekt. Ἀδελφὸς ἀνδρὶ παρείη. Πλ. πολ. 362, d. Θεὸς δὲ τοῖς ἀργοῦσιν οὐ παρίσταται. Σο. ἀποσ. 288 (adesp. 440). Χρήματα καὶ φαύλοις παραγίγνεται. Ἰσ. 2, 32. Εἰς καλὸν ἡμῖν ὅδε παρεκαθέζετο. Πλ. Μενέξ. 89, e.

A. 10. Auch bei den gleichfalls nicht sehr zahlreichen **Kompositen** mit περί, die den Da. haben, ist das Objekt gewöhnlich ein **persönliches**. Περίεστί μοι ἐσθίοντι ἄχρι τοῦ μὴ πεινῆν ἀφικέσθαι. Ξε. συ. 4, 37. Ἐκ τῶν μεγίστων κινδύνων καὶ πόλει καὶ ἰδιώτῃ μέγισται τιμαὶ περιγίγνονται. Θ. 1, 144, 4. Περιέστηκε τῇ πόλει τοὐναντίον ἢ ὡς εἰκὸς ἦν. Λυ. 12, 64. [z. Th. 1, 76, 3; über den Ac. z. 3, 54, 3.] Χαλεπὸν καὶ ἀναμαρτήτως τι ποιήσαντας μὴ ἀγνώμονι κριτῇ περιτυχεῖν. Ξε. ἀπ. 2, 8, 5. [Heindorf

z. Plat. Soph. 65.] Οἱ μὴ εἰδότες ἑαυτοὺς τῶν τε ἀγαθῶν ἀποτυγχάνουσι καὶ τοῖς κακοῖς περιπίπτουσιν. Ξε. ἀπ. 4, 2, 27. Τούτους περὶ πλείστου ποιοῦνται οἵτινες δύνανται τιμὰς περιάπτειν αὐτοῖς. Ξε. Κυ. 7, 5, 60.

A. 11. Von Kompositen mit ὑπό haben nur wenige den Da. Τοῖς ζῶσι πᾶσιν ὕπεστί τις ἢ πλείων ἢ ἐλάττων φθόνος. Δη. 18, 315. Ὑπόκειται τὸ Κιρραῖον πεδίον τῷ ἱερῷ. Αἰ. 3, 118. Ὅστις ὑπέχει χρυσίῳ τὴν χεῖρα, κἂν μὴ φῇ, πονηρὰ βούλεται. Μέ. 301 (309).

A. 12. Über den Ac. bei Kompositen mit παρά, περί, ὑπό § 46, 6, 8.

A. 13. Einige Komposita mit ἀντί haben ihrer Bedeutung wegen den Da. Ἔρωτι οὐδὲ Ἄρης ἀνθίσταται. Πλ. συ. 196, d. (Πρὸς τὴν ἀνάγκην οὐδ' Ἄρης ἀνθίσταται. Σο. ἀποσ. 234 (6). Τοῖσιν δικαίοις ἀντέχειν οὐ ῥᾴδιον. Σο. Ἀλε. 99 (76). Τούτοις οὐκ ἔχω ἀντιλέγειν. Ξε. οἰκ. 2, 9.

A. 14. Am häufigsten findet sich der Da. bei Kompositen mit σύν, teils wegen der Präposition, teils wegen der Bedeutung des Verbums. Μισῶ τύχην συνοῦσαν ἀτυχεῖ σώματι. Ἀπολλόδ. Κ. 15, 1. Φαύλη φαύλῳ συγγιγνομένη φαῦλα γεννᾷ ἡ μιμητική. Πλ. πολ. 603, b. Φιλεῖ δὲ τῷ κάμνοντι συσπεύδειν θεός. Αἰσ. ἀποσ. 277 (387). Φίλος φίλῳ δὴ συμπονῶν αὐτῷ πονεῖ. Μέ. μο. 741. Οἱ θεοὶ ἡμῖν συνεργοῦσιν. Ξε. ἀπ. 4, 3, 12. Οἱ πρωτεύειν βουλόμενοι οὐ συμπράττουσί τι ἀλλήλοις ἀγαθόν. Ξε. Κυ. 8, 2, 28. Πολλοὶ ἀτυχοῦσι μὲν τοῖς φίλοις συνάχθονται, καλῶς δὲ πράττουσι φθονοῦσιν. Ἰσ. 1, 26. Τί προσήκει τοῖς κακοῖς συναπόλλυσθαι; Πλ. Λύ. 221, b. Ἡ προβατευτικὴ τέχνη συνῆπται τῇ γεωργίᾳ. Ξε. οἰκ. 5, 3. — Ξυνέβη μοι φεύγειν τὴν ἐμαυτοῦ ἔτη εἴκοσιν. Θ. 5, 26, 5. Τἆλλα ξυμβεβήκασι Λακεδαιμονίοις. Θ. 8, 98, 2. Ὡς τοῖσιν εὖ φρονοῦσι συμμαχεῖ τύχη. Εὐ. Πειρ. 6 (601), 3. Οὐ τοῖς ἀθύμοις ἡ τύχη ξυλλαμβάνει. Σο. ἀποσ. 666 (842). Τὰ ἔργα οὐ ξυμφωνεῖ ἡμῖν τοῖς λόγοις. Πλ. Λάχ. 193, e. Μετασχόντες τῶν τότε κινδύνων ὑμῖν ξυνώμοσαν. Θ. 2, 72, 1. — Τὸ τῶν παρθένων γένος θεῶν γένει τις συμβάλλει. Πλ. Ἱπ. μείζων 289, a. Τοῖς ἄλλοις ξυμβαλόντες ἐκράτησαν. Θ. 1, 105, 5. Ἔνθα τὸ πρῶτον τοῖς πολεμίοις συνέμιξαν ἐστήσαντο τρόπαιον. Ξε. Ἑλ. 4, 2, 23. Οὔ σοι συμβουλεύω ἐν τοῖς καλοῖς ἐᾶν τὴν ὄψιν ἐνδιατρίβειν. Ξε. Κυ. 5, 1, 15. Τὸ τοῖς ἀνθρώποις συγγιγνώσκειν ἐπιεικές. Ἀρλ. ῥητ. 1, 13.

A. 15. Auch bei den mit ἐπί, πρός, παρά, ὑπό, σύν zusammengesetzten Verben findet sich vielfach, z. T. neben dem Da., entweder dieselbe oder eine andere sinngemäße Präposition mit dem erforderlichen Kasus. Die bezüglichen Unterschiede ergeben sich aus dem Begriffe der Präpositionen. S. über diese unten § 68; über πρός auch § 48, 7, 13. Auf σύν ist auch 11 A. 2 anzuwenden.

V. Der Dativ bei Substantiven, Adjektiven und Adverbien.

12. Häufiger als in anderen Sprachen findet sich im Griechischen der Da. auch bei Substantiven. [Reg. z. Th. u. Dativ]

(A. 1. Der besitzliche Da. erscheint zuweilen auch in Verbindung mit Substantiven, wo andere Sprachen den Ge. setzen. Τοῦ ξένου ἡμῖν ἡδέως ἂν πυνθανοίμην τί ταῦθ' ἡγοῦντο. Πλ. σοφ. 216, d. Εὕρηνται ἡμῖν πρὸς τὰς τῶν ἐπωτίδων αὐτοῖς παχύτητας χειρῶν σιδηρῶν ἐπιβολαί. Θ. 7, 62, 3. Εἰς στενὸν κομιδῇ τὰ τῆς τροφῆς τοῖς ξένοις αὐτῷ καταστήσεται. Δη. 1, 22. Οἱ ἄνθρωποι ἓν τῶν κτημάτων τοῖς θεοῖς εἰσιν. Πλ. Φαίδ. 62, b. Vgl. Schömann z. Isai. p. 264.)

(A. 2. Auf diese in der att. Prosa nicht eben häufige Weise, durch die oft ein zweiter Ge. vermieden wurde, sind meist auch solche Stellen zu erklären, an denen man ein Hyperbaton annehmend den Da. zum Verbum ziehen könnte. (Wo aber weder die Stellung noch der Sinn den Da. mit dem Substantiv zu verbinden drängen, ist er zum Verbum zu ziehen.) Οἱ πρε-

σβύτεροι αὐτοῖς τῶν εὐδαιμόνων χιτῶνας λινοῦς ἐφόρουν. Θ. 1, 6, 2. Ὁ ἡγεμὼν αὐτοῖς τῶν ὁδῶν ἐτύγχανε τεθνηκώς. Θ. 3, 98, 2. Ἀπόβλεπε πρὸς τὴν νέαν ἡμῖν πόλιν. Πλ. πολ. 431, b. Vgl. z. Th. 1, 6, 2.)

(A. 3. Das enklitische μοί wie ἡμῖν ist an einigen Stellen, obgleich eingeschoben, doch wohl (in dem Sinne von R. 5. 6) mit dem Verbum zu verbinden. Ἡ γάρ μοι μήτηρ ἄλλῃ βέβηκεν. Ἀρ. ἐκ. 913. Ἡ μέν μοι ἀρχὴ τοῦ λόγου ἐστὶ κατὰ τὴν Εὐριπίδου Μελανίππην. Πλ. συ. 177, a. Οὗτός μοι μῦθος ἐνταῦθα τελευτάτω. Πλ. νό. 812, a. Ἡ θήλεια ἡμῖν φύσις ἐστὶ πρὸς ἀρετὴν χείρων τῆς τῶν ἀρρένων. Πλ. νό. 781, b. Vgl. Dial. Sy. A. 2.)

A. 4. Am häufigsten findet sich der R. 7 erwähnte objektive Da. bei sachlichen verbalen Substantiven. Τί δή ποτ' ἂν εἴη τὰ παρ' ἡμῶν δῶρα τοῖς θεοῖς; Πλ. Εὐθύφ. 15, a. Ὑπώπτευον ἀλλήλους κατὰ τὴν τῶν χωρίων ἀλλήλοις οὐκ ἀπόδοσιν. Θ. 5, 35, 1. Ἐγὼ οἴομαι οὐδέν πω ὑμῖν μεῖζον ἀγαθὸν γενέσθαι ἐν τῇ πόλει ἢ τὴν ἐμὴν τῷ θεῷ ὑπηρεσίαν. Πλ. ἀπ. 30, a. Μή τι ἐξαμάρτητε περὶ τὴν τοῦ θεοῦ δόσιν ὑμῖν. Πλ. ἀπ. 30, d. Αὕτη τις βοήθεια ἑαυτῷ πολλάκις ἡμῖν ὡμολόγηται κρατίστη εἶναι. Πλ. Γο. 522, d. Καλλωπίζεσθαι χρὴ τῷ καλῶς δουλεῦσαι τοῖς νόμοις, ὡς ταύτην τοῖς θεοῖς οὖσαν δουλείαν. Πλ. νό. 762, e. Πέφυκεν ἡ πόλεων ἐπιμιξία πόλεσιν ἤθη κεραννύναι παντοδαπά. Πλ. νό. 949, e. Χρώμεθα τοῖς πλοίοις πρὸς τὰς τοῖς λῃσταῖς ἐντεύξεις. Πλ. πολιτ. 298, c. Διὰ τοῦ δαιμονίου πᾶσά ἐστιν ἡ ὁμιλία καὶ ἡ διάλεκτος θεοῖς πρὸς ἀνθρώπους. Πλ. συ. 203, a. Μουσικὴ ἔχει τὴν ὁμοιότητα τῷ τοῦ καλοῦ μιμήματι. Πλ. νό. 668, b. Στάσιν τινὰ δεῖ τὴν ἀδικίαν εἶναι καὶ ἐπανάστασιν μέρους τινὸς τῷ ὅλῳ τῆς ψυχῆς. Πλ. πολ. 444, b. [Vgl. Reg. z. Th. u. Dativ 1. Heindorf z. Plat. Gorg. 146 u. Phaid. 85.]

(A. 5. Seltener findet sich der Da. bei persönlichen verbalen Substantiven. Τοὺς ἄρχοντας λεγομένους νῦν ὑπηρέτας τοῖς νόμοις ἐκάλεσα. Πλ. νό. 715, c. Ὁ τοῖς νόμοις βοηθὸς παρανομώτατος ἀνθρώπων γέγονεν. Λυ. ἀποσ. 31, 1. Τῶν συνηγόρων αὐτῷ τολμήσει τις εἰπεῖν. Λυκ. 63. Εἶδόν τινα τῶν ξυνωμοτῶν σφίσι διαλεγόμενον οἰκείως τῷ Ἱππίᾳ. Θ. 6, 57, 2. Vgl. Schäfer z. Dem. 1 p. 875 s.)

A. 6. Bei Substantiven der Art A. 4 findet sich zuweilen, bei denen A. 5 häufig der Ge. vgl. § 47, 7, 5. Πρὸς τὴν τῆς Χίου βοήθειαν ὥρμηντο. Θ. 8, 60, 2. Καταφεύγει πρὸς θεῶν εὐχάς τε καὶ λατρείας. Πλ. Φαῖδ. 244, e. — Αἰτεῖ τὸν δῆμον φύλακάς τινας τοῦ σώματος, ἵνα σῶς αὐτοῖς ᾖ ὁ τοῦ δήμου βοηθός. Πλ. πολ. 566, b. Ἔρως ἐστὶν ἐπίκουρος τῶν ἀνθρώπων. Πλ. συ. 189, d. [Vgl. Engelhardt z. Plat. Apol. p. 166 nach Heindorf.]

13. Die Adjektive und die von ihnen abgeleiteten Adverbia, welche den objektiven Da. annehmen, entsprechen meist den 7—10 angeführten Verben.

A. 1. So steht der Da. bei Adjektiven und Adverbien, die nützlich oder schädlich, tauglich, dienlich, bedeuten; ferner bei πιστός, ἄπιστος (πίσυνος Thuk. [z. 2, 89, 4] wie bei dem der att. Prosa fast fremden πεποιθέναι), συγγνώμων. Τῷ ὄντι θεοῖσι μὲν ἄχρηστον ψεῦδος, ἀνθρώποις δὲ χρήσιμον ὡς ἐν φαρμάκου εἴδει. Πλ. πολ. 389, b. Ἔοικας τὰ ἑκάστῳ ὠφέλιμα κτήματα καλεῖν. Ξε. οἰκ. 1, 7. Ἡ ἐδεσμάτων ἐπιθυμία βλαβερὰ μὲν σώματι, βλαβερὰ δὲ ψυχῇ πρός τε φρόνησιν καὶ τὸ σωφρονεῖν. Πλ. πολ. 559, b. Οἱ Πέρσαι φοβοῦνται πανταχοῦ λέγειν τὰ μὴ σύμφορα βασιλεῖ. Ξε. Κυ. 8, 2, 12. Μή μ' ἐκδίδασκε τοῖς φίλοις εἶναι κακήν. Σο. Ἠλ. 395. Ἐνίοις μὲν πάνυ ὀλίγα ἔχουσιν ἀρκεῖ, ἐνίοις δὲ πάνυ πολλὰ οὐχ ἱκανά ἐστιν. Ξε. ἀπ. 4, 2, 38. Οἱ εἰδότες ἑαυτοὺς τὰ ἐπιτήδεια ἑαυτοῖς ἴσασιν. Ξε. ἀπ. 4, 2, 26. Οὐ πᾶσιν οἱ αὐτοὶ πιστοὶ φαίνονται. Ξε. Κυ. 8, 7, 13. Τὸν ἐπίορκον ἄπιστον πᾶσιν ἐποίησεν.

Ξε. Ἀγ. 1, 12. (Τῇ δυνάμει τὸ πλέον πίσυνοι ἢ τῇ γνώμῃ ἐπέρχονται. Θ. 2, 89, 4. Πλούτῳ πεποιθὼς ἄδικα μὴ πειρῶ ποιεῖν. Μέ. 702 (712). Συγγνώμονες ἀεί εἰσι θεοὶ τοῖς τῶν ἀνθρώπων ἀδίκοις καὶ ἀδικοῦσιν. Πλ. νό. 906, c.

A. 2. So ferner bei Adjektiven und Adverbien, die eine freundliche oder feindselige Gesinnung oder Berührung bezeichnen. Οἱ ὅμοιοι τοῖς ὁμοίοις εὖνοί εἰσιν. Ξε. Ἀθ. πολ. 3, 10. Οὐδεὶς θεὸς δύσνους ἀνθρώποις. Πλ. Θε. 151, c. Λύσανδρος κακονούστατος ἦν τῇ πόλει. Λυ. 12, 59. Πολλοὶ τῶν ξυμμάχων τοῖς πολεμίοις εὐμενέστεροι ἦσαν ἢ τῇ Λακεδαίμονι. Ξε. Ἑλ. 5, 2, 1. Οὐδὲν τυράννου δυσμενέστερον πόλει. Εὐ. Ἱκ. 429. Ὁ ἀγαθὸς τῷ ἀγαθῷ μόνος μόνῳ φίλος. Πλ. Λυ. 214. Εἰρήνη μούσαισι προσφιλεστάτη. Εὐ. Ἱκ. 489. Οἱ πονηροὶ πάντως ἔμοιγε δοκοῦσιν ἀλλήλοις ἐχθροὶ μᾶλλον ἢ φίλοι πεφυκέναι. Ξε. ἀπ. 2, 6, 19. Τὸ ἔλαιον τοῖς φυτοῖς ἅπασίν ἐστι πάγκακον καὶ ταῖς θριξὶ πολεμιώτατον, πλὴν ταῖς τοῦ ἀνθρώπου. Πλ. Πρω. 334, b. Τοῖς τυράννοις ἀεί ποτε διάφοροί ἐσμεν. Θ. 6, 89, 3. Πρὸς τὸ ἀλλήλοις πρᾳοτέρους εἶναι ἀγαθὸν ἡγεῖτο τοὺς πόνους εἶναι. Ξε. Κυ. 2, 1, 29. Οἱ νόμοι πολὺ χαλεπώτεροί εἰσί τοῖς ἑκοῦσι κακὰ ἐργαζομένοις καὶ ψευδομένοις ἢ τοῖς ἄκουσιν. [Πλ. Ἱπ. μι. 372, a.] Ὅστις ἐπὶ τὸ πλέον ἔχειν πέφυκ' ἀνήρ, φίλοις τ' ἄμικτός ἐστι καὶ πάσῃ πόλει. Εὐ. Ἰξ. 4 (429). Αὐτοί ἐστε μάλιστα ἐμποδὼν τῇ αὐτονομίᾳ. Ξε. Ἑλ. 6, 3, 7.

A. 3. Bei φίλος, ἐχθρὸς, πολέμιος findet sich auch der Ge., meist jedoch nur, wenn sie substantiviert sind. Vgl. § 47, 10. u. Eu. Tro. 284, Th. 3, 84, 2 u. z. Xen. An. 3, 2, 5. Τὸ φιλοῦν ἂν εἴη φίλον τοῦ φιλουμένου· τὸ μισοῦν ἄρα πάλιν ἐχθρὸν τοῦ μισουμένου. Πλ. Λύ. 213, b. Παρὰ ἀνδρὶ αὐτοῦ φίλου εἱστιᾶτο. Ἀντ. 1, 26. (Οὐκ ἂν φίλον ποτ' ἄνδρα δυσμενῆ χθονὸς θείμην ἐμαυτῷ. Σο. Ἀντ. 187. Bei And. 1, 96 heißt πολέμιος ἔστω τῶν Ἀ. er gelte für einen Feind der A.)

A. 4. Ἐναντίος hat den Da., wenn es entgegenstehend oder feindselig; den Ge., wenn es nur den Bezug auf das Objekt, im uneig. Sinne widersprechend, völlig verschieden (wie διάφορος A. 2 u. § 47, 26, 5) bedeutet. [Über οἱ ἐναντίοι z. Th. 5, 67, 3.] Ἐναντίον vor hat nur den Ge. Μῶρον τὸ τὰ τυφλὰ τοῦ σώματος καὶ ἄοπλα ἐναντία τάττειν τοῖς πολεμίοις φεύγοντας. Ξε. Κυ. 3, 3, 45. Ἐναντίως ἔχει τῷ σώφρονι ὁ ἀκόλαστος. Πλ. Γο. 507, c. Τύραννος ἅπας ἐχθρὸς ἐλευθερίᾳ καὶ νόμοις ἐναντίος. Δη. 6, 25. Τὸ ὅσιον τοῦ ἀνοσίου παντὸς ἐναντίον. Πλ. Εὐθύφ. 5, d. Πολλῶν ἐναντίον λέγει. Πλ. Παρ. 136, d.

A. 5. Eben so haben ἴδιος und κοινός, οἰκεῖος und ἀλλότριος, συγγενής und ἀδελφός nebst ihren Adverbien den Da., wenn das Zugehören oder die Übereinstimmung; den Ge., wenn das Eigentum oder eine Berührung der Eigentümlichkeiten berücksichtigt wird. Bei ἀδελφός ist daher der Ge. vorherrschend; den Ge. hat auch ἱερός. Παρέδειξεν αὐτῷ τοὺς φόρους οἳ αὐτῷ ἴδιοι ἦσαν. Ξε. Ἑλ. 2, 1, 14. Κοινόν τι χαρᾷ καὶ λύπῃ δάκρυά ἐστιν. Ξε. Ἑλ. 7, 1, 32. Ὁπότεροι ἂν ὦσι κρείττους, τούτους ἰδίους μάλιστα δεῖ ποιεῖσθαι τῆς ἀρχῆς. Ἀρλ. πολ. 5, 9, 19. Ἡ πόλις ἁπάντων τῶν πολιτευομένων κοινή ἐστιν. Ἀνδ. 2, 1. Ἡ Θάσος ἦν τότε Λακεδαιμονίοις μὲν οἰκεία, ὑμῖν δὲ ἀλλοτρία. Δη. 20, 61. Ἦ οἰκειότερον σοφίᾳ τι ἂν ἀληθείας εὕροις; Πλ. πολ. 485, c. Κόσμος τις ἐγγενόμενος ἐν ἑκάστῳ ὁ ἑκάστου οἰκεῖος ἀγαθὸν παρέχει ἕκαστον τῶν ὄντων. Πλ. Γο. 506, e. Ἔστι τὰ τούτου ἐπιτηδεύματα πάσης δημοκρατίας ἀλλότρια. Λυ. 31, 34. Ἡ φιλοσοφία ἐστὶν ἀλλοτρία πάσαις ταῖς πραγματείαις. Ἰσ. 15, 270. Πότερον ἡδονὴ συγγενέστερον ἢ νοῦς ἀληθείᾳ; Πλ. Φιλ. 65, a. Οὐδὲν προσοιστέον μανικὸν οὐδὲ συγγενὲς ἀκολασίας τῷ ὀρθῷ ἔρωτι. Πλ. πολ. 403, a. Ἡ μωρία μάλιστ' ἀδελφὴ τῆς πονηρίας ἔφυ. Σο. ἀποσ. 663 (840). Γῆ ἑστία τε οἰκήσεως ἱερὰ πᾶσι πάντων θεῶν. Πλ. νό. 955, e.

A. 6. Über κατ- und ὑπήκοος § 47, 26, 2. So hat auch δοῦλος den Da. und Ge. Νόμιζε γήμας δοῦλος εἶναι τῷ βίῳ. Γν. 77. Τῆς ἐπιμελείας δοῦλα πάντα γίγνεται. Ἀντιφά. 272 (290). (Πάντῃ πάντα τοῖς θεοῖς ὕποχα. Ξε. ἀν. 2, 5, 7.)

A. 7. Auch ἀκόλουθος gestattet wie den Da. so den Ge.; diesen insofern es ein Anschließen bedeutet. Ἀκόλουθος ὁ νῦν λόγος ἐστί μοι τῷ τότε ῥηθέντι. Δη. 15, 7. Τιμωρία ἀδικίας ἀκόλουθος πάθη. Πλ. νό. 728, c. Κἀκεῖνά μοι δὸς τἀκόλουθα τῶν ῥακῶν. Ἀρ. Ἀχ. 438.

A. 8. **Gewöhnlich nur mit dem Da. verband man die Adjektive und Adverbia, welche den Begriff des Geziemenden, Ähnlichen, Gleichen enthalten.** Ἃ δοκεῖ κάλλιστα καὶ πρεπωδέστατα γυναιξὶν εἶναι ἐπίστανται. Ξε. ἀπ. 2, 7, 10. Μέθη φύλαξιν ἀπρεπέστατον. Πλ. πολ. 398, e. Ἀνάρμοστόν ἐστι τὸ αἰσχρὸν παντὶ τῷ θείῳ. Πλ. συ. 206, c. Τῇ μὲν γυναικὶ κάλλιον ἔνδον μένειν ἢ θυραυλεῖν, τῷ δὲ ἀνδρὶ αἴσχιον μένειν ἔνδον ἢ τῶν ἔξω ἐπιμελεῖσθαι. Ξε. οἰκ. 7, 30. Ἀτελεῖ ἐοικὸς οὐδέν ποτ' ἂν γένοιτο καλόν. Πλ. Τί. 30, c. Κακοὺς ἐπωφελῶν δόξεις ὅμοιος τοῖς κακοῖς πεφυκέναι. Σο. Φι. 1371. Ὁ τύραννος μέθην καὶ ὕπνον ὁμοίως ἐνέδρᾳ φυλάττεται. Ξε. Ἱερ. 6, 3. Πῶς τὸ τῷ καλῷ καλῷ ἀνόμοιον καλὸν ἂν εἴη; Ξε. ἀπ. 3, 8, 4. Γυναῖκας τὰς φύσεις τοῖς ἀνδράσι παραπλησίας ἐστὶ ξυναρμοστέον. Πλ. Τί. 18, c. Ἐμφερεῖς τοὺς οἰκέτας ἔχοντας ὄψει τοὺς τρόπους τοῖς δεσπόταις. Ἄλεξις 53 (4). Σφόδρ' ἐστὶν ἡμῶν ὁ βίος οἴνῳ προσφερής· ὅταν ᾖ τὸ λοιπὸν μικρόν, ὄξος γίγνεται. Ἀντιφά. 299 (240, a). Οὐ δεῖ ἴσον τοὺς κακοὺς τοῖς ἀγαθοῖς ἔχειν. Ξε. Κυ. 2, 3, 5. Οὐ ταὐτὰ γίγνεται τἀγαθὰ τοῖς ἡδέσιν οὐδὲ τὰ κακὰ τοῖς ἀνιαροῖς. Πλ. Γο. 497, d.

A. 9. Bei den Wörtern der Ähnlichkeit und Gleichheit [der Verschiedenheit Her. 1, 172] tritt die § 47, 27, 5 erwähnte **Brachylogie** ein: Δίκην ὁμοίαν oder τὴν αὐτὴν διδόασι τοῖς ἁμαρτάνουσιν für τῇ δίκῃ τῶν ἁμαρτανόντων; ἐν τῷ αὐτῷ ἡμῖν εἰσιν **sie sind an derselben Stelle mit (unserer Stelle) uns**; ὁμοίως ἐμοί so v. a. ὁμοίῳ τρόπῳ τῷ ἐμῷ τρόπῳ. [z. Xen. An. 2, 3, 15.] Ὁμοίαν ταῖς δούλαις εἶχε τὴν ἐσθῆτα. Ξε. Κυ. 5, 1, 3. Στέφανος ἅπας, κἂν μικρὸς ᾖ, τὴν ἴσην φιλοτιμίαν ἔχει τῷ μεγάλῳ. Δη. 24, 183. Οὐδ' ὁπωστιοῦν τῶν ἴσων ἀξιῶ τοὺς ἀμείνονας τοῖς κακίοσι τυγχάνειν. Ξε. οἰκ. 13, 12. Σωκράτης ἐπιμελείας ἔτυχεν ὑπ' ἀνθρώπων οὐχ ὁμοίως τοῖς αὐτὸν ἀποκτείνασιν. Ξε. ἀπ. 4, 8, 10. Νομίζετε τῆς αὐτῆς ζημίας ἀξίους εἶναι τοὺς συγκρύπτοντας τοῖς ἁμαρτάνουσιν. Ἰσ. 3, 53. Μὴ σύναγε εἰς ταὐτὸν τὰ κάλλιστα τοῖς αἰσχίστοις. Αἰ. 2, 145.) Vgl. § 69, 32, 5.

(A. 3. In einzelnen Fällen scheint ὅστις nur als vollere Form für ὅς einzutreten, wie z. B. neben ἐξ οὗ seitdem auch ἐξ ὅτου erscheint (§ 43, 4, 7). Doch wird, zumal bei attischen Prosaikern, eine solche Verwechselung überall mit großer Vorsicht einzuräumen sein; keineswegs z. B. daß sie für ἐν ᾧ während auch ἐν ὅτῳ gesagt hätten. In andern Verbindungen läßt sich in ὅστις wenigstens etwas Eigenschaftliches erkennen. Χαλκιδῆς Νάξον ᾤκισαν καὶ Ἀπόλλωνος ἀρχηγέτου βωμόν, ὅστις νῦν ἔξω τῆς πόλεώς ἐστιν, ἱδρύσαντο. Θ. 6, 3, 1.)

A. 4. Umgekehrt kann ὅς eintreten, wo auch ὅστις zulässig wäre, z. B. in Verbindung mit ἄν und dem Konjunktiv. Φιλεῖ τὸ πλῆθος ἐν τούτοις τοῖς ἐπιτηδεύμασι τὸν βίον διάγειν ἐν οἷς ἂν τοὺς ἄρχοντας τοὺς αὐτῶν ὁρῶσι διατρίβοντας. Ἰσ. 3, 37.

(A. 5. Ähnlich steht ὅς, zum Teil an οἷος angrenzend, so daß mehr das ganze Wesen umfaßt wird, wie sich ähnlich auch οὗτος für τοιοῦτος findet. Vgl. § 57, 3, 5. Μάθε ὃς εἶ φύσιν. Σο. Αἴ. 1259. Ὃς μὲν οὐκ ἔστι, βούλεσθε αὐτὸν γενέσθαι, ὃς δ' ἔστι νῦν, μηκέτι εἶναι. Πλ. Εὐθύδ. 283, d. Προελώμεθά τι παράδειγμα τῶν ἐπιθυμιῶν αἵ εἰσιν. Πλ. πολ. 493. Ποῖον ἐπιχειρήσομεν φίλον ποιεῖσθαι; Οἶμαι μὲν ὃς ἐγκρατὴς μέν ἐστι τῶν διὰ τοῦ σώματος ἡδονῶν, εὔορκος δὲ καὶ εὐξύμβολος ὢν τυγχάνει. Ξε. ἀπ. 2, 6, 5. — Ἐφάνην οὗτος ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἐγώ. Δη. 18, 173. Οὗτος κράτιστός ἐστ' ἀνὴρ ὦ Γοργία ὅστις ἀδικεῖσθαι πλεῖστ' ἐπίσταται ἐγκρατῶς. Μέ. 95, 1).

A. 6. Die Plurale von ὅσος und ὁπόσος wie von τοσοῦτος und τοσόσδε haben auch numerische Bedeutung: so viele, wie viele (quot und auch quotquot). Vgl. § 25, 10, 5. Οἱ γονεῖς τοὺς παῖδας ἐποίησαν τοσαῦτα καλὰ ἰδεῖν καὶ τοσούτων ἀγαθῶν μετασχεῖν ὅσα οἱ θεοὶ παρέχουσι τοῖς ἀνθρώποις. Ξε. ἀπ. 2, 2, 3. Ὡς πάνθ' ὅσ' ἂν θεὸς θέλῃ χὴ (καὶ ἡ) τύχη κατορθοῖ. Ἀρ. εἰρ. 939. Τοσαῦτα πράγματα ἐχούσης ὁπόσα λέγεις τῆς τυραννίδος ὅμως προπετῶς φέρεσθε εἰς αὐτήν. Ξε. Ἱέρ. 7, 2. Ὅσοι δύνανται ἔχειν ἀπὸ τοῦ δικαίου ὅσων δέονται, τί ἂν τούτους οἰκτ[ε]ίροι τις ὡς πένητας; Ξε. Ἱέρ. 4, 10. Βασιλεὺς ἐν ὁπόσαις τε χώραις ἐνοικεῖ καὶ εἰς ὁπόσας ἐπιστρέφεται, ἐπιμελεῖται τούτων ὅπως κῆποί

τε ἔσονται, οἱ παράδεισοι καλούμενοι, πάντων καλῶν τε καὶ ἀγαθῶν μεστοί, ὁπόσα ἡ γῆ φύειν ἐθέλει. Ξε. οἰκ. 4, 13.

A. 7 Über die Adverbia ἔνθα, ἐνταῦθα, ἔνθεν § 25, 10, 10.

9. Der Kasus des Relativs hängt ab von der Stelle, die es im Satze einnimmt, indem es entweder als Subjekt im Nominativ (oder als Subjekt des Infinitivs im Accusativ) steht; oder auch als obliquer Kasus von einem andern Begriffe seines Satzes regiert wird.

A. 1. Als Subjektsaccusativ steht das Relativ wie jedes andere Nomen: im Deutschen aber müssen wir in diesem Falle, wie auch, wenn es bei einem Ac. und Inf. Objektsac. ist und bei manchen ähnlichen Participialkonstruktionen, entweder schwerfällig übersetzen: von welchem — daß er; oder einen Zwischensatz eintreten lassen, oder ein Demonstrativ mit einer Konjunktion gebrauchen, wie ὃν οἴεται παρεῖναι, ὃν οἶδε παρόντα von welchem er glaubt, weiß, daß er zugegen ist; der, glaubt er (wie er glaubt, weiß,) zugegen sei; und daß (daß aber) dieser zugegen sei, glaubt, weiß er. Vgl. § 56, 10, 5. Σωκράτης σὺν τοῖς νόμοις ἠναντιώθη τοιαύτῃ ὁρμῇ τοῦ δήμου ἣν οὐκ ἂν οἶμαι ἄλλον οὐδένα ἄνθρωπον ὑπομεῖναι. Ξε. ἀπ. 4, 4, 2.

A. 2. Ein Relativ kann sich bloß einem Particip, selbst, wenn dies den Artikel hat, anschließen, ohne dem zugehörigen Verbum mit anzugehören [z. Th. 5, 9, 3. 6, 91, 6]; wobei wir im Deutschen oft, um eine gefügigere Rede zu gewinnen, abweichende Wendungen wählen müssen. So erscheint das Relativ auch als Subjekt beim absoluten Genitiv. Beispiele vom Genitiv beim Komparativ § 47, 27, 4. Καί σοι φράσω τι πρᾶγμ' ὃ μαθὼν ἀνὴρ ἔσει. Ἀρ. νε. 823. Τὰ κλέμματα ταῦτα καλλίστην δόξαν ἔχει ἃ τὸν πολέμιον μάλιστ' ἄν τις ἀπατήσας τοὺς φίλους μέγιστ' ἂν ὠφελήσειεν. Θ. 5, 9, 3. Εἶναί τινάς φασιν ἐπῳδὰς ἃς οἱ ἐπιστάμενοι ἐπᾴδοντες οἷς ἂν βούλωνται φίλους ἑαυτοῖς ποιοῦνται. Ξε. ἀπ. 2, 6, 10. Δοκεῖ μοι ὑφ' οὗ ἄν τις εὖ παθὼν μὴ πειρᾶται χάριν ἀποδιδόναι ἄδικος εἶναι. Ξε. ἀπ. 2, 2, 2. Δόξεις καὶ αὐτὸς τοιαῦτα πράττειν οἷάπερ ἂν τοῖς ἄλλοις πράττουσι βοηθῇς. Ἰσ. 1, 37. Ὅσῳ ἄν τις μείζω ἀγαθὰ παθὼν μὴ ἀποδιδῷ χάριν, τοσούτῳ ἀδικώτερος ἂν εἴη. Ξε. ἀπ. 2, 2, 3. Ἄμαχόν τε καὶ ἀνίκητον θυμός, οὗ παρόντος ψυχὴ πᾶσα πρὸς πάντα ἄφοβός τε καὶ ἀήττητος. Πλ. πολ. 375, b. Vgl. § 47, 27, 2.

A. 3. Analog steht (wie gleichfalls auch im Lateinischen) das Relativ vor Konjunktionen abhängiger Sätze zu diesen gehörig. Ἔφη εἶναι ἄκρον ὃ εἰ μή τις προκαταλήψοιτο, ἀδύνατον ἔσεσθαι παρελθεῖν Ξε. ἀν. 4, 1, 25. Ἐνόμιζον δίκην ἐπικρεμασθῆναι, ἣν πρὶν ἐμπεσεῖν εἰκὸς εἶναι τοῦ βίου τι ἀπολαῦσαι. Θ. 2, 53, 3. Χαράδραν αὐτοὺς ἔδει διαβῆναι, ἐφ' ᾗ ἐφοβοῦντο μὴ ἐπίθοιντο αὐτοῖς διαβαίνουσιν οἱ πολέμιοι. Ξε. ἀν. 3, 4, 1.

A. 4. So können auch relative Adverbia bloß zum Particip gehören. Ἐμοὶ πειθόμενος ἀκολούθησον ἐνταῦθα οἷ ἀφικόμενος εὐδαιμονήσεις. Πλ. Γο. 527. Vgl. Xe. An. 5, 5, 16 u. Th. 3, 105, 1.

A. 5. Unser aber nach Relativen kann, wie im Lateinischen, nur dann durch δέ oder ein synonymes Wort ausgedrückt werden, wenn dem relativen Satze im Folgenden ein demonstrativer entspricht.

10. Eine ziemlich regelmäßige Abweichung von der Regel 9 wird durch das Streben erzeugt, dem Sinne nach innig verbundene Begriffe auch der Form nach zu assimilieren. So wird der Ac. eines (einfachen) Relativs, auf einen Genitiv oder Dativ bezogen, gewöhnlich gleichfalls in den Genitiv oder Dativ verwandelt, jedoch nicht leicht anders, als wenn der re-

lative Satz als attributartige Bestimmung sich ohne Pause anschließt: Assimilation, gewöhnlich falsch und unpassend Attraktion genannt. [z. Xe. An. 1, 1, 8. vgl. Her. 7, 164?] *Ἔστι τὸ διαλεκτικώτερον μὴ μόνον τἀληθῆ ἀποκρίνεσθαι, ἀλλὰ καὶ δι' ἐκείνων ὧν ἂν προσομολογῇ εἰδέναι ὁ ἐρωτώμενος. Πλ. Μέ.* 75, d. *Ἄλογον ἀνθρώπους ἐξαιρεθέντας ἀδικίαν ἀδικεῖν τούτῳ ᾧ οὐκ ἔχουσιν. Πλ. Γο.* 519, d. — *Τίς ἡ ὠφέλεια τοῖς θεοῖς τυγχάνει οὖσα ἀπὸ τῶν δώρων ὧν παρ' ἡμῶν λαμβάνουσιν; Πλ. Εὐθύφ.* 14, e. *Τοῖς ἀγαθοῖς οἷς ἔχομεν ἐν τῇ ψυχῇ, τούτοις κτώμεθα καὶ τὰς ἄλλας ὠφελείας. Ἰσ.* 8, 32. (vgl. 11 A. 2.) — *Μήδων ὅσων ἑώρακα ἐγὼ ὁ ἐμὸς πάππος κάλλιστος. Ξε. Κυ.* 1, 3, 2. *Χρὴ τὰς πόλεις διοικεῖν τοιούτοις ἤθεσιν οἵοις Εὐαγόρας εἶχεν. Ἰσ.* 9, 48. *Τῶν ἵππων ὑπαρχόντων οἵων δεῖ τοὺς ἱππέας αὖ ἀσκητέον. Ξε. Ἱππ.* 1, 5. *Χειμῶνος ὄντος οἵου λέγεις ὕβριζον. Ξε. ἀν.* 5, 8, 3. [*Ἄλλῳ — ὅτῳ τις ἔλαβεν ἐξηκόντιζεν. Ἀρρ. ἀν.* 4, 26, 7 u. dort Kr.] Lobeck z. Soph. Aj. 694. A. 2.

A. 1. Diese Assimilation erfolgt auch, wenn der bezügliche Genitiv oder Dativ eines nachdrucklosen Demonstrativs bloß zu ergänzen ist. Eine Ergänzung, an die jedoch der Grieche nicht dachte; ihm war der relative Satz substantivierter Objektbegriff. [Vgl. Herm. z. Vig. p. 872.] Πολλοὶ ἐπιθυμήσαντες κύριοι εἶναι πάντων διὰ ταῦτα καὶ ὧν εἶχον ἀπέτυχον. Ξε. Κυ. 1, 6, 45. Μαχεῖται πᾶν ζῷον διαφερόντως παρόντων ὧν ἂν τέκῃ. Πλ. πολ. 467, b. Μὴ ὧν πεισόμεθα μόνον δεινότητα κατανοεῖτε. Θ. 3, 59, 1. — Θηβαῖοι οἷς εὐτυχήκεσαν ἐν Λεύκτροις οὐ μετρίως ἐκέχρηντο. Δη. 18, 18. Ἀφ' ὧν ἴστε αὐτοὶ τὰ πράγματα κρίνειν δεῖ. Δη. 19, 216. Μέλλουσιν ἑτέραν μεταλήψεσθαι δόξαν ἀνθ' ἧς νῦν τυγχάνουσιν ἔχοντες. Ἰσ. 15, 196. Σὺν οἷς εἶχεν ᾔει πρὸς τὸ τεῖχος. Ξε. Ἑλ. 3, 5, 18. Πρὸς ᾧ εἶχε ξυνέλεγε πανταχόθεν παμπληθὲς στράτευμα. Ξε. Ἑλ. 4, 1, 41. (Βούλει ἰδεῖν τι ὧν φαμεν ἀτέχνων τε καὶ ἐντέχνων εἶναι; Πλ. Φαῖδ. 262, c.)

A. 2. Die Fälle, wo diese Assimilation (10 und A. 1) unterbleibt, sind nicht selten und nur zum Teil durch Wohlklang oder Deutlichkeit veranlaßt. Ἆρ' οἴει τοὺς θεοὺς ὠφελεῖσθαι ἀπὸ τούτων ἃ παρ' ἡμῶν λαμβάνουσιν; Πλ. Εὐθύφ. 15, a. Τοῖς σοφισταῖς οὐκ ἐγχωρεῖ μέμφεσθαι τούτῳ τῷ πράγματι ὃ αὐτοὶ παιδεύουσιν. Πλ. Γο. 520, b. Ὄμνυμι ἐμμενεῖν ἅ σου ἀκούω. Εὐ. Μήδ. 753. [z. Th. 1, 50, 1. vgl. 6, 76, 1.]

(A. 3. Selten findet die Assimilation A. 1 statt, wenn das Relativ eigentlich im Nominativ, hin und wieder, wenn es auf einen Genitiv bezogen eigentlich im Dativ stehen sollte. Βλάπτονται ἀφ' ὧν ἡμῖν παρεσκεύασται. Θ. 7, 67, 3. Ὧν ἐντυγχάνω μάλιστα ἄγαμαι σέ. Πλ. Πρω. 361, e. Παρ' ὧν βοηθεῖς οὐκ ἀπολήψῃ χάριν. Αἰ. 2, 117. Über ἀφ' ἧς ἡμέρας z. Xe. An. 5, 10, 12. u. z. Her. 1, 47, 1.)

(A. 4. Einmal an das durch Assimilation entstandene (οὗ) ὧν gewöhnt gebrauchte man es auch, wo wir (τούτου) τούτων ὅτι oder etwas Ähnliches erwarten würden, erklärlich aus § 46, 5 A. 4, 9. Προσήκει χάριν αὐτοῖς ἔχειν ὧν ἐσώθησαν ὑφ' ὑμῶν. Δη. 16, 13. Ὑμᾶς ποιήσω τήμερον δοῦναι δίκην ἀνθ' ὧν ἐμὲ ζητεῖτον ἐνθένδ' ἀφανίσαι. Ἀρ. πλ. 434. Οὐκ ἐξ ὧν ἂν χαρίζησθε ἀκροῶνται ὑμῶν, ἀλλ' ἐξ ὧν ἂν ἰσχυῖ περιγένησθε. Θ. 3, 37, 2. vgl. z. 3, 37, 2. 5, 9, 4.)

A. 5. Ähnlich usurpierte ὅσῳ, ursprünglich einem gesetzten oder zu denkenden τοσούτῳ assimiliert, auch die Bedeutung als, da, inwiefern. [z. Th. 1, 68, 2.] Τοσούτῳ κρείττων δικαιοσύνη χρημάτων, ὅσῳ τὰ μὲν ζῶντας

μόνον ὠφελεῖ, ἡ δὲ καὶ τελευτήσασι δόξαν παρασκευάζει. Ἰσ. 1, 38. Φίλος ὢν ἱκανῶς ἂν ὠφελοίην, ὅσῳ τὰ μὲν Ἀθηναίων οἶδα, τὰ δ' ὑμέτερα ᾔκαζον. Θ. 6, 92, 4. (Ähnlich ὅσῳ Isokr. 8, 47. vgl. 4, 83 u. Xen. An. 3, 1, 45.)

(A. 6. Οἷος (und ἡλίκος) assimiliert sich überhaupt einem obliquen Kasus, auf den es sich bezieht, statt vollständig mit εἶναι (im Nominativ oder Accusativ) als Prädikat einzutreten; eben so wenn es sich mit (ergänzbarem τοιοῦτος) dem Artikel anschließt. Vgl. § 50, 8, 20 f. Dabei kann auch die 11 erw. Umstellung eintreten [die Assimilation jedoch auch unterbleiben]. Ὁρῶ νεανίας οἵους [οἷος Dindorf] σὺ διαδεδρακότας. Ἀρ. Ἀχ. 601. Τοὺς οἵους ὑμεῖς μισεῖ συκοφάντας. Ἀντ. 5, 78. Οὐκ ἔφασαν τὸν οἷόνπερ αὐτὸς ὄντα [τῶν οἵωνπερ αὐτὸς ὄντων die Hsn.] καινῶν δεῖσθαι πραγμάτων. [?] Ξε. Ἑλ. 1, 4, 16. — Μὴ ὄντων οἵων δεῖ δι' ὧν αἱ μέγισται καὶ πλεῖσται πράξεις ἔμελλον εἶναι κακῶς ἡγεῖτο τὰ αὐτοῦ ἕξειν. Ξε. Κυ. 8, 1, 12. Οἰκίας οὐδὲν ὄφελος ἂν εἴη, εἰ τὰ ἄνω πάνυ καλὰ ἔχοι, μὴ ὑποκειμένων οἵων δεῖ θεμελίων. Ξε. Ἱπ. 1, 2. Τὸ ἐμὸν παράδειγμα οἵων ἐπιθυμῶ τῶν προτρεπτικῶν λόγων εἶναι τοιοῦτον. Πλ. Εὐθύδ. 282, d. [Οὐχ οἷόςπερ (οἵοιςπερ) σὺ χρώμενοι συμβούλοις ἐπολιτεύοντο. Δη. 22, 77. 24, 185.] Vgl. § 49, 10, 4.)

(A. 7. Ein zu οἷος gehöriges Subjekt wird bei dieser Assimilation gewöhnlicher in dem Kasus des οἷος als (wie in den ersten Beispielen A. 6) im Nominativ hinzugefügt, auch bei der Umstelluug (11). Ἔλεγε πρὸς ἄνδρας τολμηρούς, οἵους καὶ Ἀθηναίους, τοὺς ἀντιτολμῶντας χαλεπωτάτους αὐτοῖς φαίνεσθαι. Θ. 7, 21, 3. [z. 1, 69, 4.] Οὐκ ἄν που περὶ τοῦ τοιούτου ὁ λόγος εἴη οἵου τοῦ ἑνός. Πλ. Παρ. 161, b. Ἐκεῖνο δεινὸν τοῖσιν ἡλίκοισι νῷν. Ἀρ. ἐκ. 465. Πολλῷ ἥδιόν ἐστι χαριζόμενον οἵῳ σοὶ ἀνδρὶ ἢ ἀπεχθόμενον ὠφελεῖσθαι. Ξε. ἀπ. 2, 9, 3. vgl. Ἑλ. 2, 3, 25.)

[A. 8. Selbst von Adverbien findet sich assimilationsartig ὅθεν für ἐκεῖθεν ὅπου oder ὅποι; ὅπῃ für ἐκεῖσε ὅποι. Οἱ Ἀθηναῖοι διεκομίζοντο ὅθεν ὑπεξέθεντο παῖδας καὶ γυναῖκας. Θ. 1, 89, 3. Ὅποι [ὅπῃ] νοσοῖεν ξύμμαχοι κατεσκόπει. Εὐ. Ἑλ. 1607.]

[A. 9. Auch der entgegengesetzte Fall (von 10) tritt zuweilen ein, indem das Nomen, worauf das Relativ sich bezieht, wenn es ihm unmittelbar vorangeht, wider die eigentliche Konstruktion den Kasus des Relativs annimmt: umgekehrte Assimilation. Τὴν οὐσίαν ἣν κατέλιπεν οὐ πλείονος ἀξία ἐστίν. Λυ. 19, 47. Τὴν μὲν ἐμπειρίαν οὐ μᾶλλον τῶν ἄλλων ἔχομεν, πολιτείαν δ' οἵαν εἶναι χρὴ παρὰ μόνοις ἡμῖν ἐστιν. Ἰσ. 6, 48. Ἔλεγον ὅτι πάντων ὧν δέονται πεπραγότες εἶεν. Ξε. Ἑλ. 1, 4, 2.]

(A. 10. In andern Fällen ist das Nomen nur des Nachdrucks halber vorausgestellt. Hieher zu rechnen sind vielleicht manche Stellen mit ἄλλος, das auch bei Übereinstimmung der Kasus, so wie bei εἴ τις aus demselben Grunde, voranstehen kann. Ἀνίστη Ἀγριᾶνας καὶ ἄλλα ὅσα ἔθνη Παιονικά. Θ. 2, 96, 3. Πολλαχοῦ καὶ ἄλλοσε ὅποι ἂν ἀφίκῃ ἀγαπήσουσί σε. Πλ. Κρίτ. 45, b. Ἐγγυώμεθα ἡμεῖς, ἐγώ, Φορμίων, ἄλλον εἴ τινα βούλεται, θήσειν τὸν νόμον. Δη. 20, 100. Κωλύουσιν ἡμᾶς ἐπὶ Κέρκυραν ἢ ἄλλοσε εἴ ποι βουλόμεθα πλεῖν. Θ. 1, 53, 2. Vgl. z. Xe. An. 1, 10, 3 u. z. Th. 1, 53, 2.)

(A. 11. Die Formel οὐδεὶς ὅστις οὐ schlechterdings jeder (entstanden aus dem auch vollständig vorkommenden οὐδείς ἐστιν ὅστις οὐ) ist durch eine Assimilation der A. 9 erwähnten Art, welche bei ihr immer eintritt, zu einem Begriffe verschmolzen. So findet sich auch τίς ὅστις οὐ —; Ἀναγκαῖον οὐδένα ὄντιν' οὐχὶ ἀμωςγέπως μετέχειν δικαιοσύνης. Πλ. Πρω. 323, c. Οὐδένα κίνδυνον ὄντιν' οὐχ ὑπέμειναν οἱ πρόγονοι. Δη. 18, 200. Γοργίας οὐδενὶ ὅτῳ οὐκ ἀπεκρίνετο. Πλ. Μέ. 70, c. Πάντων μέτρον ἄνθρωπός ἐστιν, λευκῶν, βαρέων, κούφων, οὐδενὸς ὅτου οὐ τῶν τοιούτων. Πλ. Θε. 178, b. Τίνα οἴεσθε ὄντινα οὐ βραχεία προφάσει ἀποστήσεσθαι; Θ. 3, 39, 6.) Vgl. Elmsley u. Hermann z. Eu. Med. 775 (793).

A. 12. Durch eine ähnliche Assimilation amalgamierten sich besonders mit ὅσος Adjektive zu Einem verbunden deklinierten Begriffe, wie θαυμαστὸς ὅσος, θαυμαστοῦ ὅσου rc., dem Sinne nach so viel als θαυμαστόν ἐστιν ὅσος, ὅσου rc. Ἦν περὶ αὐτὸν ὄχλος ὑπερφυὴς ὅσος. Ἀρ. πλ. 750. Ὡμολόγησε ταῦτα ἑλκόμενος καὶ μόγις, μετὰ ἱδρῶτος θαυμαστοῦ ὅσου. Πλ. πολ. 350, d. Εἰ τοσοῦτον ἡδονῇ νικᾷ ὁ ἀγαθός τε καὶ δίκαιος τὸν κακόν τε καὶ ἄδικον, ἀμηχάνῳ ὅσῳ δὴ πλέονι νικήσει εὐσχημοσύνῃ τε βίου καὶ κάλλει καὶ ἀρετῇ. Πλ. πολ. 588, a. (Δικαίως ἠξιώθη ταύτης τῆς τιμῆς, οὐ τῷ μεγάλα ἢ θαυμάσια ἡλίκα δοῦναι. Δη. 20, 41. Ὑπερφυεῖ τινι ὡς μεγάλῃ βλάβῃ καὶ κακῷ θαυμασίῳ ὑπερβάλλουσα τἆλλα ἡ τῆς ψυχῆς πονηρία αἴσχιστόν ἐστι πάντων. Πλ. Γο. 477, d.)

A. 13. Analog tritt vor ὡς auch ein Adverbium ein. Ὑπερφυῶς ὡς χαίρω. Πλ. συ. 173, c. Νέος ὢν θαυμαστῶς ὡς ἐπεθύμησα ταύτης τῆς σοφίας ἣν δὴ καλοῦσι περὶ φύσεως ἱστορίαν. Πλ. Φαίδ. 96, a. Vgl. Dem. 29, 1. 37, 10.

11. Der relative Satz wird dem demonstrativen oft nachdrucksvoll vorangestellt und das gemeinsame Substantiv, wenn ein solches da ist, dem Relativ angefügt, jedoch in der Regel ihm nicht unmittelbar nachgestellt. Wenn dabei das Relativ und Demonstrativ auch von derselben Präposition abhängen, so muß sie doch vor beiden stehen. *Ἃ ποιεῖν αἰσχρόν, ταῦτα νόμιζε μηδὲ λέγειν εἶναι καλόν. Ἰσ.* 1, 15. *Ἃ οὐ κεκτήμεθα, μίμησις ἤδη ταῦτα συνθηρεύεται. Ἀρ. θε.* 155. *Μοχθεῖν ἀνάγκη· τὰς δὲ δαιμόνων τύχας ὅστις φέρει κάλλιστ', ἀνὴρ οὗτος σοφός. Εὐ. Αἴολ.* 20 (37). *Ὁπόσοι μαστεύουσι ζῆν ἐκ παντὸς τρόπου ἐν τοῖς πολεμικοῖς, οὗτοι κακῶς τε καὶ αἰσχρῶς ὡς ἐπὶ τὸ πολὺ ἀποθνήσκουσιν. Ξε. ἀν.* 3, 1, 42. — *Πολλοί, τὰ χρήματα καταναλώσαντες, ὧν πρόσθεν ἀπείχοντο κερδῶν, αἰσχρὰ νομίζοντες, τούτων οὐκ ἀπέχονται. Ξε. ἀπ.* 1, 2, 22. — *Πρὸς ὅ, τι τις πέφυκε, πρὸς τοῦτο ἕνα πρὸς ἓν ἕκαστον ἔργον δεῖ κομίζειν. Πλ. πολ.* 423, d. *Οὐκ ἔστιν ὦ παῖ συντομωτέρα ὁδὸς περὶ ὧν ἂν βούλῃ δοκεῖν φρόνιμος εἶναι ἢ τὸ γενέσθαι περὶ τούτων φρόνιμον. Ξε. Κυ.* 1, 6, 22.

A. 1. Wenn dagegen der demonstrative Satz dem relativen vorangeht, so wird die beiden gemeinschaftliche Präposition bei diesem gewöhnlicher nicht wiederholt, wenn er (bei gleichem Kasus) attributartig ist.] Kr. krit. Anal. 1 S. 156 f.] Ἐπὶ τῆς αὐτῆς ἧσπερ νῦν ἐξουσίας μενεῖ. Δη. 19, 342. Ἐγὼ ἐν τῷ χρόνῳ ᾧ ὑμῶν ἀκούω ἀπορούντων τί τὸ δίκαιον, ἐν τούτῳ δικαιοτέρους τοὺς ἀνθρώπους ποιῶ. Ξε. συ. 4, 1. Οὐ περὶ ὀνόματος ἡ ἀμφισβήτησις οἷς τοσούτων πέρι σκέψις ὅσων ἡμῖν πρόκειται. Πλ. πολ. 533, c.

(A. 2. Wenn bei dieser Stellung der Sätze die Assimilation 10 A. 1 stattfindet, so ist das Demonstrativ epanaleptisch zu fassen. vgl. 5 A. 1. Οἷς οὗτος ἀπήγγειλε πρὸς ὑμᾶς, τούτοις τἀναντία ἐποίησεν ἐκεῖνος. Δη. 19, 111. Ὧν ἔργῳ πεποίηκε, τούτων ἐκ λόγου κρίσις γίγνεται. Δη. 20, 87. Πολλάκις ὧν τοῖς λόγοις ἐλύπησαν, τούτων τοῖς ἔργοις τὴν τιμωρίαν ἔδοσαν. Ἰσ. 1, 33. Ἀφ' ὧν προσαιτεῖ καὶ δανείζεται, ἀπὸ τούτων διάγει. Δη. 8, 26. Vgl. z. Th. 3, 64, 1. 7, 48, 4. Bei einem Substantiv Her. 1, 124, 2.)

12. So wird (auch ohne Demonstrativ) das Relativ dem Nomen, auf das es sich beziehen sollte, selbst bei der Assimilation, oft nachgestellt und angefügt, doch gewöhnlich nicht unmittelbar

folgend. *Ἀδικεῖ Σωκράτης, οὓς ἡ πόλις νομίζει θεοὺς οὐ νομίζων.* Ξε. ἀπ. 1, 1, 1. *Ἔστιν ἣν σὺ πρότερον ἔλεγες ἀρετὴν ἀληθής.* Πλ. Γο. 503, c. *Μὴ ἀφέλησθε ὑμῶν αὐτῶν ἣν διὰ παντὸς ἀεὶ τοῦ χρόνου κέκτησθε δόξαν καλήν.* Δη. 20, 142. — *Ἀμαθέστατοί ἐστε ὧν ἐγὼ οἶδα Ἑλλήνων.* Θ. 6, 39, 2. *Οἱ τεχνῖται ἀποκρύπτονταί πως τὰ ἐπικαιριώτατα ἧς ἕκαστος ἔχει τέχνης.* Ξε. οἰκ. 15, 11. *Τούτῳ γίγνονται δύο παῖδες ἐξ ἧς τὸ πρῶτον ἔσχε γυναικός.* Δη. 57, 37. *Τὴν ἐλευθερίαν ἂν ἑλοίμην ἀντὶ ὧν ἔχω πάντων.* Ξε. ἀν. 1, 7, 3. *Ἐπορεύετο σὺν ᾗ εἶχε δυνάμει.* Ξε. Ἑλ. 4, 1, 23. (*Λογίζεται τὸ πλῆθος ὧν ἐγὼ χρημάτων ἔχω.* Δη. 45, 75.)

A. Der Artikel wird in der Regel bei dieser Umstellung (11 u. 12) ausgelassen. Doch findet er sich bei Platon wie an einigen Stellen von Dichtern, öfter auch (deiktisch) hinzugefügt. Ein Sprachgebrauch, der wohl von einem epexegetischen Verhältnisse ausging, wie denn wirklich oft auch ein Substantiv (mit seinem Artikel) dem Relativ entschieden als Epexegem beigefügt ist. Φοβούμεθα δόξαν, ὃν δὴ καὶ καλοῦμεν τὸν φόβον αἰσχύνην. Πλ. νό. 646, e. — Οὐδείς ἐστ' ἀτελὴς ἐκ τῶν παλαιῶν νόμων, οὐδ' οὓς οὗτος ἔγραψε, τοὺς ἀφ' Ἁρμοδίου καὶ Ἀριστογείτονος. Δη. 20, 18.

13. Ohne Bezug auf ein da stehendes Substantiv vertritt ein relativer Satz oft die Stelle desselben, auch als obliquer Kasus, selbst von einer Präposition regiert. Wir ergänzen in solchen Fällen meist ein Demonstrativ oder einen allgemeinen Begriff wie *τὶς, ἄνθρωπος*, welche auch, wenn sie im Kasus von dem Relativ verschieden sind, im Griechischen fehlen können.

A. 1. Relative Sätze als Vertreter des Subjekts-Nominativs. Γαμεῖν ὃς ἐθέλει εἰς μετάνοιαν ἔρχεται. Φιλή. 205 (198). Ὅ τι καλὸν φίλον ἀεί. Εὐ. Βάκ. 881. Ὃν οἱ θεοὶ φιλοῦσιν ἀποθνήσκει νέος. Μέ. 128 (7). Νέος ἀπόλλυθ' ὅντιν' ἂν φιλῇ θεός. Γν. Στ. 120, 13. Οἷς μάλιστα τὰ παρόντα ἀρκεῖ ἥκιστα τῶν ἀλλοτρίων ὀρέγονται. Ξε. συ. 4, 42. Ἐκ τοῦ φιλοπονεῖν γίγνεθ' ὧν θέλεις κρατεῖν. Γν. Στ. 29, 29.

A. 2. Relative Sätze als Accusative. Πιστεύειν χρὴ γυναικὶ μηδὲν ὅστις εὖ φρονεῖ βροτῶν. Εὐ. Σθε. 6 (673). Εὐβούλους νομίζομεν οἵτινες ἂν αὐτοὶ πρὸς αὑτοὺς ἄριστα περὶ τῶν πραγμάτων διαλεχθῶσιν. Ἰσ. 15, 256. Ζηλῶ ἀνδρῶν ὃς ἀκίνδυνον βίον ἐξεπέρασ' ἀγνώς, ἀκλεής. Εὐ. Ἰφ. A. 17. Ὅσοις ἐπιτύχοιεν ξυνελάμβανον. Θ. 8, 14, 1. Ἐπιμελῶς οἱ θεοὶ ὧν οἱ ἄνθρωποι δέονται κατεσκευάκασιν. Ξε. ἀπ. 4, 3, 3. Τίς μισεῖν δύναιτ' ἂν ὑφ' οὗ εἰδείη καλός τε καὶ ἀγαθὸς νομιζόμενος; Ξε. συ. 8, 17. — Ἃ δρῶσιν οἱ κρατοῦντες οὐχ ὁρῶ. Σο. ΟΤ. 530. Ἃν (ἃ ἂν) θεοὶ διδῶσ' ἑκόντες ὠφελούμεθα. Εὐ. Ἴων 380. Ἃ οἱ πλουτοῦντες οὐ κεκτήμεθα τοῖσιν πένησι χρώμενοι θηρώμεθα. Εὐ. Αἴολ. 2 (21), 6.

A. 3. Relative Sätze als Dative. Καλὸν τὸ θνήσκειν οἷς ὕβριν τὸ ζῆν φέρει. Μέ. μο. 291. Προσήκει βοηθεῖν ὑμᾶς οὐχ οἵτινες ἂν δυστυχεστάτους σφᾶς αὐτοὺς ἀποδείξωσιν. Ἰσ. 18, 37. Ταπεινὴ ὑμῶν ἡ διάνοια ἐγκαρτερεῖν ἃ ἔγνωτε. Θ. 2, 61, 2. Οἶδα ξυγγενομένους ἐνίους ὧν ἂν τύχωσιν ἐπιθυμοῦντες. Πλ. Φαίδ. 116, e. Σωκράτης τοὺς λαμβάνοντας τῆς ὁμιλίας μισθὸν ἀνδραποδιστὰς ἑαυτῶν ἀπεκάλει διὰ τὸ ἀναγκαῖον αὐτοῖς εἶναι διαλέγεσθαι παρ' ὧν ἂν λάβοιεν τὸν μισθόν. Ξε. ἀπ. 1, 2, 6.

A. 4. Relative Sätze als Genitive. Ἀμελεῖς ὧν δεῖ σε ἐπιμελεῖσθαι. Πλ. Γο. 485, d. Ὧν ἔργῳ πεῖραν εἰλήφατε τί δεῖ τοῖς λόγοις πιστεύειν;

Δη. 26, 21. Η θίγω δῆθ' οἵ μ' ἔφυσαν; Εὐ. Ἴων 560. Αἱ νῖκαι ἐν τοῖς πολεμικοῖς ἔργοις οὐκ εἰσὶν ὁπότεροι ἂν πλείονα ὄχλον ἀπαριθμήσωσιν. Ξε. Κυ. 5, 2, 35. Ἐπιζητεῖ βασιλεὺς ἥν τις ἀπῇ οἷς παρεῖναι καθήκει. Ξε. Κυ. 8, 1, 20. Ἴσασι τὴν δύναμιν ἐφ' οὓς ἂν ἴωσιν. Ξε. ἀν. 5, 1, 8.

A. 5. Daß der Grieche sich solche Sätze wirklich wie zu einem Begriffe verschmolzen dachte, erhellt daraus, daß er sie selbst durch καί mit Nominen verband. Ἐγὼ καὶ ὧν ἐγὼ κρατῶ μενοῦμεν παρὰ σοί. Ξε. Κυ. 5, 1, 26. Οἵ τε ἀφιστάμενοι καὶ ἀφ' ὧν διακρίνονται ἴσοι εἰσίν. Θ. 3, 9, 2. Ἔχομεν καὶ γῆν πολλὴν καὶ οἵτινες ταύτην ἐργαζόμενοι θρέψουσιν ἡμᾶς. Ξε. Κυ. 7, 5, 72. Ὀρθῶς ἂν τοὺς θρήνους γυναιξὶν ἀποδιδοῖμεν καὶ ὅσοι κακοὶ τῶν ἀνδρῶν. Πλ. πολ. 387, e. Ἡ ῥητορικὴ ἂν εἴη τέχνη ψυχαγωγία διὰ λόγων οὐ μόνον ἐν δικαστηρίοις καὶ ὅσοι ἄλλοι δημόσιοι σύλλογοι, ἀλλὰ καὶ ἐν ἰδίοις ἡ αὐτή. Πλ. Φαῖδ. 261, a. Πέμπουσι ναῦν ἐπί τε ἐκεῖνον καὶ ὧν περὶ ἄλλων ἐμεμήνυτο. Θ. 6, 61, 4.

A. 6. Sogar einer Präposition erlaubte man sich einen relativen Satz anzufügen, in der Regel jedoch nur, wenn das Relativ mit dem zu ergänzenden Demonstrativ in der Form (nicht gerade im Kasus) übereinstimmen würde. Τὸ μανθάνειν ἐστὶ τὸ σοφώτερον γίγνεσθαι περὶ ὃ μανθάνει τις. Πλ. Θε. 145, d. Ἐπὶ ἅ γε θαρροῦσι πάντες ἔρχονται καὶ δειλοὶ καὶ ἀνδρεῖοι, καὶ ταύτῃ γε ἐπὶ τὰ αὐτὰ ἔρχονται οἱ δειλοί τε καὶ οἱ ἀνδρεῖοι. Πλ. Πρω. 359, d. Πολλοὶ ἀναλίσκουσιν οὐκ εἰς ἃ δεῖ μόνον, ἀλλὰ καὶ εἰς ἃ βλάβην φέρει. Ξε. οἰκ. 3, 5. Ἐγγίγνεταί μοι εὔνοια πρὸς οὓς ἂν ὑπολάβω εὐνοϊκῶς ἔχειν πρὸς ἐμέ. Ξε. ἀπ. 2, 6, 34.

A. 7. Aus diesen Regeln, verbunden mit denen über die Assimilation, ergiebt sich, daß die Auflösung eines Relativs, besonders mit einer Präposition, oft ziemlich vieldeutig ist. So z. B. kann περὶ ὧν stehen für eine Form von οὗτοι, αὗται, ταῦτα mit περὶ ὧν nach A. 13 1 ff., für περὶ τούτων ὧν nach A. 6, für περὶ τούτων οὕς, ἅς, ἅ nach A. 10 1, für περὶ τούτων περὶ ὧν nach 11 A. 1. Der Sinn und Sprachgebrauch bestimmen in den meisten Fällen leicht die Wahl der gerade passenden Auflösung. Λογιστῷ περὶ ὧν αἰσθανόμεθα λογιζόμενοί τε καὶ μνημονεύοντες καταμανθάνομεν. Ξε. ἀπ. 4, 3, 11. Τὸ μέγεθος ὑπὲρ ὧν συνεληλύθαμεν τηλικοῦτόν ἐστιν. Ἰσ. 8, 2. — Τεύξῃ μᾶλλον παρ' ὧν ἂν δέῃ μὴ ἄπορος δοκῶν εἶναι. Ξε. Κυ. 1, 6, 10. — Χρὴ τοὺς νοῦν ἔχοντας περὶ μὲν ὧν ἴσασι βουλεύεσθαι, περὶ ὧν δ' ἂν βουλεύωνται μὴ νομίζειν εἰδέναι τὸ συμβησόμενον. Ἰσ. 8, 8. Τί δρῶμεν θάνατος ὧν κεῖται πέρι; Εὐ. Ἴων 756.

A. 8. Insofern relative Adverbia für eine Präposition mit dem erforderlichen Kasus von ὅς stehen, wie ὅθεν für ἐξ οὗ, kann auch vor ihnen ein τοῦτο, ταῦτα oder τὶ (dies auch im örtlichen Sinne) zu ergänzen sein. Ἄσκει ὁπόθεν δόξεις φρονεῖν. Πλ. Γο. 486, c. Οὐδ' ὁπόθεν ἐπιπληρωσόμεθα τὰς ναῦς ἔχομεν, ὃ τοῖς πολεμίοις πολλαχόθεν ὑπάρχει. Θ. 7, 14, 1.

A. 9. Relative Adverbia involvieren nicht bloß die entsprechenden demonstrativen Korrelative, sondern auch ein verschiedenes Verhältnis ausdrückende, namentlich die, welche ein wo und woher bezeichnen, das Dahin, ἐκεῖσε, welches ähnlich auch vor Präpositionen mit einem Relativ fehlen kann. Οἱ δεσπόται τοὺς δούλους κλέπτειν κωλύουσιν ἀποκλείοντες ὅθεν ἄν τι λαβεῖν ᾖ. Ξε. ἀπ. 2, 1, 16. Οἱ Λακεδαιμόνιοι τὸν Παυσανίου τάφον μετήνεγκαν οὗπερ ἀπέθανεν. Θ. 1, 134, 4. Ἄξω ὑμᾶς, ἔνθα τὸ πρᾶγμα ἐγένετο. Ξε. Κυ. 5, 4, 21. Κατατίθησι πάλιν ὅθεν ἂν ἕκαστα λαμβάνῃ. Ξε. οἰκ. 9, 10. Ὅθεν ἀπελίπομεν ἐπανέλθωμεν. Πλ. Φαῖδ. 78, b. Ἐπάνειμι ἔνθεν ἐπὶ ταῦτα ἐξέβην. Ξε. Ἑλ. 6, 5, 1. Προςήλασαν ἐξ ὅσου τις ἔμελλεν ἀκούσεσθαι. Θ. 7, 73, 1.

A. 10. Aus 13 erklärt es sich wie ὅς, gewöhnlicher ὅστις, nach οὕτως, τοσοῦτος (meist mit einer Negation oder in einer Frage) scheinbar für ὥστε eintreten kann. Wie man nämlich z. B. sagte μῶρος ὃς θανεῖν ἐρᾷ, so behielt man diese Fügung auch bei in (οὐδεὶς) τίς οὕτω μῶρος ὃς θανεῖν ἐρᾷ; Σο. Ἀντ. 220. Τίς οὕτως ἐστὶ δυστυχὴς ὅστις πατρίδα ἕνεκα κέρδους

βραχέος προέσθαι βουλήσεται; Δη. 14, 32. Οὐδεμία ἐστὶν οὕτω καλὴ παραίνεσις ἥτις τοὺς μὴ ὄντας ἀγαθοὺς αὐθήμερον ἀκούσαντας ἀγαθοὺς ποιήσει. Ξε. Κυ. 3, 3, 50. (Ἐκφυγὼν ἔχει τοσοῦτον ἄλγος οὔ ποτ' οὐ λελήσεται. Εὐ. Ἀλκ. 197.)

A. 11. In lockerer, nicht eigentlich konstruktionsmäßiger Verbindung wird ein persönliches ὅς, ὅστις auf ein eigenschaftliches Nomen oder einen prädikativen Genitiv (§ 47, 6, 9), auch einen von πρός regierten, bezogen, und also dem εἴ τις synonym gebraucht. Dabei wird (vor dem Relativ) ἐστίν meist ausgelassen. [Dobree z. Th. 4, 18.] Συμφορὰ ὃς ἂν τύχῃ κακῆς γυναικός· εὐτυχεῖ δ' ἐσθλῆς τυχών. Εὐ. δρά. ἀδ. 28 (1042), 2. Σκαιόν τι δῆτα χρῆμα γίγνεσθαι φιλεῖ θεῶν ἀνάγκας ὅστις ἰᾶσθαι θέλει. Εὐ. Δι. 7 (339), 5. — Τὰ τῶν φίλων αἴσχιστον ὅστις καταβαλὼν ἐς ξυμφορὰς αὐτὸς σέσωσται. Εὐ. Ἰφ. Τ. 605. Ἥδιστον ὅτῳ πάρεστι λῆψις ὧν ἐρᾷ καθ' ἡμέραν. Σο. Κρε. 326 (8, 2). (Τὸ εὐτυχὲς οἳ ἂν τῆς εὐπρεπεστάτης λάχωσι τελευτῆς. Θ. 2, 44, 1.) — Τὸ καλῶς ἄρξαι τοῦτ' ἔστιν ὃς ἂν τὴν πατρίδα ὠφελήσῃ ὡς πλεῖστα. Θ. 6, 14. Ἐγὼ τοῦτο ἡγοῦμαι μέγα τεκμήριον ἄρχοντος ἀρετῆς εἶναι ᾧ ἂν ἑκόντες ἕπωνται καὶ ἐν τοῖς δεινοῖς παραμένειν ἐθέλωσιν. Ξε. οἰκ. 4, 19. — Πολλῆς εὐηθείας ὅστις οἴεται τῆς ἀνθρωπείας φύσεως ὁρμωμένης προθύμως τι πρᾶξαι ἀποτροπήν τινα ἔχειν. Θ. 3, 45, 5. [Σωφρόνων ἀνδρῶν οἵτινες τἀγαθὰ ἐς ἀμφίβολον ἀσφαλῶς ἔθεντο. Θ. 4, 18, 2.] Παῖδες σοφοῦ πρὸς ἀνδρὸς ὅστις ἐν βραχεῖ πολλοὺς καλῶς οἷός τε συντέμνειν λόγους. Εὐ. Αἰο. 17 (28). Ἀρ. θε. 177.

(A. 12. In anderer Weise für εἴ τις stehen die Relative, wenn der demonstrative Satz dem relativen nachfolgt, ohne einen Begriff zu bieten, auf den das Relativ sich bezieht. Dieser Begriff schwebt dann bloß vor und es kann ein Demonstrativ in dem erforderlichen Kasus, zuweilen mit einer Präposition, ergänzt werden. Οἱ Ἀθηναῖοι ἃ ἂν ἐπινοήσαντες μὴ ἐπεξέλθωσιν, οἰκείων στέρεσθαι ἡγοῦνται. Θ. 1, 70, 4. Ἃ ἂν αὐτοὶ ἔχωσιν οἱ γονεῖς ἀγαθὰ πρὸς τὸν βίον διδάσκουσιν· ἃ δ' ἂν οἴωνται ἄλλον ἱκανώτερον εἶναι διδάξαι, πέμπουσι πρὸς τοῦτον δαπανῶντες. Ξε. ἀπ. 2, 2, 6. Ὅσα τῶν ἀδικημάτων νόμος τις διώρικε, ῥᾴδιον τούτῳ κανόνι χρωμένους κολάζειν τοὺς παρανομοῦντας. Λυκ. 9. Βασιλεὺς ἐξ ὁπόσων περ ἐθνῶν δασμοὺς λαμβάνει, τέταχε τῷ ἄρχοντι ἑκάστῳ εἰς ὁπόσους δεῖ διδόναι τροφήν. Ξε. οἰκ. 4, 5.

A. 13. So haben auch besonders die substantivierten Neutra ὅ, ὅπερ, ἅ mit ihrem Satze vor einem andern stehend, selten eingeschoben, in diesem oft kein Korrelat, sondern es ist als solches, wenn man die Rede vervollständigen will, ein entsprechender Satz zu denken, z. B. τοῦτ' ἔστιν, τοῦθ' οὕτως ἔχει. [Th. 6, 20, 3 vgl. 3, 59, 3.] Darauf kann auch ein Satz mit ὅτι oder γάρ folgen. Wir können diese Verkürzung zum Teil nachmachen, zum Teil durch eine etwas abweichende Übersetzung erreichen: ὃ λέγω, ὅπερ εἶπον wie gesagt, ὃ δὲ λέγεις wenn du aber sagst, quod dicis. [z. Xe. An. 5, 5, 20.] Ὃ πάντων θαυμαστότατον, Σωκράτη μεθύοντα οὐδεὶς πώποτε ἑωράκει ἀνθρώπων. Πλ. συ. 220, a. Ὅπερ ἐστὶ νόμοις καὶ τῷ σωφρονεστάτῳ ἐναντιώτατον, ἐγγυτάτω δὲ τυράννῳ, δυναστεία ὀλίγων ἀνδρῶν εἶχε τὰ πράγματα. Θ. 3, 62, 2. (Ὃ δὲ πάντων δεινότατον, ὅταν τις ἴδῃ τοὺς τὴν ἡγεμονίαν ἔχειν ἀξιοῦντας ἐπὶ τοὺς Ἕλληνας στρατευομένους. Ἰσ. 4, 128.) [Ὃ δὲ πάντων σχετλιώτατον, εἰ φιλοπονώτατοι δοκοῦντες εἶναι ῥαθυμότερον τῶν ἄλλων βουλευσόμεθα. Ἰσ. 6, 56.] Ὃ μὲν πάντων θαυμαστότατον ἀκοῦσαι, ὅτι ἓν ἕκαστον ὧν ἐπῃνέσαμεν τῆς φύσεως ἀποσπᾷ φιλοσοφίας. Πλ. πολ. 491, b. Ὃ δὲ πάντων δεινότατον· τὴν γὰρ πόλιν οὐχ οἷός τ' ἐγένετο χειρώσασθαι, Ἰσ. 9, 64.

Ὃ πλείστου ἐγὼ τιμῶμαι, Σωκράτει σχολάζω συνδιημερεύειν. Ξε. συ. 4, 44. — Ὃ λέγω, τρυφᾷς ὑπὸ πλούτου τῆς σοφίας. Πλ. Εὐθύφ. 12, a. Ὃ ἄρτι ἔλεγον, ζητητέον τίνες ἄριστοι φύλακες. Πλ. πολ. 413, c. Ὅπερ καὶ ἀρχόμενος εἶπον τοῦ λόγου, παρρησιασόμεθα πρὸς ὑμᾶς. Πλ. Λάχ. 179, c. Οἱ θεοί, ὅπερ εἶπον, οὕτως ἡμῖν παρέδοσαν διδάσκειν ἀλλήλους. Πλ. Φιλ.

16, e. Οὗ ἕνεκα ὁ λόγος ὡρμήθη, νῦν λέξομεν τὰς Κύρου πράξεις. Ξε. Κυ. 1, 2, 16. Πρῶτον, περὶ οὗ νῦν ὁ λόγος ἐστί, σὺ ἡγεῖ οἷόν τε εἶναι μακάριον ἄνδρα ἀδικοῦντά τε καὶ ἄδικον ὄντα. Πλ. Γο. 472, d. Ὃ δὲ λέγεις, βίᾳ παρελθόντας σκηνοῦν, ἡμεῖς οὐδὲν βίαιον ἐποιήσαμεν. Ξε. ἀν. 5, 5, 20.

(A. 14. Auf einen im Vorhergehenden bloß **enthaltenen** Begriff bezieht sich am leichtesten das Maskulinum des Relativs, wie im ersten Beispiel § 60, 6, 2. Τί δεῖ μακρηγορεῖν, ὧν τοὺς μὲν δεδουλωμένους ὁρᾶτε, τοῖς δ' ἐπιβουλεύοντας αὐτούς; Θ. 1, 68, 3. Ἀθυμίαν πλείστην ὁ χρόνος παρεῖχεν, οὓς ᾤοντο ἡμερῶν ὀλίγων ἐκπολιορκήσειν. Θ. 4, 26, 3. Vgl. z. 1, 140, 6.)

A. 15. **Adverbial** geworden sind die durch ein zu ergänzendes εἰσίν, ἦσαν zu erklärenden Formeln ὅσαι ἡμέραι (auch ὁσημέραι) **täglich**, ὅσοι μῆνες **monatlich**, ὅσα ἔτη **jährlich**. Τὴν ἐλευθερίαν ὅσαι ἡμέραι προςδέχονται. Θ. 8, 64, 3. Ὅστις ἥδεται ἐσθίων ὁσημέραι, δεῖ καὶ ποιεῖν τῶν σιτίων ἐπάξιόν τι. Ἄλεξις 291 (289). Οἱ ῥήτορες ὅσοι μῆνες μικροῦ δέουσι νομοθετεῖν τὰ αὑτοῖς συμφέροντα. Δη. 24, 142. Ἀνῆλθες ἤδη δεῦρο πρότερον; Νὴ Δία, ὁσέτη γε. Ἀρ. θε. 623.

(A. 16. Ohne Ergänzung verband der Grieche nach der Analogie von τοιοῦτος οἷος Relative mit ἴσος, ὅμοιος, παραπλήσιος, und sagte z. B. wie ὅμοιος οἷος selbst ὅμοιος ὅσπερ, wie auch τοιοῦτος ὅς, ὅσπερ, ὥσπερ. [Pari numero equitum quem relinquebat naves solvit. Caes. b. g. 5, 8.] Ἀνίσοις ἴσα προςτιθέμενα ἴσῳ ποιεῖ διαφέρειν ἀεὶ ὅσῳπερ ἂν τὸ πρῶτον διενέγκῃ. Πλ. Παρ. 154, b. Ἴσον ἂν εἴη πεῖσαι ὅπερ ἂν τὸ λεγόμενον λίθον ἑψῆσαι. [Πλ. Ἐρυξ. 405, b.] Ὑφ' ὁμοίου ἄρχεται [erg. ὑπὸ] οἵου ὁ βέλτιστος. Πλ. πολ. 590, c. Οἱ Μοσσύνοικοι μόνοι ὄντες ὅμοια ἔπραττον ἅπερ ἂν μετ' ἄλλων ὄντες. Ξε. ἀν. 5, 4, 34. Λακεδαιμόνιοι παραπλησίαις ἀτυχίαις ἐχρήσαντο καὶ συμφοραῖς αἷςπερ ἡμεῖς. Ἰσ. 12, 57. Ὁμοίως διεφθάρησαν ὥσπερ ἂν εἰ πρὸς ἅπαντας ἐπολέμησαν. Ἰσ. 4, 69. Vgl. Πλ. Γο. 485, b. (Ἁρμονία γέ σοι οὐ τοιοῦτόν ἐστιν ᾧ ἀπεικάζεις. Πλ. Φαίδ. 92, b. Τοιοῦτός ἐστιν οἷςπερ ἥδεται ξυνών. Εὐ. Φοῖ. 4 (809), 9.) [Ἦν ἐν ὁμοίῳ πολέμῳ δι' ὃν τότε τῆς εἰρήνης ἐπεθύμησεν. Δη. 6, 36.]

A. 17. Οἷος und ὅσος substantiviert oder mit einem zugefügten Substantiv schließen sich auch Sätzen an, die eine Thatsache enthalten, wenn dieselben die Idee der Überlegung (ein λογιζόμενος) einschließen; eben so ὡς. Ἐχρῆν μὲν ἡμᾶς σύλλογον ποιουμένους τὸν φύντα θρηνεῖν εἰς ὅσ' ἔρχεται κακά. Εὐ. Κρεσ. 13 (452). Ἀπέκλαον τὴν ἐμαυτοῦ τύχην οἵου ἀνδρὸς ἑταίρου ἐστερημένος εἴην. Πλ. Φαίδ. 117, c. Κατέκαυσε τὰς κώμας, ὅπως φόβον ἐνθείη καὶ τοῖς ἄλλοις οἷα πείσονται. Ξε. ἀν. 7, 4, 1. — Εὐδαίμων μοι ἀνὴρ ἐφαίνετο ὡς ἀδεῶς καὶ γενναίως ἐτελεύτα. Πλ. Φαίδ. 58, e.

14. Wie mehrere Demonstrative, so können auch mehrere **Relative in Einem Satze** ohne Kopula mit einander verbunden werden.

A. 1. So besonders οἷος, ὅσος, (ἡλίκος) und ὡς (auch exclamativ) z. B. wie τοιοῦτος τοιοῦτον, so auch οἷος οἷον. Γνώσεται ὁ δῆμος οἷος οἷον θρέμμα ηὔξεν. Πλ. πολ. 569, b. Ὅσοι ὅσους περὶ ὅσων ἔπεισαν ψευδῆ λόγον πλάσαντες. Γοργ. Ἑλ. 95. — Τίς οὐκ οἶδεν ἐξ οἵων συμφορῶν εἰς ὅσην εὐδαιμονίαν Ἀθηναῖοι κατέστησαν; Ἰσ. 6, 42. Δίδασκε οἵα οὖσα ψυχὴ ὑφ' οἵων λόγων δι' ἣν αἰτίαν ἐξ ἀνάγκης πείθεται. Πλ. Φαῖδ. 271, b. — Ἐνθυμεῖσθε ὅθεν οἷ διέβη, ἐξ Ἀβύδου εἰς Σηστόν. Δη. 23, 160.

A. 2. Das eine Relativ kann sich auch einem Particip, das andere dem Verbum finitum anschließen. Ἐκλογισάμενος ὅςτις ὢν πρὸς οὕςτινας ἐπολέμει εὖ ἐβουλεύσατο. Αἰ. 1, 64. Οὐκ ἀγνοῶ ἡλίκος ὢν ὅσον ἔργον ἐνίσταμαι τὸ μέγεθος. Ἰσ. 12, 36. Μέμνησθε ὡς εὖ παθόντες οἵαν χάριν ἀπέδοσαν. Πλ. Μενέξ. 244, b. Ἐνθυμητέον ἡλίκην πότ' ἐχόντων

δύναμιν Λακεδαιμονίων ὡς καλῶς καὶ προσηκόντως οὐδὲν ἀνάξιον ὑμεῖς ἐπράξατε τῆς πόλεως. Δη. 4, 3.

[A. 3. Verschieden sind die Stellen, an denen ὡς mit einem Adjektiv oder Adverbium einem Relativ und seinem Nomen epexegetisch beigefügt wird. Συνίεθ' ὃν τρόπον ὁ Σόλων τοὺς νόμους ὡς καλῶς κελεύει τιθέναι. Δη. 20, 93. Ἴστε οἵων νόμων ὑμῖν κειμένων ὡς καλῶν καὶ σωφρόνων τετόλμηκε Τίμαρχος δημηγορεῖν. Αἰ. 1, 20.

15. Einige Relative werden durch die hinzutretenden Partikeln *δή* und *οὖν* in ihrem Begriffe modificiert und erhalten eine Art adjektivischer Bedeutung.

A. 1. Zunächst gebrauchte man ὅστις ꝛc. zuerst elliptisch mit Ergänzung der erforderlichen Form des Hauptsatzes. Diese Ergänzung aber erlosch und so erhielt z. B. ὅστις (δή) wer (eben), ich weiß nicht wer adjektivische Bedeutung, völlig wie τὶς einem Substantiv angefügt oder auch selbst substantiviert, sogar als Subjekt eines absoluten Genitivs, wie dies auch bei εἴ τις vorkommt. [Ὡς κενταυρικῶς ἐνήλαθ' ὅστις. Ἀρ. βά. 39.] Ῥήγνυται ὁποία δὴ φλέψ. Ξε. Ἑλ. 5, 4, 58. Τί ποτε ὂν τὸ ὅσιον εἴτε φιλεῖται ὑπὸ θεῶν εἴτε ὅ, τι δὴ πάσχει; Πλ. Εὐθύφ. 11, a. Ἐς τὴν Ἄσπενδον ἥτινι δὴ γνώμῃ ἀφικνεῖται. Θ. 8, 87, 5. Τὸ ζῆν ὁπόσον δὴ χρόνον τόν γε ὡς ἀληθῶς ἄνδρα ἐατέον ἐστίν. Πλ. Γο. 512, e. Ἐξαπίνης ἀνέλαμψεν οἰκία ὅτου δὴ ἐνάψαντος. Ξε. ἀν. 5, 2, 24. (Τοῦ Γυλίππου καὶ εἴ του ἄλλου πειθόντων ὥρμηντο εἰς τὴν ναυμαχίαν. Θ. 7, 21, 5.) [Über ὅσος δή bei Her. z. 1, 157.]

A. 2. Eben so sagte man ὁστισοῦν wer immer, jeder Beliebige, ὁποιοσοῦν, ὁποσοσοῦν, ὁποτεροσοῦν, ὁποστοσοῦν. Κρίνει ἄμεινον ὄχλος πολλὰ ἢ εἷς ὁστισοῦν. Ἀρλ. πολ. 3, 10, 5. Οὐ δοκεῖ σοι κακὸς εἶναι ἐπιμελητὴς ὁστισοῦν ὁτουοῦν ζῴου ὃς ἂν παραλαβὼν ἡμερώτερα ἀποδείξῃ ἀγριώτερα ἢ παρέλαβεν; Πλ. Γο. 516, a. Τί περὶ αἰσθήσεως ἐροῦμεν ὁποιασοῦν οἷον τῆς τοῦ ὁρᾶν ἢ ἀκούειν; Πλ. Θε. 182, d. Οἱ τύραννοι κἂν ὁποσονοῦν χρόνον ἄρχοντες διαγένωνται, θαυμάζονται. Ξε. Κυ. 1, 1, 1. Οὐδαμοῦ σὺ φανήσει γεγονώς, οὐ πρῶτος, οὐ δεύτερος, οὐχ ὁποστοσοῦν. Δη. 18, 310. Ἂν ἀδικῶσιν ὑμῶν ὁποτεροιοῦν, σὺν τοῖς ἀδικουμένοις ἡμεῖς ἐσόμεθα. Ξε. Κυ. 3, 2, 22. [Πολεμοῦνται ἀσαφῶς ὁποτέρων ἀρξάντων. Θ. 4, 20, 3. S. A. 1.]

A. 3. Zur Verstärkung kann vor ὁστισοῦν ꝛc. noch καί vel, auch nur eintreten, welches mit οὐ und μή in οὐδέ und μηδέ verschmilzt. So auch καὶ ὁπωςοῦν oder ὁπωςτιοῦν (vgl. 16 A. 5), οὐδ' ὁπωσοῦν. [z. Th. 1, 77, 2.] Πῶς οὐκ αἰσχρὸν ὑμῖν καὶ ἡντινοῦν δίκην ἀπολιπεῖν; Λυ. 12, 84. Ἄνευ εὐνοίας τί ὄφελος καὶ ὁποιαστινοσοῦν ἐπιτρόπου ἐπιστήμης γίγνεται; Ξε. οἰκ. 12, 5. Εἰ καὶ ὁποσονοῦν μᾶλλον ἐνδώσουσι, διαφθαρήσονται. Θ. 4, 37. Ἐπάκουε, εἰ νοῦν καὶ ὁπωςοῦν ἔχεις. Πλ. νό. 905, d. — Κόνων παρ' ὑμῶν οὐδ' ἡντινοῦν ἀφορμὴν λαβὼν κατεναυμάχησε Λακεδαιμονίους. Δη. 20, 68. Οἱ νικήσαντες τὰ πράγματα οὕτως ἐσφετερίσαντο σφόδρα, ὥστε ἀρχῆς μηδ' ὁτιοῦν μεταδιδόναι τοῖς ἡττηθεῖσιν. Πλ. νό. 715, a. Τοὺς ἰατροὺς σὺ ἀνδρείους καλεῖς; Οὐδ' ὁπωςτιοῦν. Πλ. Λάχ. 195, b.

A. 4. Δή und οὖν verbinden sich in derselben Bedeutung auch mit relativen Adverbien. Dem δή wird bei diesen wie bei den Adjektiven oft noch ποτέ und selbst ποτ' οὖν beigefügt. Θρασύμαχος διαβάλλειν τε καὶ διαλύσασθαι διαβολὰς ὅθεν δὴ κράτιστος γέγονεν. Πλ. Φαῖδ. 267, d. — Ἔνιοι τὰ μὲν φιλοφιλονεικίᾳ, τὰ δ' ἥτινι δὴ ποτ' αἰτίᾳ προάγονται λέγειν. Δη. 8, 1. Τοῦτο πέπρακται νυνὶ ὅπως δή ποτε. Δη. 3, 7. — Ἐμισθώσατό με ὅστις δή ποτ' οὖν. Αἰ. 1, 164.

IV. Τὶς und die interrogativen Pronomina.

16. *Τὶς* setzt einen Gegenstand von unbestimmter Qualität. [Über die Stellung *τίς τι* z. Xe. An. 4, 1, 14.]

A. 1. Mit Substantiven verbunden bezeichnet τὶς einen irgendwie geeigenschafteten Gegenstand der Art. Ἡ στρογγυλότης σχῆμά τί ἐστιν, οὐχ οὕτως ἁπλῶς σχῆμα. Πλ. Μέν. 73, e.

A. 2. Daher bezeichnet es auch, daß der gemeinte Gegenstand dem Worte ungefähr entspreche: eine Art von. So findet es sich auch bei Adjektiven. Ἀρετή, ὡς ἔοικεν, ὑγίειά τέ τις ἂν εἴη καὶ κάλλος καὶ εὐεξία ψυχῆς. Πλ. πολ. 444, d. Ὁ σοφιστὴς πέφανται ἔμπορός τις περὶ τὰ τῆς ψυχῆς μαθήματα. Πλ. σοφ. 231, d. — Ἐγὼ φιλέταιρός τίς εἰμι. Πλ. Λυ. 211, e. Ἐγώ τις, ὡς ἔοικε, δυσμαθής. Πλ. πολ. 358, a. Ἀνδρειότεροί τινες ὑπὸ σοῦ λέγονται οἱ κρείττους καὶ οἱ βέλτιστοι. Πλ. Γο. 491, c.

A. 3. In diesem Sinne verbindet es sich auch mit Adjektiven der Qualität und Quantität, zum Teil durch unser ungefähr übersetzbar. Αἱ παιδεῖαι ποιούς τινας ποιοῦσι τοὺς νέους. Ἀρλ. οἰκ. 5. Ποίου τινὸς γένους ἐστὶν ὁ Σπιθραδάτης; Ξε. Ἑλ. 4, 1, 6. Ὁποίους τινὰς ἂν φαίνησθε ἀγαπῶντες, τούτοις ὅμοιοι δόξετ᾽ εἶναι. Δη. 22, 64. Ἔστιν αὕτη ἡ αἰώρα διὰ φύσιν τοιάνδε τινά. Πλ. Φαίδ. 111, e. Τοιαῦτ᾽ ἄττα διελέχθησαν. Πλ. συ. 174, d. Πόσον τι πλῆθος συμμάχων πάρεστ᾽ ἔχων; Εὐ. Ἡρακλ. 668. Πηλίκον τί ποτ᾽ ἂν στενάξειαν οἱ ἄνδρες ἐκεῖνοι; Δη. 23, 210. Τῷ γε μὴ μέλλοντι ἀδικεῖν οὐ μεγάλη τίς μοι δοκεῖ ἡ χρεία τῆς ῥητορικῆς εἶναι. Πλ. Γο. 481, b. vgl. Dial. 51, 14, 1.

A. 4. Verschieden steht τὶς bei (οὐ) πολύς, ὀλίγος u. ä., wie unser einige, und selbst bei Kardinalzahlen, dies, insofern Ungewißheit über die genaue Richtigkeit der Zahl zu bezeichnen ist, wie bei Zehnern von 20 bis 90 auch wir einige gebrauchen. Σικελίας περίπλους ἐστὶν ὁλκάδι οὐ πολλῷ τινι ἔλασσον ἢ ὀκτὼ ἡμερῶν. Θ. 6, 1. Ὑπεξῆλθον οὐ πολλοί τινες. Θ. 6, 51, 2. Εἰχόν τινας οὐ πολλοὺς πελταστάς. Θ. 2, 79, 3. Ὁ Δᾶτις τοὺς Ἐρετριέας ἔν τινι βραχεῖ χρόνῳ εἷλεν. Πλ. νό. 698, c. Σωμασκοῦσι μάλα ὀλίγοι τινὲς ἐν ἑκάστῃ πόλει. Ξε. Ἑλ. 6, 1, 5. Ἔνιαί τινες τῶν πόλεων μόνιμοί εἰσιν. Πλ. πολιτ. 302, a. Προμηθείας πάνυ τισὶν ὀλίγοις οἶμαι μετεῖναι. Πλ. Λαχ. 197, b. Προσεγένοντό τινες δύο νῆες. Θ. 8, 100, 5. Τριάκοντά τινας ἀπέκτειναν. Θ. 8, 73, 5. (Ἐς διακοσίους τινὰς αὐτῶν ἀπέκτεινεν. Θ. 3, 111, 3. Vgl. Reg. z. Th. u. τὶς.)

(A. 5. In derselben Bedeutung erscheint τὶ bei Adverbien (selbst adverbartig), besonders bei σχεδόν, πάνυ. [z. Th. 3, 68, 3 u. z. Xe. An. 5, 9, 26.] Σχεδόν τι ἔγωγε αὐτὸ τοῦτό φημι εἶναι σωφροσύνην, τὸ γιγνώσκειν αὐτὸν ἑαυτόν. Πλ. Χαρ. 164, d. Ἔφυγον οὐδέν τι πάνυ διωκόμενοι. Ξε. Ἑλ. 5, 4, 45. Δοκεῖ γέ που τοῖς πολλοῖς ἀνθρώποις ἐγγύς τι τείνειν τοῦ τεθνάναι ὁ μηδὲν φροντίζων τῶν ἡδονῶν αἳ διὰ τοῦ σώματός εἰσιν. Πλ. Φαίδ. 65, a.)

A. 6. Über ein scheinbares Fehlen des τὶ § 43, 4, 10.

A. 7. Substantiviert entspricht τὶς im Singular meist unserm jemand und man. Ὅπου τις ἀλγεῖ, κεῖσε καὶ τὸν νοῦν ἔχει. Στοβ. 99, 25. Δοκεῖ σοι δίκαιον εἶναι περὶ ὧν τις μὴ οἶδε λέγειν ὡς εἰδότα; Πλ. πολ. 506, c. Ἴτω τις ἐφ᾽ ὕδωρ, ξύλα τις σχισάτω. Ξε. Κυ. 5, 3, 49. [Über den Plu. z. Th. 3, 36, 4.]

A. 8. So bezieht sich τὶς auch auf bestimmt vorschwebende (erwähnte oder anwesende) Personen, die man eben nicht genauer bezeichnen mag; sogar für die erste Person eintretend. Τοῦτ᾽ εἰς ἀνίαν τοὔπος ἔρχεταί τινι. Σο. Αἰ. 1138. Ὥρα βουλεύεσθαι πῶς τις τοὺς ἄνδρας ἀπελᾷ. Ξε. ἀν. 3, 4, 40. Ποῖ τις φύγῃ; Ἀρ. πλ. 438. Ποῖ τις ἂν τράποιτο; Ἀρ. πλ. 374.

A. 9. Über τινά man als Subjekt des Infinitivs § 55, 3, 1.

A. 10. Auf mehrere unbestimmte Personen bezogen kann τὶς unserm mancher und selbst dem jeder entsprechen. Τῶν ἐν τῇ ὀλι-

γαρχία ἀποθανόντων ἴσως τις ἦν πονηρός. Λυ. 30, 13. Χρὴ δειπνεῖν ὅ, τι τις ἔχει. Ξε. ἀν. 2, 2, 4. Εἴπομεν τοὺς προσήκοντας ξυμμάχους αὐτόν τινα κολάζειν. Θ. 1, 40, 4. [Über τὶ αὐτῶν z. Th. 6, 40, 2.]

A. 11. Πᾶς τις, ἕκαστός τις heißt jeder beliebige, indem τὶς, wie auch in εἷς τις, auf eine unbestimmte Qualität hindeutet. Πένητα φεύγει πᾶς τις ἐκποδὼν φίλος. Εὐ. Μήδ. 561. Οὕτω χρὴ ποιεῖν ὅπως ἕκαστός τις ἑαυτῷ ξυνείσεται τῆς νίκης αἰτιώτατος ὤν. Ξε. Ἑλ. 2, 4, 17. Τὸν νόμον ἄρχειν αἱρετώτερον μᾶλλον ἢ τῶν πολιτῶν ἕνα τινά. Ἀρλ. πολ. 3, 11, 3. Über αὐτός τις z. Th. 6, 77, 2; οὐδέν τι § 48, 15, 11.]

A. 12. Als Prädikat bezeichnet τὶς eine Person von Bedeutung.Ηὔχεις τις εἶναι, τοῖσι χρήμασι σθένων. Εὐ. Ἠλ. 939. [Φρονοῦσι δήμου μεῖζον, ὄντες οὐδένες. Εὐ. Ἀνδρ. 700.]

A. 13. Ähnlich hat τὶ eine prägnante Bedeutung in λέγειν τι etwas Erhebliches sagen, mit dem Gegensatze οὐδὲν λέγειν etwas Richtiges, Unhaltbares sagen (syn. οὐδὲν ὑγιὲς λέγειν Ar. Thesm. 634. 636. Pl. 274). Τῆς ἐμῆς γνώμης ἄκουσον, ἤν τί σοι δοκῶ λέγειν. Εὐ. Ἡρ. μ. 279. Λέγουσι μέν τι, οὐ μέντοι γε ὅσον οἴονται. Πλ. πολ. 329, e. Λέγεις τι, οὐ μέντοι ἀληθές γε. Πλ. Λάχ. 195, c. Οὐδὲν λέγειν οἶμαί σε. Ἀρ. ὄρ. 986. Ὃς ἂν μηδὲν δοκῇ ὑμῖν λέγειν, μὴ προσέχετε αὐτῷ τὸν νοῦν. Ξε. Κυ. 8, 3, 20.

A. 14. Der Plural τινές bezeichnet an sich nicht, wie unser einige, eine geringe Anzahl, sondern (irgend) welche, das veraltete etwelche. Ἆρ' οὐκ εἴων οἱ ἄρχοντες παρεῖναι, ἀλλ' ἔρημος ἐτελεύτα φίλων; Οὐδαμῶς, ἀλλὰ παρῆσάν τινες καὶ πολλοί γε. Πλ. Φαίδ. 58, c. d. Ὁ πείθειν τινὰς βουλόμενος οὐκ ἀμελήσει τῆς ἀρετῆς. Ἰσ. 15, 278. Διαβολὰς οὐ σῶφρον οὔτε λέγειν τινὰς ἐς ἀλλήλους οὔτε τοὺς ἀκούοντας ἀποδέχεσθαι. Θ. 6, 41, 1.

17. Von den interrogativen Pronominen sind direkte *τίς. πότερος. ποῖος. πόσος*: indirekte *ὅστις. ὁπότερος. ὁποῖος. ὁπόσος*: jene in einem freistehenden Satze gebraucht, diese einem einleitenden Satze angefügt. vgl. § 25, 10.

A. 1. Den Adjektiven schließen sich eine Anzahl von Adverbien an: ποῦ, ὅπου; πῇ, ὅπῃ; ποῖ, ὅποι; πόθεν, ὁπόθεν; πότε, ὁπότε; πῶς, ὅπως.

A. 2. Die direkten Fragewörter können auch nach einem einleitenden Satze eintreten, nicht bloß, wo sie, diesem nicht eigentlich angefügt, mit ihrem Satze als selbständige Frage fortbestehen, sondern auch bei wirklicher Anfügung, z. B. wo (nach einem historischen Tempus) statt des Indikativs der direkten Frage der Optativ eintritt. Μὴ λέγε τίς ἦσθα πρότερον ἀλλὰ νῦν τίς εἶ. Φιλή. 183 (6). Θεὸν μὲν ποῖον εἰπέ μοι νοητέον; τὸν πάνθ' ὁρῶντα κἀυτὸν οὐχ ὁρώμενον. [Φιλή. 2 (247).] Ἀνηρώτα τί βούλοιντο. Ξε. ἀν. 2, 3, 4. Vgl. § 65, 1 und Elmsley z. Eu. Med. 1103, i.

A. 3. Nicht umgekehrt können die indirekten Fragewörter (noch auch die einfachen Relative) in einer direkten Frage eintreten. Nur scheinbar findet dies statt, wenn der Gefragte die Worte des Fragenden wiederholt, wobei regelmäßig für das τίς ꝛc., ποῦ ꝛc. des ersteren ὅστις ꝛc., ὅπου ꝛc. gesetzt wird, weil hierbei eigentlich gedacht wird ἐρωτᾷς ὅστις —; Σὺ εἶ τίς ἀνδρῶν; Ὅστις εἰμ'; ἐγὼ Μέτων. Ἀρ. ὄρ. 997. Πῶς ἂν ταῦτα ξυγχωροῖμεν; Ὅπως; εἰ θεός ἡμῖν δοίη τις συμφωνίαν. Πλ. νό. 662, a. vgl. Elmsley z. Eu. Med. 1103, i. (Einiges Andere bei Buttmann z. Plat. Men. 6?)

A. 4. Direkte Fragepronomina und Frageadverbia sind überall anwendbar, wo in affirmativer Rede das indefinite τὶς oder entsprechende Demonstrative stehen könnten. So stehen sie zunächst bei einzelnen Begriffen, Partizipien, Substantiven, Adjektiven oder Adverbien; und zwar eingeschoben, wenn das Nomen den Artikel hat. [Kr. krit. Anal.

1 S. 157 f.] Ἧκον ἐρησόμενοι τί ἂν ποιοῦντες εἰρήνης τύχοιεν. Ξε. Ἑλ. 4, 5, 6. Μέλλεις τελεῖν Ἱπποκράτει μισθὸν ὡς τίνι ὄντι; Ὡς ἰατρῷ. Πλ. Πρω. 311, c. Λογίσασθε τί ποιούντων ἡμῶν ὁ χρόνος ἅπας διελήλυθεν οὗτος. Δη. 2, 25. Ἐπὶ τί φῂς ἴτας εἶναι τοὺς θαρραλέους; ἆρ' ἐπὶ τὰ δεινὰ ἢ ἐπὶ τὰ μή; Πλ. Πρω. 359, c. — Τίνος (ἐπιστήμων) ἐπιστημόνως λέγεις; Πλ. Χαρμ. 173, d. — Καταμεμάθηκας τοὺς τί ποιοῦντας ἀχαρίστους ἀποκαλοῦσιν; Ξε. ἀπ. 2, 2, 1. Τοὺς πῶς διακειμένους λάβοιεν ἂν μαθητάς; Ἰσ. 15, 222. Τῶν τίνα τρόπον διωκόντων αὐτὸ καὶ ἐν τίνι πράξει ἡ σπουδὴ καὶ ἡ σύντασις ἔρως ἂν καλοῖτο; Πλ. συ. 206, b. — Ὁ σοφιστὴς τῶν τί σοφῶν ἐστίν; Πλ. Πρω. 312, d. — Τῷ τίνος ἔργῳ ὁ ὑφάντης καλῶς χρήσεται; Τῷ τοῦ τέκτονος. Πλ. Κρατ. 388, c. Ἐρώτησον τούτους τὴν ποτέρου τύχην ἂν ἕλοιθ' ἕκαστος αὐτῶν; Δη. 18, 265. — Τῆς περὶ τί πειθοῦς ἡ ῥητορική ἐστι τέχνη; Πλ. Γο. 454, a. Τὸν ἐκ ποίας πόλεως στρατηγὸν προσδοκῶ ταῦτα πράξειν; Ξε. ἀν. 3, 1, 14. Ἡ διὰ τίνος δύναμις τὸ ἐπὶ πᾶσι κοινὸν δηλοῖ σοι; Πλ. Θε. 185, c.

(A. 5. Ein solches Fragewort kann auch bloß einem Particip sich anschließen, das als No. oder absoluter Ge. einem Verbum finitum eines nicht interrogativen Satzes angefügt oder auch mit einem affirmativen Particip verbunden ist; eben so als exclamative Frage. Ἀγανακτῶ εἰ διὰ δούλην ἄνθρωπον εἰς κίνδυνον καθέστηκα, τί κακὸν πώποτε τὴν πόλιν εἰργασμένος ἢ εἰς τίνα τῶν πολιτῶν ὁτιοῦν ἐξαμαρτών; Λυ. 4, 19. Ἀπειλῶν οὐκ ἐπαύετο καὶ κακὸν οὐ παρέχων; Δη. 25, 49. 50. Ἐγέγραπτο ὅποι ἀνηλώθη καὶ ὅ, τι ποιούντων. Δη. 50, 30. — Ὑβριζομένων καὶ τί κακὸν οὐχὶ πασχόντων πᾶσα ἡ οἰκουμένη μεστὴ γέγονε προδοτῶν. Δη. 18, 48.)

A. 6. Wie der einzelne Begriff, so kann daneben auch das Verbum finitum ein Frage-Pronomen oder Adverbium bei sich haben. Τίνα σε χρὴ καλεῖν ὡς τίνος ἐπιστήμονα τέχνης; Τῆς ῥητορικῆς. Πλ. Γο. 449, a. Σκοπεῖτε τί πιστεύσαντες τί ἔπαθον. Δη. 19, 63. Πρόοιδεν ἕκαστος πότε καὶ παρὰ τοῦ λαβόντα καὶ τί δεῖ ποιεῖν. Δη. 4, 36.

A. 7. Wie bei Participien, so erscheinen die Frage-Pronomina und Adverbia auch bei Infinitiven und selbst in abhängigen Sätzen, finalen, hypothetischen, relativen, temporalen. [Kr. Ann. ad Dem. 4, 10 p. 23 s.] (Ὄμνυ. Ἦ μὴν τί δράσειν; καὶ τόδ' ἐξειρήσεται. Σο. Τρ. 1186. Γυναιξί φασι παραδεδόσθαι τὴν πόλιν. Τί δρᾶν; ὑφαίνειν; Οὐ μὰ Δί' ἀλλ' ἄρχειν. Ἀρ. ἐκ. 556. — Βοηθούντων ἡμῶν εἰς Ἄργος οὐχ ἕτοιμον μάχεσθαι Λακεδαιμονίοις; ἵνα ἡμῖν τί γένηται; Ἀνδ. 3, 26. Εἰ ποῖόν τί ἐστι τῶν περὶ τὴν ψυχὴν ὄντων ἀρετή, διδακτὸν ἂν εἴη ἢ οὐ διδακτόν; Πλ. Μένων 87, b. Ὧι ἂν τί ἐν τῷ σώματι ἐγγένηται, θερμὸν ἔσται; Πλ. Φαίδ. 105, b. Γίγνεται πάντων γένεσις ἡνίκ' ἂν τί πάθος ᾖ; Πλ. νό. 894, a. Ὅταν τί δέῃ ἀργυρίῳ ἢ χρυσίῳ κοινῇ χρῆσθαι, ὁ δίκαιος χρησιμώτερος τῶν ἄλλων; Ὅταν παρακατατίθεσθαι καὶ σῶν εἶναι (δέῃ). Πλ. πολ. 333, c. Θανεῖν αὐτὸν οὔ τί πω θέλω. Πρὶν ἂν τί δράσῃς ἢ τί κερδάνῃς πλέον; Σο. Αἴ. 106.

(A. 8. Ἵνα τί (poet. auch ὡς τί) findet sich so elliptisch, erg. γένηται oder γένοιτο: zu welchem Zwecke? Ähnlich ὅτι τί erg. ἐστίν aus welchem Grunde? [Vgl. Lobeck z. So. Ai. 77.] Τοιαῦτ' ἠπείλει. Ἵνα τί; ἵν' ἐγὼ κατηγορῶ. Δη. 19, 257. Ἵνα τί βούλεται εὐδαίμων εἶναι ὁ βουλόμενος; Πλ. συ. 205, a. Οὐδὲ ποιμένα γιγνώσκεις. Ὅτι δὴ τί μάλιστα; ἦν δ' ἐγώ. Ὅτι οἴει τοὺς ποιμένας τὸ τῶν προβάτων ἀγαθὸν σκοπεῖν. Πλ. πολ. 343, a.)

(A. 9. Auch wenn der Hauptsatz ein Fragepronomen hat, kann ein solches im abhängigen oder Neben-Satze gleichfalls stehen. Ἐπειδὴ τίνος τέχνης ἐπιστήμων ἐστί, τίνα ἂν καλοῦντες αὐτὸν ὀρθῶς καλοῖμεν; (= τὸν τίνος τέχνης ἐπιστήμονα τίνα ἂν —.) Πλ. Γο. 448, a.)

A. 10. In demselben Satze können auch zwei Frage-Pronomina oder Adverbia, wie neben einem Frage-Adverbium ein Frage-Pronomen stehen. [Vgl. Lobeck z. So. Ai. 1185.) Τίνας ὑπὸ τίνων εὕροιμεν ἂν μείζω εὐεργετημένους ἢ παῖδας ὑπὸ γονέων; Ξε. ἀπ. 2, 2, 3. Ἡ τίσι

τί ἀποδιδοῦσα τέχνη δικαιοσύνη ἂν καλοῖτο; Πλ. πολ. 332, d. Ἀντὶ ποίων ποῖα μετατεθέντα εὐδαίμονα πόλιν ἀπεργάζοιτ' ἄν; Πλ. νό. 683, b. — Τίς πόθεν μολών σοι μαρτυρήσει; Σο. Τρ. 421. Πῶς τί τοῦτ' εἶπες; Πλ. σοφ. 261, e. — Ἆρ' οὐ μετὰ ἐπιστήμης τινὸς ἀναγκαῖον διὰ τῶν λόγων πορεύεσθαι τὸν ὀρθῶς μέλλοντα δείξειν ποῖα ποίοις συμφωνεῖ τῶν γενῶν καὶ ποῖα ἄλληλα οὐ δέχεται; Πλ. σοφ. 253, b. Ποῖα ὁποίου βίου μιμήματα, λέγειν οὐκ ἔχω. Πλ. πολ. 400, a. Πᾶς οἶδεν ὁποῖα ὁποίοις δυνατὰ κοινωνεῖν. Πλ. σοφ. 253, a. (Γράψει ὅτῳ τί ποιεῖν ἢ παθεῖν ὑπὸ τοῦ πέφυκεν. Πλ. Φαῖδ. 271, a.) Vgl. K. Lehrs N. J. 85, 300 f.

[A. 11. Diese Doppelfrage kann sogar im Vorder- und Nachsatze zugleich eintreten. vgl. A. 9. Ἐπειδάν τίς τινα φιλῇ, πότερος ποτέρου φίλος γίγνεται, ὁ φιλῶν τοῦ φιλουμένου ἢ ὁ φιλούμενος τοῦ φιλοῦντος; Πλ. Λύ. 212, a.

(A. 12. In Unterredungen findet sich ποῖος mit einem von dem Andern gebrauchten Nomen, um dessen Erwähnung mit Widerwillen abzulehnen: was spricht du mir da von —. Ὁ Ζεὺς ἡμῖν οὐ θεός ἐστιν; Ποῖος Ζεύς; οὐ μὴ ληρήσεις· οὐδ' ἔστι Ζεύς. Ἀρ. νε. 367. Χαρίεν γέ τι πρᾶγμά ἐστιν ἡ φιλοσοφία. Ποῖον, ἔφη, χαρίεν, ὦ μακάριε; οὐδενὸς μὲν οὖν ἄξιον. Πλ. Εὐθύδ. 304, e.)

A. 13. Ähnlich findet sich πόθεν; in dem Sinne unseres: wie sollte er dazu kommen? Τίσι χρῆται; πότερα τοῖς χρηστοῖς; Πόθεν; μισεῖ κάκιστα; Ἀρ. βά. 1455. Διὰ τί ποτε ἄνθρωποι καλοῦνται; οὐ ἔχεις εἰπεῖν; Πόθεν ὠγαθὲ ἔχω; Πλ. Κρατ. 398, e.

A. 14. Πότερος und ὁπότερος heißen auch einer von beiden (§ 25, 10, 3). Eine Bedeutung, bei der man zu ὁπότερος ursprünglich das Hauptverbum wiederholt dachte. Δεῖ, εἴπερ πότερον αὐτῶν ἐστι τἀγαθόν, μηδὲν μηδενὸς ἔτι προςδεῖσθαι. Πλ. Φιλ. 20, e. Τί ποτε οἴει σοι πότερον ἡμῶν ἀποκρινεῖσθαι; Πλ. νό. 673, b. Πολλὴ ἀνάγκη ὁπότερον τούτων ἑλέσθαι. Ἀνδ. 3, 26.

Zweiter Abschnitt: Vom Verbum.

§ 52. Genera der Verba (*διαθέσεις*).

I. Aktiva, Neutra und deren Passiva.

1. Von den das Genus des Verbums bezeichnenden Formationen hat die aktive am Festesten auch aktive Bedeutung.

A. 1. Über die Ausn. ἑάλων und ἑάλωκα s. ἁλίσκομαι im Verz. der Anomala. Manches Andere ist mit Unrecht als Ausnahme betrachtet, wie οἰκεῖν von Orten als Wohnplätzen gebraucht, etwa unserem bestehen entsprechend. Βλάπτουσιν οἱ πονηροὶ νόμοι καὶ τὰς ἀσφαλῶς οἰκεῖν οἰομένας πόλεις. Δη. 20, 49.

A. 2. Transitive Verba stehen häufig ohne Objekt (vgl. § 60, 7, 4 f.), weil sie auf keine bestimmten Objekte zu beziehen sind, wie δύνασθαι bei Kräften oder mächtig sein [z. Th. 1, 18, 2], ἔχειν vermögend sein, διδόναι und δωρεῖσθαι Geschenke machen, τολμᾶν kühn, unternehmend handeln [z. Th. 2, 43, 1], ἀσκεῖν Übungen betreiben, προςτιθέναι einen Zusatz oder Zusätze machen [z. Th. 5, 23, 5.] 2c. Ἃ ἂν δυνάμενοι εἰς ἀδυνάτους πονήσωσι πάλιν κομίζονται παρὰ δυναμένων ἀδυνατοῦντες ἐν τῷ γήρᾳ. Ἀρλ. οἰκ. 3. Πρὸς τὸν ἔχονθ' ὁ φθόνος ἕρπει. Σο. Αἴ. 157.

Δοῦναί γε μᾶλλον πλουσίῳ πᾶς τις κακῷ πρόθυμός ἐστιν ἢ πένητι κἀγαθῷ. Εὐ. Δα. 15 (328), 6. Μισῶ πένητα πλουσίῳ δωρούμενον. Μέ. 663 (690). — Τολμῶντες ἄνδρες τὴν ἀρχὴν ἐκτήσαντο. Θ. 2, 43, 1. Ἐκπονοῦντα φὴς καὶ ἐπιμελούμενον καὶ ἀσκοῦντα ἄνθρωπον μᾶλλον τυγχάνειν τῶν ἀγαθῶν. Ξε. οἰκ. 11, 13. — Ξυμφέρον γέ τι εἶναι καὶ ἐγὼ ὁμολογῶ τὸ δίκαιον, σὺ δὲ προστίθης καὶ αὐτὸ φὴς εἶναι τὸ τοῦ κρείττονος (ξυμφέρον). Πλ. πολ. 339, b. Μάντις ἄριστος ὅστις εἰκάζει καλῶς. Εὐ. δρά. ἀδ. 85 (963).

A. 3. So erhalten manche Transitive scheinbar intransitive Bedeutung wie ἐλλείπειν, ἐπιλείπειν und ἐκλείπειν deficere, ausgehen, fehlen, letzteres auch mit ὁ ἥλιος [τὴν ἐκ τοῦ οὐρανοῦ ἕδρην Her. 7, 37] und ἡ σελήνη von einer Sonnen- und Mondfinsternis, ἀπαγορεύειν und ἀπειπεῖν (nicht ἀπολέγειν) den Dienst versagen, erschöpft werden, (δια)-τελεῖν einen Weg zurücklegen, καταλύειν einen Marsch beendigen; einkehren; auch einen Krieg beilegen; ὑπολαμβάνειν unterbrechen, einfallen; πόλεμος καταλαμβάνει ein Krieg tritt ein, ὁ λόγος κατέχει die Sage herrscht, ὁ λόγος αἱρεῖ die Rede, Beweisführung nötigt. Ὁ ἀγαθὸς φίλος ἑαυτὸν τάττει πρὸς πᾶν τὸ ἐλλεῖπον τῷ φίλῳ. Ξε. ἀπ. 2, 4, 6. Ἐπιλιπούσης ἐπιστήμης ὁ ἁμαρτάνων ἁμαρτάνει. Πλ. πολ. 340, e. Διὰ τὸν πόλεμον τῶν προσόδων πολλαὶ ἐκλείπουσιν. Ξε. π. πό. 5, 12. Νουμηνίᾳ κατὰ σελήνην ὁ ἥλιος ἐκλείπει. Θ. 2, 28. Ἀνάγκη τοὺς μὲν γήρᾳ ἀπαγορεύειν, τοὺς δὲ καὶ ἄλλως ἐκλείπειν. Ξε. ἱπρ. 1, 2. Ἐξ Ἀβδήρων ἐς Ἴστρον ἀνὴρ εὔζωνος ἑνδεκαταῖος τελεῖ. Θ. 2, 97, 2. Θεμιστοκλῆς ἀναγκάζεται παρὰ Ἄδμητον καταλῦσαι, Θ. 1, 136, 2. Ἢν καταλύειν βούλωνται πρὸς Ἀθηναίους, ἐν ὁμοίῳ καταλύεσθαι. Θ. 8, 58, 5. Ὁ Κῦρος ἔτι λέγοντος αὐτοῦ ὑπολαβὼν εἶπεν. Ξε. Κυ. 5, 5, 35. Τῇ Οἰνόῃ φρουρίῳ οἱ Ἀθηναῖοι ἐχρῶντο, ὁπότε πόλεμος καταλάβοι. Θ. 2, 18, 1. Οὐκ ἐγένετο ὁ στόλος τοσοῦτος ὅσον οἵ τε ποιηταὶ εἰρήκασι καὶ ὁ λόγος κατέχει. Θ. 1, 10, 1. Τίθεται τὰ αὑτοῦ πράγματα ὅπῃ ὁ λόγος αἱρεῖ βέλτιστ' ἂν ἔχειν. Πλ. πολ. 604, c.

A. 4. Verba aktiver Bedeutung bezeichnen oft die Handlung, welche das Subjekt verrichten läßt vgl. § 52, 11. Κῦρος τὸν παράδεισον ἐξέκοψεν. Ξε. ἀν. 1, 4, 10. Προπέμψας ἑρμηνέα εἶπεν ὅτι βούλοιτο διαλεχθῆναι τοῖς ἄρχουσιν. Ξε. ἀν. 4, 4, 5. (Εἶδον διὰ τούτων. Ἡρ. 1, 113, 2.) Vgl. 11 A. 1 u. z. Xe. An. 5, 4, 2.

2. Von vielen Verben, besonders der Bewegung, hat die aktive Form sowohl transitive als intransitive Bedeutung, wie auch im Deutschen halten, ziehen, fahren, stürzen, kehren, wenden, brechen, schmelzen, nachlassen, nachgeben, ab- und zunehmen, passen (*ἁρμόττειν*).

A. 1. So heißt ἐλαύνειν treiben und fahren oder reiten, αἴρειν heben und aufbrechen [z. Th. 2, 23, 1], ὁρμᾶν antreiben (selten) und fortmachen, an-, vordringen, contendere, während ὁρμᾶσθαι, -ηθῆναι aufbrechen, proficisci bedeutet; letzteres im Pr. und Impf. auch so viel als ὁρμητήριον ἔχειν, sede belli uti; im uneigentlichen Sinne ὁρμᾶν etwas (eifrig) treiben, ὁρμᾶσθαι sich an etwas machen, anstreben. [Τὰς ναῦς ἄραντες ἀπὸ τῆς γῆς καὶ παραταξάμενοι μετεώρους ἡσύχαζον. Θ. 1, 52, 2.] Κορίνθιοι ἄραντες ἑβδομήκοντα ναυσὶ καὶ πέντε δισχιλίοις τε ὁπλίταις ἔπλεον ἐπὶ τὴν Ἐπίδαμνον. Θ. 1, 29, 1. — Δεῖ τὸν ἵππον ἀνὰ κράτος ἐλαύνοντα ἔποχον εἶναι (τὸν ἱππέα). Ξε. ἱπ. 8, 10. Ὁ ἵππαρχος πρῶτος τῶν ἱππέων ἐλαύνει, οἱ δ' ἱπποτοξόται προελαύνουσι καὶ τῶν ἱππάρχων. Ξε. ἀπ. 3, 3, 1. — (Ἐπὶ πλεονεξίαν καὶ ἰδιοπραγίαν ἡ θνητὴ φύσις αὐτὸν ὁρμήσει ἀεί. Πλ. νό. 875, b.) Σῶφρον ἐκεῖσε ὁρμᾶν ὅπου ἂν ἀσθενῆ τὰ τῶν πολεμίων ᾖ. Ξε. ἱπρ. 4, 14. Οἱ Λακεδαιμόνιοι οὐκ ἐβούλοντο ἔχειν τὸν βάρβαρον ἀπ' ἐχυροῦ ποθεν, ὥσπερ νῦν ἐκ Θηβῶν, ὁρμᾶσθαι. Θ. 1, 90, 2. Οἱ πολλοὶ ὡρμηκότες ἐπὶ τὸ σκοπεῖν τὰ τῶν ἄλλων πράγματα

οὐ τρέπονται ἐπὶ τὸ ἑαυτοὺς ἐξετάζειν. Ξε. ἀπ. 3, 7, 9. Ἡγοῦμαι ὑμᾶς ὁρμᾶσθαι πάντας εἰς τὸ ἀγωνίζεσθαι περὶ ἀρετῆς. Ξε. Κυ. 2, 3, 8.

A. 2. In mehreren Bedeutungen intransitiv findet sich ἔχειν halten, wie in ἔχε (δή) halt (stille), schweig (einstweilen): ἔχ' ἠρέμα, ἡσυχῇ verhalte dich ruhig (dramatisch ἔχ' ἥσυχος); sich verhalten, sich befinden mit Adverbien der Beschaffenheit (wohin auch gehört ὥσπερ ἔχω wie ich da bin, stehenden Fußes) vgl. § 68, 30, 3; hinhalten, hinsteuern; sich enthalten, abstehen. Λέγε — ἔχε αὐτοῦ. Δη. 45, 25. 26. Ἔχε δή, ἔφην ἐγώ· ἄξιον γάρ τοι ἐπισκέψασθαι ὃ λέγεις. Πλ. Πρω. 349, e. Εἰ βούλει, ἔχ' ἠρέμα· δοκῶ γάρ μοί τι καθορᾶν πιθανώτερον τούτου. Πλ. Κρατ. 399, e. Ἔχ' ἡσυχῇ ὦ Ἱππία. κινδυνεύομεν γάρ τοι ἐν ἄλλῃ τινὶ ἀπορίᾳ εἶναι. Πλ. Ἱπ. 298, c. Ἀναγκαίως ἔχει πατρίδος ἐρᾶν ἅπαντας. Εὐ. Φοί. 358. Εὐαγόρας εὐθύς, ὥσπερ εἶχε, προσέβαλε πρὸς τὸ βασίλειον. Ἰσ. 9, 30. Ἐκ τῆς Κατάνης ἔσχον κατὰ τὸν Λέοντα καλούμενον. Θ. 6, 97, 1. (Ἑλληνικοῦ πολέμου ἔσχον οἱ Ἀθηναῖοι. Θ. 1, 112, 1.)

A. 3. Noch häufiger intransitiv finden sich (die meisten nur so) Komposita von ἔχειν: ἀντέχειν widerstehen, ἀπέχειν entfernt sein, διέχειν auseinander liegen, ἀνέχειν empor-, hervorragen, προέχειν hervorragen, ὑπερέχειν überragen, übertreffen, ἐπέχειν sich erstrecken, verweilen, aufhören, abstehen, [κατέχειν] κατίσχειν hinsteuern, προσέσχον ich legte an, landete an, wie auch ἔσχον [z. Th. 1, 110, 2], παρέχειν freistehen Bei προσέχειν Acht geben hat wohl das oft auch hinzugefügte τὸν νοῦν vorgeschwebt; aber Polybius sagt 3, 82: προσέχειν τὸ πλῆθος τῶν ἱππέων. Τοῖς τοι δικαίοις ἀντέχειν οὐ ῥᾴδιον. Σο. Ἀλε. 99 (76). Τὸ μέσον ἴσον τῶν ἐσχάτων ἀπέχει. Πλ. Παρ. 145, b. Κακουργίας Σωκράτης πάντων ἀνθρώπων πλεῖστον ἀπεῖχεν. Ξε. ἀπ. 1, 2, 62. Ἡ Μινῴα οὐ πολὺ διέχει τῆς ἠπείρου. Θ. 3, 51, 3. Ἀλωπεκόννησος Χερρονήσου μέν ἐστιν, ἀκρωτήριον δ' ἀνέχον πρὸς τὴν Ἴμβρον ἀπωτάτω τῆς Θρᾴκης. Δη. 23, 166. Ἡ Θάψος ἐστὶ χερσόνησος ἐν στενῷ ἰσθμῷ προὔχουσα ἐς τὸ πέλαγος. Θ. 6, 97, 2. Δυνατὰ οἱ προὔχοντες πράσσουσι καὶ οἱ ἀσθενεῖς ξυγχωροῦσιν. Θ. 5, 89, 2. Κράνος τὸ Βοιωτιουργὲς στεγάζει μάλιστα τὰ ὑπερέχοντα τοῦ θώρακος, ὁρᾶν δ' οὐ κωλύει. Ξε. ἱπ. 12, 3. Χρὴ δόλῳ τοὺς ὑπερέχοντας κρατεῖν. Αἰσ. Προ. 213 (5). Ἡ μεσότης ὑπερέχει καὶ ὑπερέχεται. Πλ. Τίμ. 36, a. Σεισμοὶ ἐπὶ πλεῖστον μέρος γῆς ἐπέσχον. Θ. 1, 23, 3. Θεμιστοκλῆς ἐνιαυτὸν ἐπισχὼν βασιλεῖ περὶ ὧν ἥκεν ἐδήλωσεν. Θ. 1, 137, 4. Ἐπίσχες οὗτος· ὡς ὀλίγου μ' ἀπώλεσας. Ἀρ. σφ. 829. Ἠισχύνθημέν τε καὶ ἐπέσχομεν τοῦ δακρύειν. Πλ. Φαίδ. 117, e. Κατασχόντες ἐς τὸν λιμένα τῶν Χίων νεῶν ἐκράτησαν. Θ. 8, 23, 2. Ἀναγκαῖον ἦν τῇ νηὶ προσέχειν εἰς Ῥόδον. Δη. 56, 21. Καλῶς γε σωφρονεῖν παρεῖχέ σοι. Εὐ. Ἠλ. 1080. [z. Th. 1, 120, 3.]

A. 4. Φέρειν führen vom Wege (wie ἄγειν) ist auch aus 1 A. 2 erklärbar; entschieden intransitiv sind διαφέρειν verschieden sein, sich auszeichnen und προφέρειν hervorragen, ὑπερφέρειν überragen [z. Th. 1, 81, 1], συμφέρειν nützen. Ἤισαν τὴν πρὸς τὸ ὄρος φέρουσαν ὁδόν. Θ. 3, 24, 2. Ἄρχων ἀγαθὸς οὐδὲν διαφέρει πατρὸς ἀγαθοῦ. Ξε. Κυ. 8, 8, 1. Οὐ τῷ πλήθει τῶν ἐτῶν πρὸς τὸ φρονεῖν εὖ διαφέρομεν, ἀλλὰ τῇ φύσει καὶ ταῖς ἐπιμελείαις. Ἰσ. 6, 4. Εἴ τίς τι ἕτερος ἑτέρου προφέρει ἢ ἐπιστήμῃ ἢ εὐψυχίᾳ ἐπιδειξάσθω. Θ. 7, 64, 2. Λυκοῦργος βασιλεῖ ἔδωκε τοσαῦτα ὥστε μήτε δεῖσθαι τῶν μετρίων μήτε πλούτῳ ὑπερφέρειν. Ξε. Λακ. π. 15, 3. Ἰατρὸς ἀγαθὸς οἶδεν ὅ, τι συμφέρει τοῖς κάμνουσιν. Ξε. οἰκ. 15, 9.

A. 5. [6.] Ἄγειν marschieren mit seinen Kompositen sagte man, wie ducere, eigentlich nur von dem Befehlshaber und als Objekt schwebte das Heer, die Soldaten, vor. [Krüger z. Xen. An. 4, 8, 12.] Doch entschieden intransitiv findet sich ὑπάγειν. Καιρός ἐστιν ἄγειν ἐπὶ τοὺς πολεμίους. Ξε. Κυ. 3, 3, 46. Παρήγγειλε τοῖς ἀπιοῦσιν ὑπάγειν ἐπὶ τῆς Ἠιόνος. Θ. 5, 10, 3.

A. 6. [5.] Eben so finden sich intransitiv (ἀπο-, ὑπο-) στρέφειν und χαλᾶν; παύειν bes. im Imperativ, [vgl. Bekker Hom. Bl. 1 S. 40] doch nicht

eben in der att. Prosa. [Plat. Phaidr. 228, e.] Wohl immer intransitiv gebraucht die attische Prosa πταίειν anstoßen, Unglück haben. Τἀναντία στρέψαντες ἔφευγον. Ξε. ἀν. 4, 3, 32. Τἀναντία ἀποστρέψας ἐπὶ Φρυγίας ἐπορεύετο. Ξε. Ἑλ. 3, 4, 12. Ὑποστρέφοντες ἠμύνοντο. Θ. 4, 33, 3. Ἐπειδὰν αἱ ἐπιθυμίαι χαλάσωσι, δεσποτῶν πάνυ πολλῶν ἔστι καὶ μαινομένων ἀπηλλάχθαι. Πλ. πολ. 329, c. d. Παῦε. ἐκκέκρουκάς με ἐλπίδος. Πλ. Φαίδρῳ 228, e. Δοκεῖ μοι τοῦ αὐτοῦ ἀνδρὸς εἶναι καὶ εὐτυχοῦντα ἐξυβρίσαι καὶ πταίσαντα ταχὺ πτῆξαι. Ξε. Κυ. 3, 1, 26.

A. 7. Mehrere Verba erscheinen nicht leicht anders als in Kompositen intransitiv. So βάλλειν in (διαβάλλειν übergehen z. Arr. An. 1, 4, 1), μεταβάλλειν wechseln, sich verändern, εἰςβάλλειν [mit τὸ ῥέεθρον Her. 1, 179, 2) und ἐμβάλλειν sich ergießen, einfallen (in ein Land) und angreifen, προςβάλλειν anlegen [z. Th. 6, 4, 6] und angreifen, συμβάλλειν zusammentreffen, auch vom Kampfe, ὑπερβάλλειν übergehen, z. B. ὄρος über einen Berg, und übertreffen. Μεταβεβληκυιῶν τῶν περὶ θεοὺς δοξῶν ἐν τοῖς ἀνθρώποις μεταβάλλειν χρὴ καὶ τοὺς νόμους. Πλ. νό. 948, d. Ἀχέρων ποταμὸς ἐςβάλλει ἐς τὴν Ἀχερουσίαν λίμνην. Θ. 1, 46, 3. Ὁ Μαρσύας ποταμὸς ἐμβάλλει εἰς τὸν Μαίανδρον. Ξε. ἀν. 1, 2, 8. Ἱκανοί ἐσμεν ἐς τὴν χώραν εἰςβάλλειν. Ξε. ἀν. 5, 4, 10. Δοκεῖ πᾶσιν ἐπειδὰν ἐμβάλωσιν οἱ πολέμιοι εἰς τὴν χώραν, τότε μάχεσθαι. Ξε. Κυ. 3, 3, 14. Ὀλίγοι πρὸς πολλοὺς ἐςέβαλλον ἐς τὸ στράτευμα. Θ. 2, 100, 3. Ξυνετύγχανε τὰ μὲν ἄλλοις ἐμβεβληκέναι, τὰ δὲ αὐτοὺς ἐμβεβλῆσθαι. Θ. 7, 70, 6. 3, 18, 1. Προςέβαλε τοῖς Ἀθηναίοις, τῇ πόλει, πρὸς τὴν πόλιν. Θ. 5, 10, 6. 3, 18, 1. 2, 56, 2. Τοῖς ἄλλοις ξυμβαλόντες ἐκράτησαν. Θ. 1, 105, 5. Εὑρήσομεν τοὺς μὲν ὑπερβαλόντας, τοὺς δὲ καταδεεστέρους ὄντας. Ἰσ. 9, 13.

A. 8. Von ἰέναι finden sich bei Attikern wohl auch nur Komposita intransitiv, wie ἐξιέναι sich ergießen, καθιέναι sich herablassen, ἀνιέναι nachlassen. Ὁ Ἀχελῷος ποταμὸς ἐς θάλασσαν ἐξίησι παρ᾽ Οἰνιάδας. Θ. 2, 102, 2. Οἱ γέροντες συγκαθιέντες τοῖς νέοις εὐτραπελίας καὶ χαριεντισμοῦ ἐμπίπλανται. Πλ. πολ. 563, a. Μήτε νὺξ μήτε ἡμέρα ἐπισχέτω σε ὥστε ἀνεῖναι πράσσειν τι. Θ. 1, 129, 3. [Über ἀφιέναι z. Th. 7, 19, 4.]

A. 9. Von διδόναι (das als Simplex bei attischen Prosaikern nicht leicht intransitiv vorkommt für sich hingeben) gebrauchten ἐκδιδόναι für sich ergießen wohl nur die Ioner und Spätere; ἐνδιδόναι nachgeben [z. Th. 4, 35, 1] und ἐπιδιδόναι zunehmen, Fortschritte machen auch die Attiker. [Εἰώθασιν οἱ ἄνθρωποι οὗ ἐπιθυμοῦσιν ἐλπίδι ἀπερισκέπτῳ διδόναι. (?) Θ. 4, 108, 3.] Ἴστρος ποταμῶν πάντων μέγιστος γέγονε, ποταμῶν καὶ ἄλλων ἐς αὐτὸν ἐκδιδόντων. Ἡρ. 4, 48. Οἱ ἄνθρωποι πεφύκασι τοῖς ἑκουσίως ἐνδοῦσιν ἀνθησσᾶσθαι. Θ. 4, 19, 3. Ὁρῶ ἐπὶ πάντων ὁμοίως καὶ φύσει διαφέροντας ἀνθρώπους καὶ ἐπιμελείᾳ πολὺ ἐπιδιδόντας. Ξε. ἀπ. 3, 9, 3.

A. 10. Von μιγνύναι gebrauchte man intransitiv προςμιγνύναι und συμμιγνύναι zusammentreffen, freundlich sowohl als feindlich; καταμίγνυσθαι Xe. An. 7, 2, 3; selten ἐπιμιγνύναι verkehren [z. Xe. An. 3, 5, 16], gewöhnlicher so ἐπιμίγνυσθαι. Ἐκέλευσεν ὑπάγειν, ὅπως οἱ τελευταῖοι λόχοι προςμίξειαν. Ξε. ἀν. 4, 2, 16. Σωθέντες οἱ ἀναβάντες μετὰ Κύρου συνέμιξαν Θίβρωνι. Ξε. Ἑλ. 3, 1, 6. Εἰ βούλοιντο ἀθρόοι ἐκ τοῦ τείχους προςπεσεῖν ποι, ὅπῃ προςμίξειαν πολὺ ἂν ἐρρωμενέστερον συμμιγνύοιεν τῶν παριόντων. Ξε. Κυ. 5, 4, 46. Τῆς ἐμπορίας οὐκ οὔσης οὐδ᾽ ἐπιμιγνύντες ἀδεῶς ἀλλήλοις οὐ χαλεπῶς ἀπανίσταντο. Θ. 1, 2, 1.

A. 11. Von λείπειν gebrauchte man auch intransitiv διαλείπειν auseinander sein, dazwischen treten, selten ἀπολείπειν sich entfernen z. Th. 3, 10, 1], wie häufiger ἀπαλλάσσειν davon kommen; über ἐλ-, ἐπι- und ἐκλείπειν 1 A. 3. Ἐπορεύετο ἅρματα διαλείποντα συχνὸν ἀπ᾽ ἀλλήλων, τὰ δρεπανηφόρα καλούμενα. Ξε. ἀν. 1, 8, 10. Διαλιπούσης ἡμέρας μάχη αὖθις γίγνεται. Θ. 3, 74, 1. (Οἱ Λακεδαιμόνιοι ἀπέλιπον ἐκ

τοῦ Μηδικοῦ πολέμου. Θ. 3, 10, 1.) Κυβερνᾶν κατασταθεὶς ὁ μὴ ἐπιστάμενος αἰσχρῶς ἂν καὶ κακῶς ἀπαλλάξειεν. Ξε. ἀπ. 1, 7, 3.

A. 12. Wie ὑποφαίνειν anbrechen regelmäßig, so findet sich auch διαφαίνειν durchschimmern, παρακινεῖν und ὑποκινεῖν auch von Geistesverwirrung. Ἐπεὶ ἡμέρα (ἕως, ἔαρ) ὑπέφαινεν, ἐπορεύοντο. Ξε. ἀν. 4, 2, 7. (Τὸ μεγαλοπρεπές τε καὶ ἐλευθέριον καὶ τὸ ταπεινόν τε καὶ ἀνελεύθερον διὰ τοῦ προςώπου καὶ διὰ τῶν σχημάτων διαφαίνει. Ξε. ἀπ. 3, 10, 5.) Πολλαὶ διὰ τὸ κάλλος ὑπὸ τῶν ἐπὶ ταῖς ὡραίαις παρακεκινηκότων διαφθείρονται. Ξε. ἀπ. 4, 2, 35. Ὁ μαινόμενος καὶ ὑποκεκινηκὼς οὐ μόνον ἀνθρώπων, ἀλλὰ καὶ θεῶν ἐλπίζει δυνατὸς εἶναι ἄρχειν. Πλ. πολ. 573. [z. Her. 5, 106, 3.]

A. 13. Intransitive Bedeutung haben endlich die zweiten Perfekte von den sonst transitiven Verben ἄγνυμι, [δαίω,] ἐγείρω, [ἔλπω, κήδω,] [μαίνομαι,] [οἴγω,] ὄλλυμι, [πείθω,] πήγνυμι, (πράσσω,) ῥήγνυμι, σήπω, τήκω, φαίνω. Vgl. das Verz. § 40 u. B. 2 § 39. 40. Über ἕστηκα, εἱστήκειν und ἔστην B. 1 § 36, 11, 5; über δέδυκα und ἔδυν, πέφυκα und ἔφυν, [ἔσκληκα und ἔσκλην] s. δύω, φύω und σκέλλω § 40. vgl. eb. σβέννυμι.

A. 14. Viele Intransitive erhalten mit Präpositionen zusammengesetzt transitive Bedeutung. Beispiele § 46, 6, 9.

3. Die Neutra (aktiver Form) sind der Bedeutung nach teils Aktive, wenn sie eine Thätigkeit ohne Einwirkung auf ein Objekt bezeichnen, wie *βαίνειν, φεύγειν, βοᾶν*: teils Passive, wenn sie ein Leiden an und für sich, nicht auch die Kraft, von der es ausgeht, bezeichnen, wie *πάσχειν, πενθεῖν*.

A. 1. Viele Neutra finden sich, da sie der Bedeutung nach dem Passiv ähnlich sind, auch wie dieses mit ὑπό und dem Ge. verbunden. Μὴ οἴεσθε τὰς τῶν ἀδικημάτων ἀρχὰς ἀπὸ θεῶν, ἀλλ' οὐχ ὑπ' ἀνθρώπων ἀσελγείας γενέσθαι. Αἰ. 1, 190. Τοιαύτας ὕβρεις ἐγὼ ἀκήκοα γεγονέναι ὑπὸ τοῦ ἀνθρώπου τούτου. Αἰ. 1, 55. Δίκην διδόασιν οἱ παραβαίνοντες τοὺς ὑπὸ τῶν θεῶν κειμένους νόμους. Ξε. ἀπ. 4, 4, 21. Πέντε ἄνδρες ἔφοροι κατέστησαν ὑπὸ τῶν καλουμένων ἑταίρων. Λυ. 2, 43. Οἱ ἐκ τῶν νήσων κακοῦργοι ἀνέστησαν ὑπὸ Μίνω. Θ. 1, 8, 2. — (Ἦλθε τῇ Ἑλλάδι κίνδυνος ὑπὸ βαρβάρων. Ξε. Ἑλ. 6, 5, 43. Ἐδόκει προςχωρήσειν ἡ πόλις ὑπό τινων ἔνδοθεν πρασσόντων. Θ. 2, 79, 2. Δέομαι συμβῆναι ὑμᾶς ὥσπερ ὑπὸ διαιτητῶν ὑμῶν συμβιβαζόντων. Πλ. Πρω. 337, e.) — Ἡ πόλις ἡμῶν εὐδόξησε τῶν τειχῶν ὑπὸ τῶν βαρβάρων πεπτωκότων. Αἰ. 2, 172. Παυσανίας ἐς τὴν εἱρκτὴν ἐςπίπτει ὑπὸ τῶν ἐφόρων. Θ. 1, 131, 2. Οἱ Ἀλκμαιωνίδαι ὑπὸ τῶν τυράννων ἐξέπεσον. Δη. 21, 144. Τοιαύτῃ συμφορᾷ περιπέπτωκεν ὑπὸ τούτου. Δη. 21, 96. — Κριτίας ἔφυγεν ὑπὸ τοῦ δήμου. Ξε. Ἑλ. 2, 3, 15. Ὅτε πολλὰ εἶχον, ἀεί τι ἀπέβαλλον ἢ ὑπὸ τῆς πόλεως ἢ ὑπὸ τῆς τύχης. Ξε. συ. 4, 32. Ἀπώλεσαν τὴν ἀρχὴν ὑπὸ Περσῶν Μῆδοι. Ξε. ἀν. 3, 4, 11. Προστάτης πόλεως οὐδ' ἂν εἷς ποτε ἀδίκως ἀπόλοιτο ὑπὸ τῆς πόλεως ἧς προστατεῖ. Πλ. Γο. 519, c. Οὐχ ὑπὸ τῶν πληγῶν, ἀλλ' ὑπὸ τοῦ ἰατροῦ ὁ ἀνὴρ ἀπέθανεν. Ἀντ. 4, δ, 8. Νικόδημος ὑπ' Ἀριστάρχου τετελεύτηκε βιαίῳ θανάτῳ. Αἰ. 1, 172.

A. 2. Eben so findet sich ὑπό mit dem Ge. bei neutralen Verben mit Adverbien. Κακῶς πάσχει ὑπ' ἀμφοτέρων. Θ. 5, 23, 2. Οὕτω διάκειμαι ὑφ' ὑμῶν. Ξε. Ἑλ. 4, 1, 33. Πῶς ὑμῖν ὑπὸ τῶν χρηστῶν τῶν νῦν τὰ πράγματα ἔχει; Δη. 3, 27. Τίς ἂν τοιοῦδ' ὑπ' ἀνδρὸς εὖ πράξειεν ἄν; Σο. ΟΚ. 391. Οὐκ ἂν ἀξιώσαιτε κακῶς ἀκούειν ὑπὸ τῶν ὑμετέρων παίδων. Δη. 40, 45. Μέγα δοκεῖ εἶναι εὖ ἀκούειν ὑπὸ πολλῶν ἀνθρώπων. Ξε. ἀν. 7, 7, 23.

A. 3. Außerdem kann ein Verbum mit seinem Objekt verbunden den Begriff eines Passivs enthalten und so ὑπό mit dem Ge. bei sich haben. Πρώ-

των εἴ τι ὑπ' αὐτῶν ἀγαθὸν πεπόνθασιν. Θ. 3, 68, 1. Ἢν τις παῖς ποτε πληγὰς λαβὼν ὑπ' ἄλλου κατείπῃ πρὸς τὸν πατέρα, αἰσχρόν ἐστι μὴ οὐκ ἄλλας πληγὰς ἐμβάλλειν τῷ υἱεῖ. Ξε. Λακ. π. 6, 2. Αἰτίαν ἔσχον ὑπὸ τῶν ἑτέρων. Πλ. πολ. 565, b. Φεύγει ὑπ' ἐμοῦ τὴν δίκην. Δη. 30, 5. Πολλοὶ οἷς ἐξῆν φίλοις χρῆσθαι, τούτοις δούλοις μᾶλλον βουληθέντες χρῆσθαι ὑπ' αὐτῶν τούτων δίκην ἐδίδοσαν. Ξε. Κυ. 1, 6, 45. Ὑπὸ τούτου τοῦ ἀνθρώπου πάντα κακὰ ἀκούω. Πλ. Ἱπ. 304, d.

A. 4. Da nach § 46, 5 auch Neutra eines Accusativs empfänglich sind, so können sie auch ein Passiv haben. Ποῖον ἐρεῖς βίον ὃν οὐ βεβίωκας, ἐπεὶ ὅ γε βεβιωμένος σοι τοιοῦτος ὢν φαίνεται. Δη. 19, 200. Ἢν τὰ παρ' ὑμῶν ὑπηρετῆται, ταχέως ὄψεσθε τὴν πόλιν εὐδαίμονα γεγενημένην. Ἰσ. 3, 63. Ἱκανὰ τοῖς πολεμίοις εὐτύχηται. Θ. 7, 77, 3. Τὰ χρήματα κινδυνεύεται τῷ δανείσαντι. Δη. 34, 28. [z. Th. 3, 39, 7. vgl. z. 1, 73, 2. 2, 35, 1.] Οἱ ἱερεῖς τοῖς σώμασιν ἰατρικὴν ἐξεῦρον ἐπικουρίαν, οὐ διακεκινδυνευμένοις φαρμάκοις χρωμένην. Ἰσ. 11, 22. Διὰ τὴν Πλειστοάνακτος κάθοδον παρανομηθεῖσαν πταίσματα ξυνέβαινεν. Θ. 5, 16, 4. Τεθορύβημαι μή τινες ἀγνοήσωσί με ψυχαγωγηθέντες τοῖς ἐπιβεβουλευμένοις καὶ κακοηθέσι τούτοις ἀντιθέτοις. Αἰ. 2, 4.

A. 5. So finden sich denn besonders substantivierte Participia von Passiven mancher Neutra zum Teil in einer uns ziemlich fremdartig erscheinenden Weise, wie τὰ σεσωφρονημένα das mit besonnener Mäßigung Geübte, τὰ ἠσεβημένα das gottlos Verübte, τὰ πεπονημένα das mit Anstrengung Verrichtete, τὰ πεπρεσβευμένα das auf einer Gesandtschaft Ausgeführte, τὰ πεπολιτευμένα das in der Staatsverwaltung Gethane, τὰ κινδυνευθέντα das gefahrvoll Bestandene, παρακεκινδυνευμένον ein gewagter Ausdruck, τὰ δυστυχηθέντα die erlittenen Unfälle. Τῶν σεσωφρονημένων ἐν τῷ βίῳ μοι χάριν ἀπειληφέναι νομίζω. Αἰ. 2, 4. Ἀνεμνήσθησαν πάντα τὰ ἠσεβημένα αὐτῷ. Λυ. 6, 5. Θηβαῖοι τὸν Φίλιππον οὐκ ἐδύναντο κωλῦσαι τῶν αὐτοῖς πεπονημένων ὕστατον ἐλθόντα τὴν δόξαν ἔχειν. Δη. 5, 20. Τὰ πρόσθεν πεπραγμένα καὶ πεπρεσβευμένα ἀποκτείνειεν ἂν τὸν Αἰσχίνην δικαίως. Δη. 19, 131. Μέλλω λόγον διδόναι τήμερον τῶν κοινῇ πεπολιτευμένων. Δη. 18, 8. Οὐ ῥᾴδιον τὰ ὑπὸ πολλῶν κινδυνευθέντα ὑφ' ἑνὸς ῥηθῆναι. Λυ. 2, 54. Φθέγγεται τι παρακεκινδυνευμένον. Ἀρ. βά. 99. Ἐπηνώρθησαν τὰ ὑφ' ἑτέρων δυστυχηθέντα. Λυ. 2, 70.

A. 6. Ausdrücke wie im Lateinischen venitur, curritur man kommt, läuft, sind im Griechischen nicht üblich. Auch in einer Verbindung wie ὁποτέρως ἔσται ἐν ἀδήλῳ κινδυνεύεται (Θ. 1, 78, 2) ist der Satz ὁποτέρως ἔσται als Subjekt zu nehmen.

II. Passiv.

4. Bei Passiven kann als Subjekt nicht bloß das nähere, sondern auch das entferntere Objekt des Aktivs eintreten, besonders wenn es ein persönlicher Begriff ist.

A. 1. So stehen Passive, deren Aktive das Subjekt derselben im Ge. oder Da. bei sich haben würden. Νικήρατος ἐρῶν τῆς γυναικὸς ἀντερᾶται. Ξε. συ. 8, 3. Διδάσκετε τοὺς παῖδας τοὺς ὑμετέρους αὐτῶν βασιλεύεσθαι· ἢν γὰρ καλῶς ἄρχεσθαι μάθωσι, πολλῶν ἄρχειν δυνήσονται. Ἰσ. 3, 57. Οὐχ ὑπό γε θεῶν ποτε ἀμελεῖται ὃς ἂν προθυμεῖσθαι ἐθέλῃ δίκαιος γίγνεσθαι. Πλ. πολ. 613, a. Μὴ περιίδητε τοὺς προγόνους ἔτι μᾶλλον καταφρονουμένους ἢ νῦν καταπεφρόνηνται. Δη. 43, 84. — Οὐκέτι ἀπειλοῦμαι, ἀλλ' ἤδη ἀπειλῶ ἄλλοις. Ξε. συ. 4, 31. Πολλοὶ διὰ τὸν πλοῦτον ἐπιβουλευόμενοι ἀπόλλυνται. Ξε. ἀπ. 4, 2, 35. Ὁμολογεῖται κρεῖττον εἶναι πιστεύεσθαι ὑπὸ τῆς πατρίδος ἢ ἀπιστεῖσθαι. Ξε. συ. 4, 29. Ὁ πένης ἐλεεῖται, ὁ δὲ πλούσιος φθονεῖται. Σωτ. Στοβ.

103, 13. Τάσσειν γε μᾶλλον ἢ 'πιτάσσεσθαι θέλεις. Εὐ. Συλ. 3 (691). (Dichter gebrauchen auch Passiva in einer bei Prosaikern eben nicht üblichen Weise. Ἡ ὁδὸς βραδύνεται. Σο. Ἠλ. 1501.)

A. 2. Wenn das Aktiv zwei Objekte haben würde (neben dem persönlichen im Ge. oder Da. ein sachliches im Ac.), so bleibt bei der Umwandlung ins Passiv der sachliche Ac. unverändert. [Hermann De ell. p. 168.] So geht ἐκκόπτειν τινὶ τὸν ὀφθαλμόν über in ἐκκόπτεταί τις τὸν ὀ. Bei Verben, die den Ge. regieren, ist diese Weise selten. Βασιλείαν πασῶν δικαιοτάτην βασιλεύονται. Πλ. νό. 680, e. Οἱ δολιχοδρόμοι τὰ σκέλη μὲν παχύνονται, τοὺς δὲ ὤμους λεπτύνονται. Ξε. συ. 2, 17. Τίς οὐκ ἂν ταῖς ἡδοναῖς δουλεύων αἰσχρῶς διατεθείη καὶ τὸ σῶμα καὶ τὴν ψυχήν; Ξε. ἀπ. 1, 5, 5. Εἰ ξυγχωρήσετε, καὶ ἄλλο τι μεῖζον εὐθὺς ἐπιταχθήσεσθε. Θ. 1, 140, 6. Vgl. A. 8.

A. 3. Analog erscheint dieser Ac. auch bei zweiten Perfekten intransitiver Bedeutung. Ἑώρων τὸν Φίλιππον ὑπὲρ ἀρχῆς τὸν ὀφθαλμὸν ἐκκεκομμένον, τὴν κλεῖν κατεαγότα, τὴν χεῖρα τὸ σκέλος πεπηρωμένον. Δη. 18, 67. vgl. And. 1, 61 u. Xe. An. 4, 5, 12.

A. 4. Von καταγιγνώσκειν u. ä. Verben (§ 47, 24) sagt man zwar καταγιγνώσκεταί τις nach A. 1; aber gewöhnlich θάνατος καταγιγνώσκεταί τινος. Κἂν νόμῳ τις καταγνωσθῇ, οὐκ ἀποκτιννύουσιν ἐν ἑορτῇ. Ξε. Ἑλ. 4, 4, 2. Ἁπάντων θάνατος κατεγιγνώσκετο. Λυ. 13, 38. — Κατηγόρηται Ἐπικράτους ἱκανά. Λυ. 27, 1. [vgl. z. Th. 1, 95, 2.]

A. 5. Auch der Dativ kann beim Passiv stehen, indem das Verbum entweder unpersönlich gebraucht wird oder ein Ac. des Aktivs Subjekt geworden ist. Daher denn auch z. B. ἐπιβεβουλευμένα. Doch ist diese Weise seltener als die A. 1 und 2 angegebene. Ἀκούσας ἐπιβουλεύεσθαι τῇ πόλει βοηθῶν παρῆν. Ξε. Ἑλ. 7, 4, 5. — (Πῶς ἂν ἐπιβουλεύσαιμι αὐτῷ, εἰ μὴ καὶ ἐπεβουλεύθην ὑπ' αὐτοῦ; Ἀντιφ. 4, β, 5.) — Νῦν σοι φράσω τι πρᾶγμα δεινὸν καὶ μέγα, ὃ τοῖς θεοῖς ἅπασιν ἐπιβουλεύεται. Ἀρ. εἰρ. 403. Οὐ περιεώρων τὰ γιγνόμενα ὡς καὶ ἐκείνοις ἐπιβουλευόμενα. Θ. 6, 88, 8. Δίκης Λακεδαιμονίοις ἐπιτραπείσης τὴν γῆν ἔτεμον. Θ. 5, 31, 3. (Ἀνέστησαν αὐτοὺς οἱ ἐπιτετραμμένοι τὴν φυλακήν. Θ. 1, 126, 6.)

A. 6. Von Verben, die zwei Objektsaccusative regieren, wird beim Passiv der persönliche Ac. Subjekt, der sachliche bleibt unverändert. Οὐδὲν ἄλλο διδάσκεται ἄνθρωπος ἢ ἐπιστήμην. Πλ. Μέ. 87, c. [vgl. § 46, 15.] Ἡ πόλις περιφανῶς ὠφέλητο. Θ. 6, 60, 4. Ὑπὸ τῶν ἐχθρῶν περισυλᾶται πᾶσαν τὴν οὐσίαν. Πλ. Γο. 486, b. Τισσαφέρνης ὑπὸ βασιλέως νεωστὶ ἐτύγχανε πεπραγμένος τοὺς φόρους. Θ. 8, 5, 5. Αὐτὸ τοῦτο τὸ ὄνομα οἱ θεοὶ ὀρθῶς ἐκλήθησαν. Πλ. Κρατ. 397, c. [vgl. § 46, 13.] Ἡ καταφρόνησις ἐκ τοῦ πολλοὺς σφάλλειν τὸ ἐναντίον ὄνομα ἀφροσύνη μετωνόμασται. Θ. 1, 122, 4. Δώδεκα ἡμῖν ἡ χώρα πᾶσα εἰς δύναμιν ἴσα μόρια νενέμηται. Πλ. νό. 760, b. (Σύμπασα ἡ χώρα κατὰ δώδεκα μέρη διανενέμηται. Πλ. νό. 758, c.) Vgl. 46, 15 u. A.

A. 7. So steht bei Passiven auch der Ac. des Inhaltes (§ 46, 5 vgl. 6). Πᾶσαν θεραπείαν ὡς ἰσόθεος θεραπεύεται ὑπὸ τοῦ ἐρῶντος. Πλ. Φαῖδ. 255, a. Τὴν δόξασαν ζημίαν τοῖς ἄρχουσι ζημιούσθω. Πλ. νό. 843, e. Ἕκαστος ἂν αἰσχυνθείη τὴν τάξιν λιπεῖν ἣν ἂν ταχθῇ ἐν τῷ πολέμῳ. Αἰ. 3, 7. — Μίαν μάχην ἡττήθησαν. Ἀνδ. 3, 19. Ἰσαρίθμους πληγὰς μαστιγούσθω. Πλ. νό. 845, a. Μέγα τὸ ναυσὶ τοσοῦτον πλοῦν δεῦρο κομισθῆναι. Θ. 6, 37, 2. Ἀλοὺς τὴν γραφὴν τῆς οὐσίας ᾔδειν ἐκστησόμενος. Ἀντ. 2, β, 9.

A. 8. Eben so erscheinen bei Passiven häufig als Accusative der Art substantivierte Neutra von Adjektiven und Pronominaladjektiven. Vgl. A. 2. 6. Ἀπέρχομαι πρὶν ὑπὸ σοῦ τι μεῖζον ἀναγκασθῆναι. Πλ. Φαῖδ. 242, a. Μεγάλα ἂν ζημιοῖο, εἰ τοὺς σαυτοῦ κατακαίνοις. Ξε. Κυ. 3, 1, 16. Πολλὰ ἐλαττοῦμαι Αἰσχίνου. Δη. 18, 3. [z. Th. 4, 58.] Ὦ δαῖμον ὡς ἀνάξι'

ἠτιμώμεθα. Εὐ. Ἑλ. 455. — Ταῦτα μὲν ἡ πόλις βλάπτεται, ἐγὼ δ' ἰδίᾳ τι; θεάσασθε ἡλίκα. Δη. 39, 13. [z. Th. 4, 64, 1. vgl. 8, 48, 5.] Μέμνησαι ὅ, τι ἠρωτήθης. Πλ. Ἱπ. 289, c. Ταῦτα οὐδεὶς ἂν πεισθείη ποτέ. Πλ. νό. 836, d. Τοσοῦτον ἡττῶνται. Δη. 19, 208. Αἰσχίνης λιχνοφόρος καὶ τοιαῦτα προσαγορεύεται. Δη. 18, 260.

5. Das Subjekt des Aktivs steht beim Passiv gewöhnlich entweder als Dativ (§ 48, 15, 3) oder mit *ὑπό* im Genitiv. *Βούλονται πάντες ὑπὸ τῶν παίδων θεραπεύεσθαι. Λυ.* 19, 37. *Οἱ μὲν ὑπὸ νόμων ἐθέλοντες ἄρχεσθαι σώφρονες καὶ ἐλεύθεροι καὶ χρηστοὶ νομίζονται, οἱ δ' ὑπὸ τῶν ὀλιγαρχιῶν ἄνανδροι καὶ δοῦλοι. Δη.* 24, 75. *Τὸ κεκινῆσθαι ὑπὸ τῶν βρωμάτων καὶ τῆς πόσεως πάνυ ὑϊκὸν καὶ θηριῶδες δοκεῖ εἶναι. Ξέ. Κυ.* 5, 2, 17.

A. 1. Παρά mit dem Ge. findet sich besonders bei Passiven und Verben, die ein Geben oder eine Äußerung bezeichnen, und zwar in Verbindung mit persönlichen Begriffen. Nicht häufig ist ἀπό, von einem Ausgehen oder einer Veranlassung gebraucht. Ἁρμοδίῳ καὶ Ἀριστογείτονι μέγισται δέδονται δωρεαὶ παρ' ὑμῶν καὶ ὑπὲρ μεγίστων. Δη. 21, 170. Τὸ ὁμολογηθὲν παρὰ βελτιόνων που κυριώτερον ἢ τὸ παρὰ χειρόνων. Πλ. σοφ. 246, d. — Ἐπράχθη οὐδὲν ἀπὸ τῶν τυράννων ἔργον ἀξιόλογον. Θ. 1, 17, 1. Γνῶμαι ἀφ' ἑκάστων ἐλέγοντο. Θ. 3, 36, 5. [Vgl. Reg. z. Th. u. ἀπὸ S. 240, a.]

[A. 2. Sehr selten bei Passiven ist in der attischen Prosa πρός mit dem Ge.; ἐξ steht meist nur, und auch dies nicht oft, bei Verben des Gebens. Vgl. § 68, 37, 3 u. 17, 9. Vgl. z. Xe. An. 1, 1, 6. Κῦρος ὁμολογεῖται πρὸς πάντων κράτιστος δὴ γενέσθαι θεραπεύειν φίλους. Ξε. ἀν. 1, 9, 20. Τοῦτό μοί πως ἐκ θεοῦ δέδοται, ταχὺ οἵῳ τ' εἶναι γνῶναι. Πλ. Λυ. 204, b.]

6. Die passive Form findet sich von manchen Verben auch, wo das Subjekt zu seinem Leiden thätig mitwirkt und wo wir Aktive mit dem Reflexiv oder auch bloße Aktive gebrauchen: mediales Passiv.

A. 1. Als wirkliche Passive erkennbar sind diese Verba an ihren passiven Aoristen. Ἠθροίσθησαν καὶ ἀντιπαρετάξαντο. Ξε. Ἑλ. 3, 4, 22. Ξυστραφέντες τοὺς πολεμίους κωλύσουσι διελθεῖν. Θ. 7, 32, 1. Συσπειραθέντες ἐχώρουν ἐρρωμένως. Ξε. Ἑλ. 4, 3, 18. Τὸ εὐώνυμον διεσπάρη. Ξε. ἀν. 6, 3, 28. Οἱ Ἕλληνες διεκρίθησαν πρός τε Ἀθηναίους καὶ Λακεδαιμονίους. Θ. 1, 18, 5. Σεισμοῦ γενομένου διελύθησαν ἕκαστοι ἐπ' οἴκου. Θ. 5, 50, 4. — Πῇ πορευθεὶς τὸν βίον ὡς ἄριστ' ἂν διέλθοι; Πλ. πολ. 365, b. Αὐτερέται ἐκομίσθησαν. Θ. 6, 91, 3. Ὁ Ἀλκιβιάδης ἐπὶ πλοίου ἐπεραιώθη ἐς Πελοπόννησον ἐκ τῆς Θουρίας. Θ. 6, 61, 6. Παντὸς φυτοῦ ἡ πρώτη βλάστη καλῶς ὁρμηθεῖσα πρὸς ἀρετὴν τῆς αὑτοῦ φύσεως κυριωτάτη τέλος ἐπιθεῖναι τὸ πρόσφορον. Πλ. νό. 765, e. Οὐ χρὴ ἀπαρασκεύους ἐπειχθῆναι. Θ. 1, 80, 2. Ἐν τοῖς ἀγαθοῖς ἡ πόλις ἡμῶν οὐκ ἀπελείφθη. Ἰσ. 4, 44. Δημήτηρ ἀφίκετο εἰς τὴν Ἀττικὴν ὅτ' ἐπλανήθη τῆς Κόρης ἁρπασθείσης. Ἰσ. 4, 28. Κινηθῆναι οὐκ ἐδύναντο ἐκ τοῦ χωρίου. Ξε. ἀν. 6, 1, 8. Οὐδεὶς ἔτι πέτρος ἄνωθεν ἠνέχθη. Ξε. ἀν. 4, 7, 12. Οἱ εἰς ἔρωτας ἐκκυλισθέντες ἧττον δύνανται τῶν τε δεόντων ἐπιμελεῖσθαι καὶ τῶν μὴ δεόντων ἀπέχεσθαι. Ξε. ἀπ. 1, 2, 22. Βληθεὶς μετεστράφη. Ξε. Κυ. 8, 3, 28. Οὐδὲ τοῦτο πώποτε ἐπείσθην ὡς ἡ ψυχή, ὅταν τοῦ σώματος ἀπαλλαγῇ, τέθνηκεν. Ξε. Κυ. 8, 7, 19. Οὐκ ἔστι χωρίον ἐγγὺς ὅποι ἂν μαλακισθέντες σωθείητε. Θ. 7, 77, 7. — Εὐωχηθέντες ὑβρίζουσιν. Ἀρ. ἐκ. 664. Ἡ βουλὴ συνειστιάθη. Δη. 19, 190. Ἐκεῖ ἐστι πόα καθίζεσθαι ἢ κατακλιθῆναι. Πλ. Φαῖ. 229, b. Χρὴ ὕπνου

ἐγκρατῆ εἶναι, ὥστε δύνασθαι καὶ ὀψὲ κοιμηθῆναι. Ξε. ἀπ. 2, 1, 3. Ὄναρ ἰδὼν ἐξηγέρθη. Ξε. Κυ. 8, 7, 2. — Ἐποίησα οὐδὲν ἐφ' ᾧ ᾐσχύνθην. Ξε. ἀπ. 2, 2, 8. Ἀνιαθεὶς κατέσχε τὸν φθόνον. Ξε. Κυ. 4, 6, 4. Οἱ τῶν παραυτίκα ἡδονῶν ἀπεχόμενοι οὐχ ἵνα μηδέποτε εὐφρανθῶσι, τοῦτο πράττουσιν. Ξε. Κυ. 1, 5, 9. Ἐπειδάν τις σφόδρα ἡσθῇ ἢ φοβηθῇ ἢ λυπηθῇ ἢ ἐπιθυμήσῃ, κακὸν ἔπαθεν ἀπ' αὐτῶν. Πλ. Φαιδ. 83, b. Ὡς ἤκουσε τοῦ ἀγγέλου, ἐξεπλάγη. Ξε. Κυ. 3, 1, 1. Πρὸς τὰς ἀγγελίας κατεπλάγη. Θ. 6, 40, 2. Οἱ ἀγαθοὶ ἄν τι ὀργισθῶσι τοῖς γονεῦσιν, αὐτοὶ ἑαυτοὺς παραμυθοῦνται. Πλ. Πρω. 346, b. Θυμωθεὶς τοῖς αἰτίοις σπουδαιότερον εἶπον ἃ εἶπον. Πλ. πολ. 536, c. Μὴ ψευσθῆναι ποιήσωμεν τῶν ἐλπίδων τοὺς εὔνους ἡμῖν ὄντας. Ἰσ. 6, 108. — Μελέτα περὶ καλῶν ἐπιτηδευμάτων λέγειν, ἵνα συνεθισθῇς ὅμοια τοῖς εἰρημένοις φρονεῖν. Ἰσ. 2, 38. (Παθήματα μεγάλα ξυνηνέχθη γενέσθαι τῇ Ἑλλάδι. Θ. 1, 23, 1.) Πρὸς τοὺς πολίτας μετὰ πραότητος προσηνέχθην. Ἰσ. 3, 32. Διενεχθέντες οἱ Λακεδαιμόνιοι καὶ οἱ Ἀθηναῖοι ἐπολέμησαν πρὸς ἀλλήλους. Θ. 1, 18, 6. Νομίζομεν τὰς μεγάλας ἔχθρας μάλιστ' ἂν διαλύεσθαι ἤν τις μετρίως ξυναλλαγῇ. Θ. 4, 19, 2. Νῦν πρὸς ἀλλήλους δ' ἀντιλογιῶν πειρώμεθα καταλλαγῆναι. Θ. 4, 59, 3. — Θάρσει· λέγων τἀληθὲς οὐ σφαλεῖ ποτε. Σο. Τηρ. 513 (526).

A. 2. Manche der angeführten Verben finden sich eben so wohl auch in der eig. passiven Bedeutung, wie ἀθροίζεσθαι, νομίζεσθαι, κινεῖσθαι, φέρεσθαι, σῴζεσθαι; von den übrigen erscheinen die Simplicia überhaupt und die Komposita wenigstens in der uneigentlichen Bedeutung nicht leicht anders als in medial passivem Sinne. Πείθεσθαι, πεισθῆναι heißt sowohl überredet werden, sich überreden, bewegen lassen als glauben, trauen, gehorchen, hat aber in der letztern Bedeutung das Futur πείσομαι. Φαίνεσθαι (φανθῆναι) heißt gezeigt werden, φαίνεσθαι, φανῆναι, φανήσεσθαι und φανεῖσθαι erscheinen. Ἀσκληπιὸς ὑπὸ χρυσίου ἐπείσθη πλούσιον ἄνδρα θανάσιμον ἤδη ὄντα ἰάσασθαι. Πλ. πολ. 408, c. Ἦ ῥᾳδίως πεισθησόμεθα τῷ παντελῶς ὄντι μὴ παρεῖναι ζωήν; Πλ. σοφ. 248, e. — Τὸν μῦθον ὅπως ἂν πεισθεῖεν, ἔχεις τινὰ μηχανήν; Πλ. πολ. 415, c. Ὁ πεισθεὶς τῷ νόμῳ ἀναίσθητος τῶν ἀπ' αὐτοῦ κακῶν γίγνοιτ' ἄν. Πλ. νό. 843, a. Ἡμεῖς οὐ πεισόμεθα αὐτοῖς ἀμφότερα. Πλ. πολ. 408, c. Πότε οὕτως Ἀθηναῖοι ὥσπερ Λακεδαιμόνιοι πείσονται τοῖς ἄρχουσιν; Ξε. ἀπ. 3, 5, 16. — Θάνατον ὡρίσατο, ἐὰν ἀποφανθῇ χρήματα εἰληφώς. Δεί. 1, 104. Ἡ Σπάρτη δυνατωτάτη τε καὶ ὀνομαστοτάτη ἐν τῇ Ἑλλάδι ἐφάνη. Ξε. Λακ. π. 1, 1. Οὐ πάνδεινον φανεῖται ἡ ἀδικία, εἰ θανάσιμον ἔσται τῷ λαμβάνοντι· ἀπαλλαγὴ γὰρ ἂν εἴη κακῶν· ἀλλὰ μᾶλλον οἶμαι αὐτὴν φανήσεσθαι πᾶν τοὐναντίον τοὺς ἄλλους ἀποκτιννῦσαν. Πλ. πολ. 610, d.

A. 3. Einige der hieher gehörigen Passive nehmen transitive Bedeutung und einen Ac. an. So περαιοῦσθαι z. B. πέλαγος über ein Meer setzen; φοβεῖσθαι, κατα- und ἐκπλήσσεσθαι. S. § 46, 10, 1.

A. 4. Da diese Bedeutung der medialen sehr nahe verwandt ist, so schwanken mehrere der hieher gehörigen Verben zwischen dem passiven und medialen Aorist. Man s. im Index der Anomala γυμνάζεσθαι, αὐλίζεσθαι, ὀρέγεσθαι, ἀνάγεσθαι unter ἄγειν, ὁρμίζεσθαι, ὁπλίζεσθαι, μαλακίζεσθαι. Über ἀπορεῖσθαι ꝛc. 8 A. 9. Μάλιστ' ἂν παροξυνθείης ὀρεχθῆναι τῶν καλῶν ἔργων, εἰ καταμάθοις ὅτι καὶ τὰς ἡδονὰς ἐκ τούτων μάλιστα γνησίως ἔχομεν. Ἰσ. 1, 46. Τίς τῶν μεγίστων δειλὸς ὢν ὠρέξατο; Εὐ. Ἀρχ. 9 (242), 3.

III. Medium.

7. Die mediale Form, eine Abart der passiven, auch dem Sinne nach mit dieser verwandt, stellt die Thätigkeit als eine solche vor, durch die das Subjekt (entweder unmittelbar oder durch ihm Angehöriges) afficiert wird. [Poppo De Graecorum verbis mediis,

passivis, deponentibus recte discernendis Progr. 1827 u. Mehlhorn i. d. Jahrb. f. Phil. u. Päd. 1, 1 S. 14 ff.]

8. Afficiert werden kann das Subjekt zunächst subjektiv. Während nämlich das Aktiv die Thätigkeit bloß als Thatsache vorstellt, bezeichnet das Medium sie oft als Werkthätigkeit, bei der Kräfte oder Mittel des Subjekts in Anspruch genommen werden: dynamisches Medium.

A. 1. Daher heißt z. B. πόλεμον ποιεῖν einen Krieg bewirken, anstiften; πόλεμον ποεῖσθαι Krieg führen mit Aufwendung seiner Kräfte und Mittel. So sind die zahlreichen Umschreibungen durch ποιεῖσθαι mit einem Ac. viel nachdrucksvoller als das einfache, dem Ac. stammverwandte Verbum. (Die κοινή aber bevorzugt ποιεῖν, besonders bei Hinzufügung eines prädikativen Adjektivs = efficere.) (Als Passiv erscheint für diese Sprechweise γίγνεσθαι [z. Xe. An. 1, 2, 17], selten ποιεῖσθαι.) Aus der dynamischen Bedeutung des Mediums erklärt sich auch ποιεῖσθαι halten, glauben. Außerdem kann dies Wort auch heißen (für) sich machen nach R. 10 und (für) sich machen lassen nach R. 11. Τοὺς τὸν πόλεμον ποιοῦντας ὡς τῆς δημοκρατίας κηδομένους εὔνους εἶναι νομίζομεν. Ἰσ. 8, 51. Ἆγις οὐκ ἐκ παρέργου τὸν πόλεμον ἐποιεῖτο. Θ. 7, 27, 3. Μηδεὶς ὑμῶν ὀρρωδείτω μετὰ τοῦ δικαίου ποιούμενος τοὺς κινδύνους. Ἰσ. 14, 42. Δεῖ τὸν καλὴν ἀρχὴν τοῦ βίου ποιούμενον αὐτοῦ πρότερον ἢ τῶν αὐτοῦ ποιήσασθαι τὴν ἐπιμέλειαν. Ἰσ. 15, 290. (vgl. z. Th. 1, 50, 2.) Περὶ τοῦ δικαίου καὶ ἀρετῆς πρῶτον τοὺς λόγους ποιησόμεθα. Θ. 3, 10, 1. (Γιγνομένων λόγων οὐκ ἔφη τοὺς λόγους τοῖς ἔργοις ὁμολογεῖν. Θ. 5, 55, 1. z. 8, 14, 2.) — Οἱ Ἀθηναῖοι δεινὸν ἐποιοῦντο, εἰ τοὺς ἐπιβουλεύοντας σφῶν τῷ πλήθει μὴ εἴσονται. Θ. 6, 60, 3. Τὸ λέγειν ὡς δεῖ τοῦ φρονεῖν εὖ μέγιστον σημεῖον ποιούμεθα. Ἰσ. 15, 255. Πονηρὸν ἄνδρα μηδέποτε ποιοῦ φίλον. Μέ. μο. 453. Οἱ Λακεδαιμόνιοι ποιησάμενοι χαλκοῦς ἀνδριᾶντας δύο ὡς ἀντὶ Παυσανίου ἀνέθεσαν. Θ. 1, 134, 4.

A. 2. So heißt ferner λαμβάνειν nehmen, λαμβάνεσθαι fassen; παρέχειν heißt schlechtweg geben, darbieten, verschaffen, bewirken bloß mit Bezug auf das Objekt und den Empfänger: daher ἀγορὰν παρέχειν Lebensmittel zum Verkauf ausstellen, und auch πράγματα παρέχειν zu schaffen machen; παρέχεσθαι mit Aufbietung äußerer oder innerer Mittel des Subjekts gewähren, herstellen. Dabei kann in einzelnen Verbindungen beides erscheinen, z. B. ναῦς παρέχειν und παρέχεσθαι. [Reg. z. Th. u. d. W.] Ἆρα γιγνόμενοι λαμβάνομεν τὰς ἐπιστήμας; Πλ. Φαίδ. 76, e. Ἀνδρεία ψυχὴ λαμβανομένη τῆς ἀληθείας ἡμεροῦται. Πλ. πολιτ. 309, d. — Ἡ Κέρκυρα ναυτικὸν ἂν μέγιστον παράσχε τοῖς Πελοποννησίοις. Θ. 1, 68, 4. Ναυτικὸν παρείχοντο οἱ Χῖοι, οἱ δ' ἄλλοι πεζὸν καὶ χρήματα. Θ. 2, 9, 3. — Ἔστι παρέχοντα πράγματα τοῖς πολεμίοις τοῖς φίλοις ἀσφάλειαν παρέχειν. Ξε. Κυ. 5, 4, 20. Ἄρχοντός ἐστιν οὐχ ἑαυτὸν μόνον ἀγαθὸν παρέχειν. Ξε. Κυ. 2, 1, 11. Ἀσφάλεια θάρσος παρέχει. Θ. 3, 12, 2. — Τὴν τόλμαν ἡ ξύνεσις ἐχυρωτέραν παρέχεται. Θ. 2, 62, 5. Τὰ ἔργα χείρω τῶν λόγων παρέσχετο. Εὐ. Φοῖνιξ 4, β (222), 4. Τὰ θνητὰ σώματα, ὅσον ἂν ἐν αὐτοῖς χρόνον ᾖ, ἡ ψυχὴ ζῶντα παρέχεται. Ξε. Κυ. 8, 7, 19. — Φιλόπολις ὃς ἂν ἐκ παντὸς τρόπου πειραθῇ τὴν ἑαυτοῦ ἀναλαβεῖν. Θ. 6, 92, 3. [z. 2, 5, 3.] (Τὴν πόλιν ἐπείρασαν καταλαβεῖν. Θ. 2, 72, 3. z. Her. 6, 84, 1.)

A. 3. So wird auch θυγατέρα ἐκδιδόναι schlechtweg heißen eine Tochter ausgeben, ἐκδίδοσθαι sie ausstatten mit Bezug auf Mühe und Kosten [für Manche auch nach 10 A. 8 erklärbar. vgl. Elmsl. z. Med. 303 u. z. Her. 7, 224]; λύειν lösen, λύεσθαι mit seinem Gelde lösen; wie ἀπο-, ἐκ-, διαλύεσθαι ähnlich den Aufwand an Mitteln und Kräften andeutet. Ἥν τις ἐκδοῦναι βούληται θυγατέρα, πρὸς ἐμὲ δεῖ λέγειν. Ξε. Κυ. 8, 4, 18.

Πέλοψ πολλὰς ἐξέδοτο θυγατέρας τοῖς ἀρίστοις. Πλουτ. Θησ. 3. Οἱ νόμοι κελεύουσι τοῦ λυσαμένου ἐκ τῶν πολεμίων εἶναι τόν λυθέντα. Δη. 53, 11. Οὐ ῥᾴδιον ἐν χρόνῳ ὀλίγῳ μεγάλας διαβολὰς ἀπολύεσθαι. Πλ. ἀπ. 37, a. Ἡμᾶς τε τῆς ἀπορίας ἔκλυσαι καὶ αὐτὸς ἃ νοεῖς τῷ λόγῳ βεβαίωσαι. Πλ. Λάχ. 194, c. Οὐ διαλυόμεθα τοὺς πολέμους ἀλλ' ἀναβαλλόμεθα. Ἰσ. 4, 72.

A. 4. So unterscheiden sich viele Media von ihren Aktiven nur insofern, als sie mehr die Idee des geschäftlichen oder geistigen Kraftaufwandes erregen. Hieher gehören auch σκοπεῖν anschauen, betrachten und σκοπεῖσθαι aufmerksam anschauen, überlegen, prüfen. Dabei sind aber Media für bestimmte Verbindungen vorzugsweise oder ausschließlich im Gebrauche. Σωκράτης διαλεγόμενος προετρέπετο πάντων μάλιστα τοὺς συνόντας πρὸς ἐγκράτειαν. Ξε. ἀπ. 4, 5, 1. Τὸ τὰς γενομένας διαφορὰς πρὸς ἀλλήλους θέσθαι καλῶς, τοῦτ' εἰκότως ἤδη δοκεῖ ἀνδρῶν ἀγαθῶν καὶ σωφρόνων ἔργον εἶναι. Ἀνδ. 1, 140. Προς εὐδαιμονίαν οὐδὲν ἂν συμβάλοιτο τηλικαύτην δύναμιν ὅσηνπερ ἀρετὴ καὶ τὰ μέρη ταύτης. Ἰσ. 8, 32. Τὰ μικρὰ ῥᾴδιον τοῖς λόγοις ὑπερβαλέσθαι. Ἰσ. 10, 13. Πολλοί γε θνητῶν τῷ θράσει τὰς συμφορὰς ζητοῦσ' ἀμαυροῦν κἀποκρύπτεσθαι κακά. Εὐ. Ἰνώ 12 (420). Ἐκμαρτυρεῖν τὰς αὑτοῦ τύχας εἰς πάντας ἀμαθές· τὸ δ' ἐπικρύπτεσθαι σοφόν. Εὐ. Οἰδ. 14 (557). Ὀλίγον χρόνον δύναιτ' ἄν τις πλάσασθαι τὸν τρόπον τὸν αὑτοῦ. Λυ. 19, 60. Ὀρθῶς ἂν ὁριζοίμεθα ὁριζόμενοι δικαίους εἶναι τοὺς εἰδότας τὰ περὶ ἀνθρώπους νόμιμα. Ξε. ἀπ. 4, 6, 6. Χρὴ τὰ μὲν βεβαιοῦσθαι τῶν νομίμων, τὰ δ' ἐπανορθοῦσθαι. Πλ. νό. 951, c. — Ἡ ψυχὴ τῷ σώματι προσχρῆται εἰς τὸ σκοπεῖν τι διά τινος αἰσθήσεως. Πλ. Φαίδ. 79, c. Ἔδοξέ μοι, ἐπειδὴ ἀπείρηκα τὰ ὄντα σκοπῶν, δεῖν εὐλαβηθῆναι μὴ πάθοιμι ὅπερ οἱ τὸν ἥλιον ἐκλείποντα θεωροῦντες καὶ σκοπούμενοι. Πλ. Φαίδ. 99, d. Οὕτω δεῖ περὶ παντὸς σκοπεῖν· ὅταν γάρ τι ταύτῃ σκοπούμενος ἕλῃς, οὕτως ἔμφρων περὶ τοῦτο γέγονας. Πλ. Φίλ. 17, e. Οὐ πάνυ συγχωρῶ τὸν ἐν τοῖς λόγοις σκοπούμενον τὰ ὄντα ἐν εἰκόσι μᾶλλον σκοπεῖν ἢ τὸν ἐν τοῖς ἔργοις. Πλ. Φαίδ. 100, a. Τὸ ἀριθμεῖν οὐκ ἄλλο τι θήσομεν τοῦ σκοπεῖσθαι πόσος τις ἀριθμὸς τυγχάνει ὤν. Πλ. Θε. 198, c. Ἠριθμοῦντο πολλοὶ ἅμα τὰς ἐπιβολάς. Θ. 3, 20, 3. — Δεῖ μετριάζειν ἐν ταῖς εὐπραξίαις καὶ προορωμένους τὸ μέλλον φαίνεσθαι. Δη. 20, 162. (Über κατῳκῆσθαι z. Th. 1, 120, 2.)

A. 5. Hieher gehören auch mehrere Komposita von δεικνύναι und φαίνειν, insofern sie eine Kraftäußerung durch That oder Intelligenz bezeichnen. Doch enthalten diese, besonders die eine Äußerung bezeichnenden, zum Teil mit dem Begriff: etwas als subjektive Ansicht vortragen. Ähnlich sind ψεύδομαι lüge, täusche, breche mein Wort (dagegen als MP. täusche mich nach 6 A. 1), προβάλλομαι schlage als mir beliebigen vor, ἐντέλλομαι trage als meinen Willen auf, ἐπαγγέλλομαι erbiete mich zu etwas von mir zu Gewährendem. Ἔστι καὶ πταίσαντ' ἀρετὴν ἀποδείξασθαι θανάτῳ. Εὐ. Αἰγ. 5 (11). Τὴν εὔνοιαν τὴν πρὸς ἡμᾶς ἐν τοῖς ἔργοις ἐνδείκνυσθε μᾶλλον ἢ ἐν τοῖς λόγοις. Ἰσ. 3, 61. Χαλεπὸν μὴ παραδείγμασι χρώμενον ἱκανῶς ἐνδείκνυσθαί τι τῶν μειζόνων. Πλ. πολιτ. 277, c. Δεῖ τὸν ἵππον ἑκόντα πάντα τὰ κάλλιστα καὶ λαμπρότατα ἐπιδείξασθαι. Ξε. ἱπ. 11, 6. Ἀναιδὲς δοκεῖ μὴ εἰδότας ἐπιστήμην ἀποφαίνεσθαι τὸ ἐπίστασθαι οἷόν ἐστιν. Πλ. Θε. 196, d. Ἕνα περὶ ἑνὸς ἀεὶ δεῖ λόγον ἀποφαίνεσθαι. Πλ. νό. 719, d. Τὸ μηδὲ ἄκοντά τινα ἐξαπατῆσαι ἢ ψεύσασθαι, μέγα μέρος εἰς τοῦτο ἡ τῶν χρημάτων κτῆσις συμβάλλεται. Πλ. πολ. 331, b. Στρατηγοὺς οἱ νομοφύλακες προβαλλέσθων. Πλ. νό. 755, c. Οἱ πατέρες πολὺ μᾶλλον ἐντέλλονται ἐπιμελεῖσθαι εὐκοσμίας τῶν παίδων ἢ γραμμάτων τε καὶ κιθαρίσεως. Πλ. Πρω. 325, d. Σωκράτης ἐθαύμαζεν εἴ τις ἀρετὴν ἀπαγγελλόμενος ἀργύριον πράττοιτο. Ξε. ἀπ. 1, 2, 7.

A. 6. Ähnlich schwankt die Bedeutung bei manchen Medien, die eine äußerliche Thätigkeit bezeichnen. So steht τίθεσθαι entweder mit Bezug

auf die Kraftäußerung oder darauf, daß dem Subjekt das Objekt angehört; τὰ ὅπλα sich aufstellen oder Halt machen. [z. Xe. An. 1, 5, 14. 6, 4.] Hieher gehört wohl auch ἀποδίδοσθαι verkaufen, eig. das Seinige als ein Schuldiges (ἀπο-) fortgeben. [z. Th. 6, 62, 4.] Ἀλκιβιάδης ὑπὲρ τοῦ δήμου ἔθετο τὰ ὅπλα. Δη. 21, 145. Σὺν τῷ νόμῳ δεῖ τὸν δικαστὴν τὴν ψῆφον τίθεσθαι. Ξε. Κυ. 1, 3, 17. Μόνῳ τῷ τυράννῳ οὔτε ἔχειν οὔτε καταθέσθαι τὰ κακὰ λυσιτελεῖ. Ξε. Ἱέρ. 7, 13. Οὐχ ἁπλῶς οὕτω κυρία ἐστὶ διαθήκη ἣν ἄν τις διάθηται. Πλ. νό. 922, c. Οἱ μεταβαλλόμενοι τὰς ἐργασίας οὐδὲ πρὸς ἓν τῶν ἔργων ἀκριβῶς ἔχουσιν. Ἰσ. 11, 16. Ἰδιῶται συνιστάμενοι καὶ κοινούμενοι τὴν τύχην ἀσφαλέστερον κινδυνεύουσιν. Ξε. π. πό. 4, 32. Συσκευάζου ὦ Κῦρε· ἤδη γὰρ εἰς θεοὺς ἄπει. Ξε. Κυ. 8, 7, 2. Ἀναξίβιος τοὺς ὑπολελειμμένους ἀπέδοτο· ὁ δὲ Κλέανδρος οὐδένα ἐπεπράκει. Ξε. ἀν. 7, 2, 6.

A. 7. [8.] Anfangen heißt ἄρχειν (eig. der erste unter mehreren sein), insofern ein anderer, ἄρχεσθαι insofern das Subjekt selbst als fortsetzendes zu denken ist. [z. Xe. An. 1, 3, 1 u. 6, 5.] Ἡ ὀκνεῖς ἄρξαι, μὴ αἰσχρὸς φανῇς, ἐὰν πρότερος τὸν ἀδελφὸν εὖ ποιῇς; Ξε. ἀπ. 2, 3, 14. Ἀρχόμενοι πάντες ὀξύτερον ἀντιλαμβάνονται. Θ. 2, 8, 1. [Πολέμου οὐκ ἄρξομεν, ἀρχομένους δὲ ἀμυνούμεθα. Θ. 1, 144, 3. u. dort die A. Vgl. G. Hermann Über Böckhs Behandlung der gr. Inschriften S. 127 f.]

A. 8. [7.] Auch von Intransitiven giebt es neben den Aktiven Media mit dem A. 4 angegebenen Unterschiede, der sich aber im einzelnen mannigfach modificiert. So heißt στρατεύειν einen Feldzug machen, στρατεύεσθαι Kriegsdienste thun, auch wo es für στρατεύειν zu stehen scheint, mehr die Werkthätigkeit als die bloße Thatsache bezeichnend, πολιτεύειν Bürger sein, als Bürger leben [z. Th. 4, 114, 1], πολιτεύεσθαι bürgerliche oder Staatsgeschäfte treiben; πρεσβεύειν Gesandter sein, πρεσβεύεσθαι durch eine Gesandtschaft verhandeln (bei Thuk., der es auch für das Aktiv gebraucht vgl. z. 1, 31, 3) oder auch Gesandten sein lassen, als Gesandten schicken nach 11 A. 1; βουλεύειν Rat sein, Rat geben, (im Ao. auch) festsetzen; βουλεύεσθαι erwägen, sich beraten, Entschlüsse fassen; συμβουλεύειν raten, συμβουλεύεσθαι mit jemand erwägen, ihn um Rat fragen. Dagegen ἀνακοινοῦν (τινί τι oder περί τινος) jemand wegen etwas befragen; ἀνακοινοῦσθαι sich mit jemand beraten. [z. Xe. An. 5, 6, 36 lat. A.] Οὐκ εἰκὸς ἀρχὴν ἐπὶ ἀρχὴν στρατεῦσαι. Θ. 6, 11, 2. Ὁ μὴ στρατευόμενος τὸ κοινὸν ἀδικεῖ. Ἀρλ. ῥητ. 1, 13. Ἐλθὼν εἰς Λακεδαίμονα ἔπειθεν αὐτοὺς στρατεύσασθαι. Λυ. 12, 58. — Γιγνώσκω τῶν ἀνθρώπων ἀσφαλέστατα τούτους οἰκεῖν οἳ ἂν τοῖς παροῦσιν ἤθεσι καὶ νόμοις, ἢν καὶ χείρω ᾖ, ἥκιστα διαφόρως πολιτεύωσιν. Θ. 6, 18, 8. Μάλιστα τούτους τιμῶσιν ἅπαντες καὶ θαυμάζουσιν οἵτινες ἀμφότερα δύνανται, καὶ πολιτεύεσθαι καὶ στρατηγεῖν. Ἰσ. 5, 140. Τὸ φιλόπολι οὐκ ἐν ᾧ ἀδικοῦμαι ἔχω, ἀλλ' ἐν ᾧ ἀσφαλῶς ἐπολιτεύθην. Θ. 6, 92, 3. — Ἀβραδάτης πρὸς τὸν Βακτριανῶν βασιλέα πρεσβεύων ᾤχετο. Ξε. Κυ. 5, 1, 2. (Οἱ Κορίνθιοι ἦλθον ἐς τὰς Ἀθήνας πρεσβευσόμενοι. Θ. 1, 31, 3. Ὁ Γύλιππος ἐς τὴν Θουρίαν πρεσβευσάμενος ἄρας παρέπλει τὴν Ἰταλίαν. Θ. 6, 104, 3.) Πρεσβευομένοις τοῖς Ἀθηναίοις πανταχόσε βοηθεῖν οὐδεὶς ἤθελεν. Πλ. νό. 698, d. — Βουλεύειν οὐκ ἔξεστι νεωτέροις τριάκοντα ἐτῶν. Ξε. ἀπ. 1, 2, 35. Ἡ σώφρων πόλις τῷ πλεῖστα εὖ βουλεύοντι προστίθησι τιμήν. Θ. 3, 42, 5. Μὴ ταχεῖς ἔστε περὶ ἀνδρὸς βουλεῦσαί τι ἀνήκεστον. Θ. 1, 132, 5. Ἐπὶ Κέκροπος αὐτοὶ ἕκαστοι ἐπολιτεύοντο καὶ ἐβουλεύοντο. Θ. 2, 15, 1. Οὐδεὶς μετ' ὀργῆς ἀσφαλῶς βουλεύεται. Μέ. μο. 415. Ταὐτόματον ἡμῶν κάλλιον βουλεύεται. Μέ. μο. 726. Οἱ Πλαταιῆς ἐβουλεύσαντο Ἀθηναίους μὴ προδιδόναι. Θ. 2, 74, 1. — Συμβουλευόμεθά σοι τί χρὴ ποιεῖν· σὺ οὖν συμβούλευσον ἡμῖν ὅ, τι σοι δοκεῖ κάλλιστον εἶναι. Ξε. ἀν. 2, 1, 17. Ὁ Ξενοφῶν ἐλθὼν εἰς Δελφοὺς ἀνεκοίνωσε τῷ θεῷ περὶ τῆς πορείας. Ξε. ἀν. 3, 1, 5. Ἐν ταῖς συνουσίαις, ὅταν τι ἀνακοινῶνταί σοι, ὁρῶ σε καλῶς συμβου-

λεύοντα. Ξε. ἀπ. 3, 7, 3. (Τῷ δυστυχοῦντί πως τερπνὸν τὸ λέξαι κἀποκλαύσασθαι πάλιν. Εὐ. Οἰ. 6 [567].)

A. 9. Einige Intransitive haben mediale Passive, welche die leidende Affektion des Subjekt bezeichnen, während die Aktive den Zustand schlechtweg ausdrücken, wie ἀπορεῖν in Verlegenheit, ratlos sein, ἀπορεῖσθαι an Verlegenheit leiden oder verlegen hin und her schwanken. Vgl. § 40 δαπανάω. [Vgl. Schömann z. Js. p. 192 s. u. z. Plut. Agis 17, 1.] Ὁ Νικίας ἔφη τοὺς Συρακοσίους τὰ μὲν ἀπορεῖν, τὰ δ' ἔτι ἀμηχανήσειν. Θ. 7, 48, 5. Τοῦθ' ἡμῶν ἀπορουμένων ἔτι μείζων κατεχύθη σκοτοδινία. Πλ. σοφ. 264, c. — Οὐδ' εἰ πονεῖ τις, δεῖ πόνου μνήμην ἔχειν. Σο. ΟΚ. 509. Οἱ διαπεφευγότες τὸν πονούμενον ᾠκτίζοντο. Θ. 2, 51, 4. — Οἱ Ἀθηναῖοι τοῖς ξυμμάχοις οὐ βουλομένοις ταλαιπωρεῖν προςῆγον τὰς ἀνάγκας. Θ. 1, 99, 1. Ὑμῖν ἔξεστι μηδὲν ταλαιπωρηθεῖσιν ἅπαντα διαπράξασθαι. Ἰσ. 3, 64. [Haase Lucubrr. p. 44.]

9. Objektiv kann das Subjekt des Mediums zunächst von seiner eigenen Thätigkeit als sie erleidend afficiert werden: transitives oder passives Medium.

A. So von γεύω lasse, mache kosten, γεύομαι mache mich kosten, genieße, von ψηφίζω lasse abstimmen, ψηφίζομαι stimme, beschließe, von παύω mache aufhören, παύομαι höre auf, von λούω wasche λούομαι wasche mich, bade mich, von τάσσω und ἵστημι stelle τάσσομαι und ἵσταμαι stelle mich, von ἅπτειν heften ἅπτεσθαι berühren, angreifen, von ἔχω halte ἔχεσθαι. ἀπέχεσθαι etc., von ἱέναι werfen ἵεσθαι stürzen, ἀφίεσθαι u. μεθίεσθαι loslassen etc. Über ἵστασθαι mit dem Ao. στῆναι § 36, 11, 5 vgl. A. 6. Τῆς τοῦ ὄντος θέας οἵαν ἡδονὴν ἔχει ἀδύνατον ἄλλῳ γεγεῦσθαι πλὴν τῷ φιλοσόφῳ. Πλ. πολ. 582, c. Οἱ Ἀθηναῖοι Μιλτιάδην εἰς τὸ βάραθρον ἐμβαλεῖν ἐψηφίσαντο. Πλ. Γο. 516, d. Οὐδὲν ἥδιον τοῦ παύσασθαι ὀδυνώμενον. Πλ. πολ. 583, d. Χρὴ γυμνάζεσθαι καὶ λοῦσθαι. Πλ. νό. 942, b. Ἐτάξαντο ὡς ἀμυνούμενοι. Θ. 4, 35, 2. Τῶν ἀνθρώπων πρὸς τὰ λεγόμενα καὶ αἱ γνῶμαι ἵστανται. Θ. 6, 34, 7. — Πρέπει τοὺς δόξης ὀρεγομένους καὶ παιδείας ἀντιποιουμένους τῶν σπουδαίων εἶναι μιμητάς. Ἰσ. 1, 2. Τῶν πολιτικῶν πραγμάτων σφαλερόν ἐστιν ἅπτεσθαι. Ἀνδ. 4, 1. Πάντα ἐστὶ καλὰ ὅσα δικαιοσύνης ἔχεται. Πλ. νό. 859, e. Οὐκ ἔστιν ὅπως ἂν ἄμεινον οἰκήσειαν τὴν ἑαυτῶν ἢ ἀπεχόμενοι πάντων τῶν αἰσχρῶν. Πλ. συ. 178, e. Ἀλαλάξαντες ἵεντο εἰς τοὺς ἀνθρώπους. Ξε. ἀν. 4, 2, 7. — Μεγαλόφρονας νόμιζε τοὺς καλῶν ἐφιεμένους. Ἰσ. 2, 25. Οὗτοι κράτιστοι ἕκαστα γίγνονται οἳ ἂν ἀφέμενοι τοῦ πολλοῖς προσέχειν ἐπὶ ἓν ἔργον τράπωνται. Ξε. Κυ. 2, 1, 21. Οὐκ ἂν μεθείμην τοῦ θρόνου. Ἀρ. βά. 830. Ἀγησίλαος οὐ πόνων ὑφίετο, οὐ κινδύνων ἀφίστατο. Ξε. Ἀγ. 7, 1. — Χαλεπὸν τὰ τῶν φυλαττομένων λαμβάνειν. Ξε. ἀν. 2, 6, 24. [§ 52, 10, 7.] Εὑρήσεις ὡς ἐπὶ τὸ πολὺ τοὺς σεμνυνομένους ψυχροὺς ὄντας. Ἰσ. 2, 34. Über στεφανοῦσθαι und κείρεσθαι § 48, 4, 4.

10. Demnächst kann das Subjekt des Mediums seine Thätigkeit auch bloß für sich, in seinem Interesse ausüben: Medium des Interesses, der am häufigsten vorkommende Gebrauch.

A. 1. So προβάλλομαι halte mir (zum Schutze) vor, εὑρίσκομαι finde für mich, erlange, καθίσταμαι richte meinem Interesse gemäß ein etc. Κρεῖττον ἰέναι ἐπὶ τοὺς ἄνδρας προβαλλομένους τὰ ὅπλα ἢ μεταβαλλομένους. Ξε. ἀν. 6, 3, 16. Χθὼν πάντα κομίζει καὶ πάλιν κομίζεται. Μέ. μο. 539. Εἱμαρμένον (δὴ) τῶν κακῶν βουλευμάτων κακὰς ἀμοιβάς ἐστι καρποῦσθαι βροτοῖς. (Εὐ.) Στ. 5, 8. Οἴμοι κακοδαίμων, ὅτι γέρων ὢν ἠγόμην γυναῖκα. Ἀρ. ἐκ. 323. Οὐκ ἔστιν οὐδὲν βαρύτερον τῶν φορτίων ὄντως γυναικὸς προῖκα πολλὴν φερομένης. Ἀντιφάνης 280 (329). Πόλεμον αἱρομένων ὑμῶν καὶ ἐπαγομένων αὐτούς, εἰκὸς ἐλθόντας αὐτοὺς

τάδε πάντα πειράσασθαι ὑπὸ σφᾶς ποιεῖσθαι. Θ. 4, 60, 2. Τὴν ἐλευθερίαν ἑλοίμην ἂν ἀντὶ ὧν ἔχω πάντων. Ξε. ἀν. 1, 7, 3. Ἐν ἑκάστῃ αἱρέσει τὸν τεχνικώτατον δεῖ αἱρεῖσθαι. Πλ. Γο. 455, b. Ἡ πόλις ἡμῶν πρώτη νόμους ἔθετο καὶ πολιτείαν κατεστήσατο. Ἰσ. 4, 39. Χρὴ πάντα ἄνδρα ἡγησάμενον τὴν ἐγκράτειαν ἀρετῆς εἶναι κρηπῖδα, ταύτην πρῶτον ἐν τῇ ψυχῇ κατασκευάσασθαι. Ξε. ἀπ. 1, 5, 4. Βίον πορίζου πάντοθεν πλὴν ἐκ κακῶν. Μέ. μο. 63. — Διονύσιος μεγάλην δύναμιν περιεβάλετο. Ἰσ. 5, 65. Θνητοῖς ἀρήγων αὐτὸς εὑρόμην πόνους. Αἰσ. Προ. 267 (9). Ἐπειδάν τις τοὺς πολίτας ἀνδραποδισάμενος δουλώσηται, εὐδαίμονες καὶ μακάριοι κέκληνται. Πλ. πολ. 344, b. Μῶρος εἴ τις χρημάτων ἐπιθυμῶν ἥτταν προσίεται. Ξε. Κυ. 3, 3, 45. Θρασύλλος ὁπλίτας κατελέξατο χιλίους. Ξε. Ἑλ. 1, 1, 34. Εἶδε τὴν τοῦ γελωτοποιοῦ Θερσίτου ψυχὴν πίθηκον ἐνδυομένην. Πλ. πολ. 620, c. Τῆς Θρᾴκης ἡμῖν ἔξεσται ἀποτεμέσθαι χώραν. Ἰσ. 8, 24.

A. 2. Dieses Medium findet sich auch von manchen Verben, die ein mediales Passiv haben. (Τὴν παρ' ἑαυτῷ δύναμιν ἠθροίσατο. Ξε. Κυ. 3, 1, 19.) Μέγα μὲν ἔργον καὶ τὸ ἀρχὴν καταπρᾶξαι, πολὺ δ' ἔτι μεῖζον λαβόντα διασώσασθαι. Ξε. Κυ. 7, 5, 76. Ὅσα ἠνέγκω, πάντα εἰς τὸ κοινὸν κατέθηκας. Ξε. οἰκ. 7, 13. Δεῖ μένοντας αὐτοὺς περὶ τὴν ἀγορὰν τὰ μὲν ἀντ' ἀργυρίου ἀλλάξασθαι τοῖς τι δεομένοις ἀποδόσθαι, τοῖς δὲ ἀντὶ αὖ ἀργυρίου διαλλάττειν ὅσοι τι δέονται πρίασθαι. Πλ. πολ. 371, d.

A. 3. Von einigen Verben findet sich dieses Medium sogar neben dem transitiven R. 9. Über στήσασθαι § 36, 11, 6. Ἡ πόλις Ἀγησίλαον ἐστήσατο βασιλέα. Ξε. Ἀγ. 1, 5. Ὡμολόγησαν Αἰγινῆται τοῖς Ἀθηναίοις φόρον ταξάμενοι. Θ. 1, 108, 3. Παρασκευάζεσθε τὸν πόλεμον. Θ. 1, 85, 3. (Παρῄνει παρασκευάζεσθαι ἐς τὸν πόλεμον. Θ. 2, 13, 2.) Vgl. z. Th. 1, 85, 3.

A. 4. Von manchen Verben schwanken die Media zwischen der Bedeutung 10 und 8 A. 6. So heißt ἄγομαι ich führe mir und führe das Meinige; κομίζομαι trage für mich und erhalte als mir Zustehendes (zurück); φέρομαι trage oder erhalte für mich und mir Gebührendes 2c. Ναῦς γέμει φορτίων ὅσα ναύκληρος κέρδους ἕνεκα ἄγεται. Ξε. οἰκ. 8, 12. Σώφρονα ἀντὶ αἰσχρᾶς κομίσασθε χάριν. Θ. 3, 58, 1. Ἂν παύσησθε αὐτὸς οὐδὲν ἕκαστος ποιήσειν ἐλπίζων, τὰ ὑμέτερ' αὐτῶν κομιεῖσθε. Δη. 4, 7. Πονεῖν με χρή, πονοῦντα δ' ἄξιον μισθὸν φέρεσθαι. Εὐ. Ῥῆσ. 162. [z. Th. 3, 17, 2.] Οὐκ ἐγὼ ὁ λέγων, ἀλλ' ὁ πράξας τὴν ἀπέχθειαν αὐτῶν δίκαιος φέρεσθαί ἐστιν. Ἀντ. 3, 13, δ, 2. Ἡ κολακευτικὴ τῷ ἀεὶ ἡδίστῳ θηρεύεται τὴν ἄνοιαν καὶ ἐξαπατᾷ. Πλ. Γο. 464, d. Πολλῆς ἀνοίας καὶ τὸ θηρᾶσθαι κενά. Σο. Ἠλ. 1054. Καθίσταντο ὅ, τι αὐτοῖς ἐδόκει μὴ καλῶς ἔχειν. Θ. 5, 12. Εἰ ὀρθῶς προὐθυμήθην καί τι ἠνυσάμην, ἐκεῖσε ἐλθόντες τὸ σαφὲς εἰσόμεθα. Πλ. Φαίδ. 69, d. Χρὴ μηδενὸς κέρδους τὰ κοινὰ δίκαια προέσθαι. Δη. 6, 10.

A. 5. Manche Media werden, wenn auch von der Grundbedeutung des Aktivs ausgegangen, doch in eigentümlichen Beziehungen gebraucht. So heißt αἰτεῖν fordern schlechtweg, αἰτεῖσθαι für sich fordern, auch borgweise, und bitten; θύειν opfern, θύεσθαι für sich opfern d. h. um die Zukunft zu erforschen [Kr. ind. ad Xe. An. in θύειν]; γράφειν schreiben, γράφεσθαι nicht bloß für sich schreiben, sondern auch anklagen und für sich gesetzlich bestimmen. Eben so τίθεσθαι z. B. νόμον, während τιθέναι nur von dem Vorschlagen oder Aufstellen eines Gesetzes gesagt wird, gleichgültig, ob für sich oder für andere. Ἆρα τὸ θύειν δωρεῖσθαί ἐστι τοῖς θεοῖς, τὸ δ' εὔχεσθαι αἰτεῖν τοὺς θεούς; Πλ. Εὐθύφ. 14, c. Οὐ θέμις ἐστὶ μὴ φυλαττομένους σωτηρίαν αἰτεῖσθαι παρὰ τῶν θεῶν. Ξε. Κυ. 1, 6, 6. Ἐθυόμην εἰ βέλτιον εἴη ὑμῖν ἐμοὶ ἐπιτρέψαι ταύτην τὴν ἀρχήν. Ξε. ἀν. 5, 9, 31. — Ἐγραψάμην οἴκαδ' ἐλθὼν ὑπομνήματα, ὕστερον δὲ κατὰ σχο-

λὴν ἀναμιμνησκόμενος ἔγραφον. Πλ. Θε. 143, a. Ἀθηναίους ἔπεισαν οἱ γραψάμενοι Σωκράτην ὡς ἄξιος εἴη θανάτου τῇ πόλει. Ξε. ἀπ. 1, 1, 1. Ὅσα τὸ πᾶν πλῆθος γράφει μὴ πεῖσαν βίᾳ μᾶλλον ἢ νόμος ἂν εἴη. Ξε. ἀπ. 1, 2, 45. Τίνας νόμους πόλεως νομίζεις; Ἃ οἱ πολῖται, ἔφη, συνθέμενοι ἅ τε δεῖ ποιεῖν καὶ ὧν ἀπέχεσθαι ἐγράψαντο. Ξε. ἀπ. 4, 4, 13. Οἱ ἄρχοντες ἐπιχειροῦντες νόμους τιθέναι τοὺς μὲν ὀρθῶς τιθέασι, τοὺς δέ τινας οὐκ ὀρθῶς. Πλ. πολ. 339, c. Ὅταν νομοθετώμεθα, ὡς ἐσομένους ὠφελίμους τοὺς νόμους τιθέμεθα. Πλ. Θε. 178, a. Τοὺς ἀγράφους νόμους οὐχ οἱ ἄνθρωποι ἔθεντο, ἀλλὰ θεοὶ τοῖς ἀνθρώποις ἔθεσαν. Ξε. ἀπ. 4, 4, 19.

A. 6. In manchen Fällen schwankt der Gebrauch zwischen dem Aktiv und Medium. So sagte man τροπαῖον ἱστάναι, wie Thuk. immer, und ἵστασθαι. Selbst, wo eine bestimmtere Beziehung auf das Subjekt vorliegt, schien es doch nicht immer gerade nötig, das für sich durch die Wahl des Mediums auszudrücken. So findet sich (εἰς)πράττειν statt (εἰς)πράττεσθαι für sich einfordern und bei Thuk. und Ar. an mehreren Stellen μεταπέμπειν statt μεταπέμπεσθαι für, zu sich nach jemand schicken d. h. ihn kommen lassen. [z. Th. 1, 112, 1.] Οὐδέποτε Ἀλκιβιάδου ἡγουμένου τρόπαιον ὑμῶν ἔστησαν οἱ πολέμιοι. Ἰσ. 16, 21. Οἱ θεοὶ πολλῶν ὄντων ἐναντίων ὀλίγοις οὖσι τρόπαια ἵστασθαι διδόασιν. Ξε. Ἑλ. 2, 4, 14. Πάνυ πικρῶς εἰσπράττει με, ὥσπερ καὶ παρὰ τῶν ἄλλων εἰσπέπρακται. Δη. 35, 44. Ἡμεῖς δὲ χωρὶς τῶν ἀναγκαίων κακῶν αὐτοὶ παρ' αὐτῶν ἕτερα προσπορίζομεν. Μέ. 520 (534), 7. — Βασιλεὺς αὐτὸν μεταπέμπεται, πέμψας ἀγγέλους. Ξε. Ἑλ. 2, 1, 9.

A. 7. Einige Intransitive erhalten als Media eine Bedeutung, bei der sie eines Accusativs empfänglich sind. So von ἀμύνειν [wehren,] helfen ἀμύνεσθαι sich helfen, τινά sich gegen jemand verteidigen und jemand vergelten (Thuk.); von τιμωρεῖν helfen τιμωρεῖσθαι sich an jemand rächen, ihn bestrafen, ulcisci, von φυλάσσειν wachen φυλάσσεσθαί τινα, τι sich vor jemand, etwas hüten. [z. Th. 6, 87, 2.] Τὸν ἐπιόντα πολέμιον ὅσιόν ἐστιν ἀμύνεσθαι. Θ. 3, 56, 1. Τὸν εὖ καὶ κακῶς δρῶντα ἐξ ἴσου ἀρετῇ ἀμυνούμεθα. Θ. 4, 63, 2. Γενναῖόν ἐστι τοὺς ὁμοίους ἀπὸ τοῦ ἴσου τιμωρεῖσθαι. Θ. 1, 136, 3. Αἰδεῖσθαι χρὴ γύναι τὸ λίαν καὶ φυλάσσεσθαι φθόνον. Εὐ. Ἀντιόπη 8 (208).

A. 8. Das Interesse kann auch durch Entfernung des Objekts vom Subjekt erreicht werden. So πέμπεσθαι von sich fortschicken, τρέπεσθαι, τρέψασθαι von sich wenden, in die Flucht schlagen, während τρέπεσθαι, τραπέσθαι sich wenden, fliehen bedeutet. Ἡ Ἀθηναίων πόλις ὥσπερ νῆσος πᾶσιν ἀνέμοις προσάγεται ὧν δεῖται καὶ ἀποπέμπεται ἃ βούλεται. Ξε. π. πό. 1, 7. Οἱ ἄνθρωποι κακοπραγίαν, ὡς εἰπεῖν, ῥᾷον ἀπωθοῦνται ἢ εὐδαιμονίαν διασῴζοντα. Θ. 3, 39, 4. Ἀθηναῖοι πρόβατα καὶ ὑποζύγια ἐς τὴν Εὔβοιαν διεπέμψαντο. Θ. 2, 14, 1. Αἱ πόλεις οὐ ῥᾴδιον εἰπεῖν ὅσην μὲν ἡδονὴν ἔχουσιν ἐν τῷ τρέψασθαι τοὺς πολεμίους, ὅσην δὲ ἐν τῷ διώκειν. Ξε. Ἱέρ. 2, 15. Οἱ Ἕλληνες τὸ πάλαι ἐτράποντο πρὸς λῃστείαν. Θ. 1, 5, 1.

A. 9. Nicht alle Verba haben ein Medium. Auskunft über die einzelnen giebt das Verzeichnis der anomalen Verba. Selbst von denen, die ein Medium oder ein mediales Passiv haben, veranlaßt doch oft Deutlichkeit oder Gegensatz (besonders statt des transitiven Mediums) das Aktiv mit dem Reflexiv zu wählen. Πολλοὶ τῶν δυστυχησάντων ἀνέλαβον αὑτούς. Ἰσ. 6, 40. — Ὡς ἂν δύναιτο ἄνθρωπος ζῆν ἄνευ τῶν ἐπιτηδείων, οὐδεὶς τοῦτο αὐτὸς αὑτὸν πείθει. Ξε. οἰκ. 20, 15. [z. Th. 6, 33, 1.] Σαυτὸν φύλαττε τοῖς τρόποις ἐλεύθερον. Μέ. μο. 485. — Κῦρος ἐθήρευεν, ὁπότε γυμνάσαι βούλοιτο ἑαυτόν τε καὶ τοὺς ἵππους. Ξε. ἀν. 1, 2, 7. Τοῦ εὐτυχεῖν ἀεὶ πάρεχε σεαυτὸν τοῖς δρῶσιν ἄξιον. Μέ. 295 (301), 10. Εἰς πολλὰς ταραχὰς καταστήσομεν ἡμᾶς αὐτούς. Ἰσ. 6, 107. Εὔφραινε σαυτόν, πῖνε. Εὐ. Ἄλκ. 788. Μὴ θέλε λυπεῖν σαυτόν, εἰδὼς πολλάκις

ὅτι καὶ τὸ λυποῦν ὕστερον χαρὰν ἄγει. Εὐ. Ἀντιγ. 14 (174). Ἰάσων λόγῳ μόνον χρησάμενος αὐτὸν ηὔξησεν. Ἰσ. 5, 120.

A. 10. Eben so veranlassen Deutlichkeit und Gegensatz, oft auch dem Medium noch das Reflexiv beizufügen, nicht bloß wo es, wie bei dem dynamischen Medium, des Sinnes halber notwendig ist. Οἱ στρατιῶται προθύμους αὐτοὺς ἐν τοῖς κινδύνοις παρείχοντο. Πλ. νό. 964, b. Ἡ γυνὴ κατασκοπεῖται θαμὰ ἑαυτήν, ἐπισκοπεῖ δὲ καὶ εἴ τις ἄλλος αὐτὴν θεᾶται. Ξε. ἀπ. 2, 1, 22. Ἑαυτὸν ἀποκρύπτεται ὁ ποιητής. Πλ. πολ. 393, c. (Φθήσονται ἢ κακῶσαι ἡμᾶς ἢ σφᾶς αὐτοὺς βεβαιώσασθαι. Θ. 1, 33, 3.) Οὐδαμῇ προΐεντο ἑαυτούς. Δη. 19, 139. — Ὁ γεωργὸς οὐκ αὐτὸς ποιήσεται ἑαυτῷ τὸ ἄροτρον, εἰ μέλλει καλὸν εἶναι. Πλ. πολ. 370, c. Ἐάν τι μέρος τῆς πόλεως εἰρήνην ἢ πόλεμον πρός τινας ἑαυτῷ ποιῆται, θάνατος ἔστω δίκη. Πλ. νό. 955, b. Ἀρχὴν καὶ τυραννίδα τῶν Ἑλλήνων ὁρῶσιν ἑαυτῷ κατασκευαζόμενον Φίλιππον. Δη. 18, 66. Ὅσ' ἂν αὐτὸς ἑαυτῷ πορίσηται ἐπαινοῦμεν. Δη. 8, 22. Ἐγὼ τὸν νόμον ἐμαυτῷ τίθεμαι δοκιμάζων ὥσπερ εἴρηται ποιεῖν. Διόδ. κω. 3. [Über σφίσιν z. Th. 7, 5, 1.]

A. 15. Scheinbar findet sich dieser Inf. zuweilen auch bei Verben der Ansicht, am häufigsten bei δοκεῖν, das aber dann eig. gut scheinen bedeutet, wie ἡγεῖσθαι, νομίζειν ꝛc. für Recht halten. Δοκεῖ μοι ἄνδρας ἐλθόντας πρὸς Κῦρον ἐρωτᾶν ἐκεῖνον τί βούλεται ἡμῖν χρῆσθαι. Ξε. ἀν. 1, 3, 18. (Πολλάκις Σιμωνίδης ἡγήσατο τύραννον ἐπαινέσαι. Πλ. Πρω. 346, b. Vgl. Heindorf zu Plat. Prot. 88, Lobeck z. Phryn. p. 753 u. Kr. z. Th. 5, 40, 3.

A. 16. Nach den Begriffen des Vorsatzes (προαιρετικά) und Strebens (ἐφετικά) findet sich wie der Infinitiv, so erforderlichen Falles auch der Accusativ mit dem Infinitiv. So auch bei αἱρεῖσθαι wählen [z. Th. 6, 50, 5], δέχεσθαι sich gefallen lassen, προσποιεῖσθαι sich stellen, als ob. Οἱ ἀγαθοὶ ἐπιπονεῖν ἐθέλουσιν. Ξε. Κυ. 5, 4, 17. Καλῶς ἀκούειν μᾶλλον ἢ πλουτεῖν θέλε. Μέ. μο. 285. Ὅστις πένης ὢν ζῆν ἐν ἄστει βούλεται ἀθυμότερον ἑαυτὸν ποιεῖν ἐπιθυμεῖ. Μέ. 397 (405). Μὴ βούλου περιδεεῖς εἶναι τοὺς μηδὲν ἀδικοῦντας. Ἰσ. 2, 23. Οἱ ἀπιστοῦντες τῇ ἐξ ἑαυτῶν ξυνέσει ἀμαθέστεροι τῶν νόμων ἀξιοῦσιν εἶναι. Θ. 3, 37, 5. Οὐδεὶς ἀνὴρ εὔψυχος ἀξιοῖ λάθρᾳ κτεῖναι τὸν ἐχθρὸν ἀλλ' ἰὼν κατὰ στόμα. Εὐ. Ῥῆσ. 510. Οἱ Ἀθηναῖοι ἠξίουν σφίσι μηδὲν ἐναντιοῦσθαι. Θ. 4, 65, 4. [Τοὺς ἀναπειθομένους ὑμῶν δικαιῶ τοῖς κοινῇ δόξασι βοηθεῖν. Θ. 1, 140, 2.] Θανεῖν μὲν οὐ χρήζω, λιπὼν δ' ἂν οὐδὲν ἀχθοίμην βίον. Εὐ. Ἡρ. 1016.

Ὦ φιλόζῳοι βροτοί, οἳ τὴν ἐπιστείχουσαν ἡμέραν ἰδεῖν ποθοῦσ' ἔχοντες μυρίων ἄχθος κακῶν. Εὐ. Φοῖ. 9 (813). Οὐ χρὴ πλουτεῖν ζητεῖν τὸν εὐδαίμονα ἐσόμενον. Πλ. νό. 870, b. Μὴ σπεῦδε πλουτεῖν, μὴ ταχέως πένης γένῃ. Μέ. μο. 358. Σωκράτης μηχανικοὺς γίγνεσθαι τοὺς συνόντας οὐκ ἔσπευδεν. Ξε. ἀπ. 4, 3, 1. Οὐ λόγοισι τὸν βίον σπουδάζομεν λαμπρὸν ποιεῖσθαι μᾶλλον ἢ τοῖς δρωμένοις. Σο. ΟΚ. 1143. Οἱ διδάσκαλοι παρατιθέασι τοῖς παισὶν ἐπὶ τῶν βάθρων ἀναγιγνώσκειν ποιητῶν ἀγαθῶν ποιήματα, ἵνα ὀρέγωνται τοιοῦτοι γενέσθαι. Πλ. Πρω. 325, e. Τύραννον πᾶς ἐφίεται φυγεῖν. Σο. Ἀκρ. 67 (351). Εἶναι τὸ ἀγαθὸν αὑτοῖς ἐρῶσιν. Πλ. συ. 206, a. Ὁρῶ ὑμᾶς ὡρμημένους στρατεύειν. Θ. 6, 20, 1. (Ἀγωνίσασθε τοῖς Ἕλλησιν ἄρξαι πρῶτοι τῆς ἐλευθερίας. Θ. 4, 87, 4. [z. 3, 38, 2. 8, 89, 4.] Διαμάχομαι μὴ μεταγνῶναι ὑμᾶς τὰ προδε-

Θ. 3, 40, 1. [vgl. z. 3, 40, 1.] Ἀμφισβητεῖ ἀνὴρ εἶναι. Αἰ. 2, 148. Ἀντιποιεῖται ταῦτα κατὰ πόλεμον λαβὼν εἰκότως ἔχειν. Αἰ. 2, 33.) — Ἑλοίμην (δεξαίμην) ἂν μᾶλλον ἀδικεῖσθαι ἢ ἀδικεῖν. Πλ. Γο. 469, c. 474, b. Προαιρεῖσθε τὸ κατεπεῖγον μᾶλλον πράττειν ἢ τῇ γαστρὶ χαρίζεσθαι. Ξε. ἀπ. 2, 1, 2. — Εἰσὶν ἀπατηλαί τινες δέσποιναι προςποιούμεναι ἡδοναὶ εἶναι, κυβεῖαί τε καὶ ἀνωφελεῖς ἀνθρώπων ὁμιλίαι. Ξε. οἰκ. 1, 20.

„Χρύσεα χαλκείων“ διαμείβεσθαι νοεῖς. Πλ. συ. 219, a. Ἐπὶ βλάβῃ τῇ τῶν γυναικῶν τις τυραννεῖν ἐπινοεῖ. Ἀρ. θε. 337. Ὦ Ζεῦ τί δρᾶσαι διανοεῖ με τήμερον; Ἀρ. θε. 71. Ὅστις γαμεῖν βουλεύετ᾽ οὐκ ὀρθῶς βουλεύεται, διότι βουλεύεται χοὔτω (καὶ οὕτω) γαμεῖ. Ἀναξ. 52, 1. Ἐπεβούλευε διαβάλλειν με πρὸς ὑμᾶς. Ξε. ἀν. 5, 6, 29. Γαμεῖν κεκρικότα δεῖ σε γιγνώσκειν ὅτι ἀγαθῶν μεθέξεις, ἂν λάβῃς μικρὸν κακόν. Μέ. 261 (648).

Ἕτοιμός εἰμι ἐπαινεῖν, ἄν τι καλῶς λέγῃς. Πλ. Γο. 510, b. Οὐδεὶς πώποτε ὦ δέσποτ᾽ ἀπέθαν᾽ ἀποθανεῖν πρόθυμος ὤν· τοὺς γλιχομένους δὲ ζῆν κατασπᾷ τοῦ σκέλους ἄκοντας ὁ Χάρων. Ἀντιφάνης 86. — Τί ἐν νῷ ἔχεις ποιεῖν; Πλ. Κρίτ. 50, a. Ἥκω ἐκμαθεῖν σπουδὴν ἔχων εἰ ταῦτ᾽ ἀληθῆ. Εὐ. Ἀνδρ. 1050. Νόμιζε πᾶσάν με προθυμίαν συνέξειν ταῦτά σοι πραχθῆναι. Ξε. Ἑλ. 5, 4, 27. — Πολλὴν πρόνοιαν ἔσχεν εὐσχήμως πεσεῖν. Εὐ. Ἑκ. 569. (Über den Inf. bei πείθεσθαι z. Th. 3, 48, bei ἐπιβουλεύειν z. Xe. An. 5, 6, 29.)

A. 17. Über den Inf. des **Futurs** nach diesen Verben § 53, 7, 11.

A. 18. Mit dem Inf. verbunden werden auch die (entgegengesetzten) Begriffe der **Furcht** wie der **Scheu** und des sich **Hütens**, **Hinderns**, **Verschiebens** u. ä., insofern der Begriff der **Abgeneigtheit**, des **Sträubens** in ihnen vorherrscht. Vgl. 56, 6, 5. Φοβοῦνται πανταχοῦ λέγειν τὰ μὴ σύμφορα βασιλεῖ. Ξε. Κυ. 8, 2, 12. Δέδοικα περὶ τῶν θεῶν διαλέγεσθαι. Πλ. Κρατ. 407, d. [z. Th. 1, 136, 1.] (Τὰς συμφορὰς δὴ τῶν κακῶς πεπραγότων οὐ πώποθ᾽ ὕβρισ᾽, αὐτὸς ὀρρωδῶν παθεῖν. Εὐ. Ἀνδρομέ. 19 (128). Ὀκνῶ προδότης καλεῖσθαι. Σο. Φι. 94. [vgl. Th. 1, 120, 3.] — „Φεύγει οὐδὲ μένει οὐδ᾽ αἰδεῖται κακὸς εἶναι.“ Πλ. πολ. 566, c. Πρὸ τοῦ μὲν αἰδὼς ἦν ἐμοὶ λέγειν τάδε. Αἰσχ. Ἀγ. 1204 (1163). Αἰσχύνεται δὲ τἀγάθ᾽ ἀσκήσας ἀνὴρ κακὸς κεκλῆσθαι πᾶς τις. Εὐ. Ἱκ. 912. Τὰ δίκαια πάντες αἰσχύνονται μὴ πράττειν. Δη. 16, 24. Θνητὸς πεφυκὼς μὴ εὐλαβοῦ τεθνηκέναι. Δίφ. 116. — Κακῶς παθεῖν ὑπὸ τῶν κρειττόνων οὐδὲν κωλύει καὶ τοὺς μηδὲν ἐξημαρτηκότας. Ἰσ. 10, 47. (Τοὺς ἱππέας ἐκώλυσε τοῦ καίειν. Ξε. ἀν. 1, 6, 2. vgl. § 47, 13.) Μηδεὶς νόμος ἀπειργέτω ποιεῖσθαι υἱόν. Πλ. νό. 929, c. Τὸ δαιμόνιόν μοι ἐναντιοῦται τὰ πολιτικὰ πράττειν. Πλ. ἀπ. 31. — Ἀνεβάλλετό μοι διαλεχθῆναι. Ξε. Ἑλ. 1, 6, 10. [Über φυλάσσειν μή- z. Th. 3, 23, 1.]

A. 19. Über μή nach diesen Begriffen s. § 54, 8, 9—11.

A. 20. In lockerem Verhältnisse bezeichnet der Inf. die Handlung, zu deren **Behuf** die Haupthandlung erfolgt und drückt so mittelbar auch eine beabsichtigte Folge aus: zu, um zu. Vgl. A. 12. So bei Verben, die ein anderes Objekt bei sich haben, wie auch bei Passiven und Neutren. Ἡ γῆ ἐν τῷ μέσῳ τοὺς καρποὺς τρέφει τῷ κρατοῦντι λαμβάνειν. Ξε. οἰκ. 5, 7. Οὐκ ἂν τὸν αὑτοῦ παῖδά τις δοίη κτανεῖν. Εὐ. Φοί. 966. [z. Th. 4, 19, 1.] Γοργίας παρέχει ἑαυτὸν ἐρωτᾶν τῶν Ἑλλήνων τῷ βουλομένῳ ὅ, τι ἂν τις βούληται. Πλ. Μέ. 70, c. Διέλαβον τὸ μέρος ἕκαστος φυλάττειν τοῖς θεοῖς. Ξε. ἀν. 5, 3, 4. Ὃς ἂν ὑμᾶς λάθῃ, τοῦτον ἀφίετε τοῖς θεοῖς κολάζειν. Δη. 19, 71. Τὸ ἥμισυ φυλάττειν κατέλιπε τὸ στρατόπεδον. Ξε. ἀν. 5, 2, 1. Τὴν ἡλικίαν σοῦ περιμένει ὁ πατὴρ ἐπιτρέπειν πάντα. Πλ. Λύ. 209, c. Ἡμᾶς ἔπεμψε τοὺς λόγους ὑμῖν φράσαι. Εὐ. Ἴων 1559. [z. Th. 4, 132, 3, vgl. z. Her. 1, 46, 2.] — Τὸ συμφέρον ἡ πόλις προὐτίθει σκοπεῖν. Δη. 18, 273. Ἄρχοντας εἵλεσθε ἄρχειν μου. Πλ. ἀπ. 28, d. Νομιοῦσί σε καὶ αὐτὸν καταδικάζειν σαυτοῦ πάντα τὰ ἔσχατα παθεῖν. Ξε. Κυ. 3, 1, 9. — Τοῖς μὲν ἡγεῖσθαι δέδοται, τοῖς δ᾽ ἕπεσθαι τέτακται. Ξε. Λακ. π. 11, 6. Δεῖ τοὺς ἄρχειν αἱρεθέντας τῶν

κτημάτων τῶν ἰδίων ἀμελεῖν. Ἰσ. 12, 145. Η θύρα ἡ ἐμὴ ἀνέῳκτο τῷ δεομένῳ εἰσιέναι. Ξε. Ἑλ. 5, 1, 14. — Πολλαὶ πέλται ἦσαν φέρεσθαι. Ξε. ἀν. 2, 1, 6. Ἐμοὶ οὐ τελέθει γενέσθαι τὰ ἱερὰ ἐξάγειν. Ξε. ἀν. 6, 4, 36. [z. An. 2, 2, 3.] — Ἀκμάζειν ἡγοῦμαι ἐρύκειν ἀπ' ἐμαυτοῦ τὰ κακά. Ξε. ἀν. 3, 1, 25. — Ξυνέβησαν Βυζάντιοι ὑπήκοοι εἶναι. Θ. 1, 117, 3. Ξυνέκειτο αὐτοῖς τῶν πυλῶν ἀνοιχθεισῶν ἐσπίπτειν τοὺς Ἀθηναίους. Θ. 4, 68, 4. [z. Th. 4, 68, 4. Über den Inf. nach ἀφικνεῖσθαι ꝛc. z. Th. 1, 128, 2.]

A. 21. In eben dem Verhältnisse steht der Inf. bei den hieher gehörigen Transitiven oft auch da, wo zu ihnen ein Objekt, wie z. B. τὶ, bloß zu ergänzen ist. Wie man nämlich sagt οἶνον πιεῖν ἔδωκά σοι (Eur. Kykl. 520) und οἶνόν μοι ἐγχεῖς πιεῖν (Ar. Wesp. 616), so auch bloß πιεῖν, φαγεῖν πέμπω (Xen. Kyr. 4, 5, 1 vgl. 7, 1, 1), δίδωμι Ar. Ritter 207, ἐγχέω (eb. 118), λαμβάνω (Eur. Kykl. 561). Διψῶντι πάντα προσφέρων σοφὰ οὐκ ἂν πλέον τέρψειας ἢ πιεῖν διδούς. Σο. ἀποσ. 702 (692). Πολλάκις οἱ κάμνοντες οὐκ ἐθέλουσι καῦσαι παρασχεῖν τῷ ἰατρῷ. Πλ. Γο. 456, b. — Ὑπόσχες Σωκράτει ἐξελέγξαι. Πλ. Γο. 497, b.

III. Der Infinitiv bei Begriffen der Vorstellung und Äußerung.

4. Bei den Begriffen der Vorstellung und Äußerung bezeichnet der Inf. zwar etwas Wirkliches, aber nur als subjektiv Aufgefaßtes oder Angenommenes.

A. 1. Wenn das Subjekt des Inf. mit dem des Hauptsatzes zusammenfällt, so wird es gar nicht oder im No. ausgedrückt; ein etwa zugehöriges Prädikat aber steht im Nominativ vgl. § 55, 2, 1; ebenso appositiv zugefügte Begriffe. Wenn das Subjekt des Inf. ein verschiedener Begriff ist, so tritt der Ac. mit dem Inf. ein. Nicht gescheut wurden zwei Accusative, wenn der Sinn die Zweideutigkeit beseitigt. Παντάπασιν εἶναι δίκαιος κοὐ δοκεῖν εἶναι θέλει. Φιλή. 92, 8. Ἐοίκασιν οἱ θεοὶ πολλὴν τῶν ἀνθρώπων ἐπιμέλειαν ποιεῖσθαι. Ξε. ἀπ. 4, 3, 12. Πιστεύουσιν ἀλλήλοις μηδὲν αἰσχρὸν προστάττειν τοῖς παισίν. Ξε. Λακ. π. 6, 2. Ἔλπιζε τιμῶν τοὺς γονεῖς πράξειν καλῶς. Μέ. μο. 155. Ὧν γ' ἂν μὴ ὦσι νόμοι, γνώμῃ τῇ δικαιοτάτῃ δικάσειν ὀμωμόκατε. Δη. 39, 40. Προφασίζεται ἀρρωστεῖν. Δη. 19, 124. — Δόξει τις ἀμαθεῖ σοφὰ λέγων οὐκ εὖ φρονεῖν. Εὐ. Βάκ. 480. Ἠλίθιός ἐστιν εἴ τις οἴεται διὰ τὸν πλοῦτον μηδὲν ἐπιστάμενος δόξειν τι ἀγαθὸς εἶναι. Ξε, ἀπ. 4, 1, 5. Ὅταν εὔπορῶν τις αἰσχρὰ πράττῃ πράγματα, τί τοῦτον ἀπορήσαντα πράξειν προσδοκᾷς; Στ. 2, 3. (Καταδικάζω ἐμαυτοῦ, εἴ τινος βιαίου ἐξάρχω, τῆς ἐσχάτης δίκης ἄξιος εἶναι. Ξε. ἀν. 6, 4, 15. Κελεύει ἐάν τις καταγνωσθῇ ἀδικεῖν, ἀποθανεῖν εἰς τὸ βάραθρον ἐμβληθέντα. Ξε. Ἑλ. 1, 7, 20.) Μηδέποτε μηδὲν αἰσχρὸν ποιήσας ἔλπιζε λήσειν. Ἰσ. 1, 16. Βοιωτοὶ ἀπειλοῦσιν αὐτοὶ καθ' ἑαυτοὺς ἐμβαλεῖν εἰς τὴν Ἀττικήν. Ξε. ἀπ. 3, 5, 4. — Οὐδένα οἶμαι δαιμόνων εἶναι κακόν. Εὐ. Ἰφ. Τ. 391. Ὅ, τι ἂν ποιῇς νόμιζ' ὁρᾶν θεούς τινας. Γν. 241. Μεγίστην ἡγοῦμαι συμμαχίαν εἶναι καὶ βεβαιοτάτην τὸ τὰ δίκαια πράττειν. Ἰσ. 6, 59. Ἐγὼ ὑπέλαβον χρησίμους εἶναι θεοὺς τἀργύριον ἡμῖν καὶ τὸ χρυσίον μόνον. Μέ. 526 (537), 3. Σωκράτης τὸ ἀγνοεῖν ἑαυτὸν ἐγγυτάτω μανίας ἐλογίζετο εἶναι. Ξε. ἀπ. 3, 9, 6. — Οὔποτε φήσω γάμον εὐφραίνειν πλέον ἢ λυπεῖν. Εὐ. Ἀλκ. 238. Πρωταγόρας ἔλεγε πάντων χρημάτων μέτρον εἶναι ἄνθρωπον. Πλ. Κρατ. 386, a. Πάντες ἂν ὁμολογήσαιτε ὁμόνοιαν μέγιστον ἀγαθὸν εἶναι πόλει, στάσιν δὲ πάντων κακῶν αἰτίαν. Λυ. 18, 17. Μὴ κατόκνει μακρὰν ὁδὸν πορεύεσθαι πρὸς τοὺς διδάσκειν τι χρήσιμον ἐπαγγελλομένους. Ἰσ. 1, 19. Ἠτιῶντο αὐτοὺς καὶ Κορινθίους πεῖσαι μὴ συστρατεύειν. Ξε. Ἑλ. 3, 5, 5. — Τὸν ζῶντα

καίνειν τοὺς τεθνηκότας λέγω. Αἰσ. Χο. 886 (874). [Vgl. Th. 6, 10, 1, Her. 1, 114, 2.]

A. 2. Nach δοκῶ, λέγομαι und diesem ähnlichen Passiven erscheint der No. mit dem Inf., wenn das Subjekt, der Ac. mit dem Inf., wenn dessen Inhalt der Hauptbegriff ist. Ἔδοξε σκηπτὸς πεσεῖν εἰς τὴν οἰκίαν καὶ ἐκ τούτου λάμπεσθαι πᾶσα. Ξε. ἀν. 3, 1, 11. Πρὸς δύο οὐδ' ὁ Ἡρακλῆς λέγεται οἷός τ' εἶναι. Πλ. Φαίδ. 89, c. Λέγεται καὶ τοὺς θεοὺς ὑπὸ τοῦ Διὸς βασιλεύεσθαι. Ἰσ. 3, 26. Ἤγγελταί γε δεῦρο ἥ τε μάχη πάνυ ἰσχυρὰ γεγονέναι καὶ ἐν αὐτῇ πολλοὺς τῶν γνωρίμων τεθνάναι. Πλ. Χαρ. 153, b. Ἔρως ὁμολογεῖται παρὰ πάντων μέγας θεὸς εἶναι. Πλ. συ. 202, b. Ὁμολογεῖται τοὺς ἀπὸ Διὸς εὐγενεστάτους τῶν ἡμιθέων εἶναι. Ἰσ. 9, 13. Κριθέντες μηδὲν συνειδέναι ἀφείθησαν. Ξε. Ἑλ. 5, 4, 23.

A. 3. Die persönliche Konstruktion, der bloße No. mit einem aus dem Verbum des Hauptsatzes zu denkenden Inf., ist bei δοκῶ, ἔοικα, φαίνομαι und Passiven, wie λέγομαι, auch in Zwischensätzen mit ὡς üblich. [z. Xe. An. 1, 4, 5 vgl. z. Th. 7, 86, 4.] Κακῶς ἄρ' ὄντως εἶχες, ὥς γ' ἐμοὶ δοκεῖς. Ἀρ. νε. 1271. Ὄχλον παρέξεις, ὡς ἔοικας, ὦ γύναι. Εὐ. Μηδ. 337. Οὐχ ἕπου τοῖς λεχθεῖσιν, ὡς φαίνει. Πλ. πολιτ. 280, b. Οἱ Εὐρυτᾶνες ὠμοφάγοι εἰσίν, ὡς λέγονται. Θ. 3, 94, 4.

A. 4. Zuweilen erscheinen von Verben der Vorstellung und Äußerung Aktive ohne Inf. bloß mit zwei Accusativen, wie δοκεῖν und Passive bloß mit zwei Nominativen, wobei man ohne Not εἶναι zu ergänzen pflegt, da jene Verba auch an sich ein Prädikat einem Subjekt anfügen können. Νόμιζ' ἀδελφοὺς τοὺς ἀληθινοὺς φίλους. Μέ. μο. 377. [Cobet N. L. p. 519.] Τὸ κέρδος ἡγοῦ κέρδος, ἂν δίκαιον ᾖ. Μέ. μο. 503. Λόγον παρ' ἐχθροῦ μή ποθ' ἡγήσῃ φίλον. Μέ. μο. 325. Ἐγὼ μὲν ἄπιστον καὶ θεοῖς ἐχθρόν, οὐ μόνον ἀνθρώποις, ὑπολαμβάνω τὸν τῶν γονέων ἀμελοῦντα. [Δη. 25, 66]. Τὸ μηδὲν ἀδικεῖν ἐκμαθεῖν ἀστεῖον ἐπιτήδευμα κρίνω τῷ βίῳ. Μέ. 277 (284). — Κεφάλαιον παιδείας λέγομεν τὴν ὀρθὴν τροφήν. Πλ. νό. 643, c. Τοὺς δικαίους τῶν κενῶν δοξασμάτων, κἂν ὦσι δούλων, εὐγενεστέρους λέγω. Εὐ. Μελα. 11 (514), 3. Φασὶν κακίστους οἱ πονηροὶ τοὺς κακούς. Μέ. μο. 737. Τὰς καλὰς πράξεις ἁπάσας ἀγαθὰς ὡμολογήσαμεν. Πλ. Πρω. 359, e. Τὴν σιγήν σου συγχώρησιν θήσω. Πλ. Κρατ. 435, b. — Τὴν ἀληθῆ δόξαν ἐπιστήμην ὁρίζει. Πλ. Θε. 187, c. — Κρεῖσσον οὐδὲν ἀνάγκης εὗρον. Εὐ. Ἄλκ. 965.

(Οἱ τοιοῦτοι δοκοῦσι κακοί. Ξε. οἰκ. 4, 3.) Τὸ θανεῖν κακῶν μέγιστον φάρμακον νομίζεται. Εὐ. Ἡρ. 595. Τὸ θεῖον ὑπολαμβάνεται βοηθεῖν τοῖς ἀδικουμένοις. Ἀρλ. ῥητ. 2, 5 E. Κράτιστοι ἂν τὴν ψυχὴν δικαίως κριθεῖεν οἱ τά τε δεινὰ καὶ ἡδέα σαφέστατα γιγνώσκοντες καὶ διὰ ταῦτα μὴ ἀποτρεπόμενοι ἐκ τῶν κινδύνων. Θ. 2, 40, 3. Ταῦτα διέγνωσται ἄριστα τῶν ἐπιτηδευμάτων ἃ καὶ τοῖς πολλοῖς καὶ τοῖς ὀλίγοις ἁρμόττοντα μάλιστα τυγχάνει καὶ πλείστους ἐπιθυμητὰς ἔχει. Ἀνδ. 4, 6. (Γνωσθέντες ὧν ἐπεθύμουν εἰς ταραχὰς κατέστησαν. Ἰσ. 12, 105.) — Τὸ πάλαι τύραννος ὁ Ἔρως λέγεται. Πλ. πολ. 573, b. Αἴσχιστον ἀδικία καὶ σύμπασα ψυχῆς πονηρία ὡμολόγηται ἡμῖν. Πλ. πολ. 477, e. — (Νόσον ψυχῆς ἄνοιαν συγχωρητέον. Πλ. Τίμ. 86, b. Ἡδονὰς καὶ λύπας ὑπερβαλλούσας τῶν νόσων μεγίστας θετέον τῇ ψυχῇ. Πλ. Τίμ. 86, b.)

A. 5. Auch nach den Verben des Nennens findet sich besonders bei Her. und Platon der Ac. mit dem Inf. εἶναι, dieser für uns pleonastisch. Μάντεις ὀνομάζουσι τοὺς προσημαίνοντας εἶναι. Ξε. ἀπολ. 13. Πάσας ἡδονὰς ἀγαθὸν εἶναι προσαγορεύεις. Πλ. Φίλ. 13, b.

(A. 6. Zuweilen findet sich auch der Inf., wo eig. ein verbum finitum und das regierende Verbum mit ὡς als Zwischensatz eintreten sollte. Τοὺς

στρατηγούς, οἳ ἐνίκων ναυμαχοῦντες, ὅτι διὰ χειμῶνα οὐχ οἷοί τ' ἔφασαν εἶναι τοὺς ἐκ τῆς θαλάττης ἀνελέσθαι, θανάτῳ ἐζημιώσατε. Λυ. 12, 36.)

(A. 7. Andrerseits kann ὡς, ὃ mit einem solchen Verbum und doch mit Bezug auf dasselbe statt des Indikativs der Inf. oder ὅτι folgen. Τόδε, ὡς οἶμαι, ἀναγκαιότατον εἶναι λέγειν. Πλ. Φίλ. 20, d. Παντάπασιν, ὃ καὶ κατ' ἀρχὰς εἴπομεν τοῦδε τοῦ λόγου, ὅτι οὐδὲν ἀληθείας μετέχειν δέοι τὸν μέλλοντα ἱκανῶς ῥητορικὸν ἔσεσθαι. Πλ. Φαῖδ. 272, d. Kr. z. Her. 1, 65, 3.)

A. 8. Umgekehrt werden Verba wie δοκεῖν, οἴεσθαι, φάναι ohne ὅτι oder ὡς selbständigen Sätzen vor-, ein- oder zugefügt. [Ohne Kommata vgl. Th. 2, 54, 2.] Πρὸ τῶν Τρωικῶν οὐδὲν φαίνεται πρότερον κοινῇ ἐργασαμένη ἡ Ἑλλάς, δοκεῖ δέ μοι οὐδὲ τοὔνομα τοῦτο ξύμπασά πω εἶχεν, ἀλλὰ πρὸ Ἕλληνος οὐδὲ εἶναι ἡ ἐπίκλησις αὕτη. Θ. 1, 3, 1. Ἔλθοις ἂν ἡμῖν πάντα εἰδὼς τὰ τῶν πολεμίων· οἶμαι δὲ καὶ λόγων καὶ βουλευμάτων κοινωνὸν ἄν σε ποιοῖντο. Ξε. Κυ. 6, 1, 40. Οἶδ' ἐγὼ γνώσει κακοῦ θυμοῦ τελευτὴν ὡς κακὴ προσγίγνεται. Σο. ΟΚ. 1197. — Τὰ μὲν ἐκ τοῦ παραχρῆμά μοι διῄει, τὰ δὲ πρότερον ἐσκεμμένη, ὅτε μοι δοκεῖ συνετίθη τὸν ἐπιτάφιον λόγον. Πλ. Μενέξ. 236, b. Κύπρις τοῦτον λαβοῦσα πῶς δοκεῖς καθύβρισεν. Εὐ. Ἱπ. 446. Τίνες φῄς ἦσαν οἱ λόγοι; Πλ. Φαῖδ. 59, c. — Ταύτην πίνειν ἠνάγκαζον οὗτοί μοι δοκεῖ. Δη. 19, 197. Τί ἀπολογησόμεθα φῄς; Πλ. πολ. 420, b. [Vgl. Dial. 59, 1, 9. z. Xe. An. 2, 1, 16. 5, 8, 22 u. z. Th. 1, 3, 1.]

A. 9. In obliquer Rede findet sich zuweilen der Inf. auch nach (den einfachen) Relativen und den Konjunktionen ὡς, (ὥσπερ), ὅτε, ἐπεί. [Kr. Krit. Anal. 1 S. 156.] Οὐκ ἄν ποτε φαῖμεν ἀληθείᾳ χορὸν κακὸν ἀκολουθῆσαι, ἀλλ' ὑγιές τε καὶ δίκαιον ἦθος, ᾧ καὶ σωφροσύνην ἕπεσθαι. Πλ. πολ. 490, c. Ἔφη ἀφικνεῖσθαι τεταρταίους ὅθεν καθορᾶν ἄνωθεν διὰ παντὸς τοῦ οὐρανοῦ καὶ γῆς τεταμένον φῶς εὐθύ. Πλ. πολ. 616, b. Οἱ Λακεδαιμόνιοι δέκα ἄνδρας Σπαρτιατῶν προςείλοντο βασιλεῖ, ἄνευ ὧν μὴ κύριον εἶναι ἀπάγειν στρατιὰν ἐκ τῆς πόλεως. Θ. 5, 63, 3. — Ὡς ἀκοῦσαι τοὺς παρόντας, θόρυβον γενέσθαι φασίν. Δη. 19, 195. Λέγεται Ἀλκμαίωνι, ὅτε δὴ ἀλᾶσθαι αὐτόν, τὸν Ἀπόλλω ταύτην τὴν γῆν χρῆσαι οἰκεῖν. Θ. 2, 102, 4. Φασὶν ὑπὸ τῶν ἡδονῶν ἡττᾶσθαι καὶ οὐ πράττειν διὰ ταῦτα τὰ βέλτιστα, ἐπεὶ γιγνώσκειν. Πλ. Πρω. 353, a. [Zw. ist εἰ mit dem Inf. z. Th. 4, 98, 3.]

A. 10. Wenn ὅτι und ὡς mit dem Inf. stehen, so ist dieser gesetzt, als ob die Konjunktion nicht vorherginge, also eine Vermischung zweier Konstruktionen. Νομίζω ὅτι ὅστις ἐν πολέμῳ ὢν στασιάζει πρὸς τὸν ἄρχοντα, τοῦτον πρὸς τὴν ἑαυτοῦ σωτηρίαν στασιάζειν. Ξε. ἀν. 5, 9, 29. Ἐλπίζειν χρὴ ὡς ἄνδρας ἀγαθοὺς μᾶλλον ἢ κακοὺς αὐτοὺς γενήσεσθαι. Ξε. Ἑλ. 6, 5, 42.

A. 11. Nicht selten ist der Inf. auch, besonders zu den § 55, 3, 1 erwähnten Begriffen, aus dem Vorhergehenden oder wohl auch aus dem Folgenden zu ergänzen; wobei von dem zu ergänzenden Inf. selbst ein Objekt abhängen kann. [Kr. z. Dion. p. 117 s. u. Reg. z. Th. u. Infinitiv 5.] Μιλτιάδῃ τελευτήσαντι Χερσονησῖται θύουσιν ὡς νόμος οἰκιστῇ. Ἡρ. 6, 38 Ἀνὴρ ἀγαθὸς γίγνου, ὥσπερ σε εἰκός, ὄντα Σπαρτιάτην. Θ. 5, 9, 6. Ἁπλᾶς γε λύπας ἐξὸν (vgl. A. 4) οὐκ οἴσω διπλᾶς. Εὐ. Ἰφ. Τ. 688. Ἃ μὴ προςήκει μήτ' ἄκουε μήθ' ὅρα. Μέ. μο. 39. Οἱ πρόγονοι ἀμφοτέρων περιγεγόνασιν, ὡς ἑκατέρων προςῆκεν. Λυκ. 70. Πειθώμεθα οἷς ἂν ἡμᾶς καθήκῃ. Ξε. Κυ. 8, 1, 4. Κρεῖττον σιωπᾶν ἐστιν ἢ λαλεῖν ἃ μὴ πρέπει. Μέ. μο. 290. Ἃ δεῖ παρὼν φρόντιζε, μὴ παρὼν ἀπῇς. Αἰσ. ἀποσ. 271 (ἀδ. 431). Οἱ πρόγονοι συμβούλοις ἐχρῶντο τοιούτοις οἵοις χρὴ τοὺς εὖ φρονοῦντας. Ἰσ. 12, 151. — Ἀποκρίνασθε ὅ, τι κάλλιστόν τε καὶ ἄριστον ἔχετε. Ξε. ἀν. 2, 1, 9. Μίαν μὲν ναῦν λαμβάνουσι, τὰς δ' ἄλλας οὐκ ἐδυνήθησαν. Θ. 7, 25, 3. Ταῦτα τὰ ἐρωτικὰ ἴσως κἂν σὺ μυηθείης· τὰ δὲ τέλεα καὶ ἐποπτικὰ οὐκ οἶδ' εἰ οἷός τ' ἂν εἴης. Πλ. συ. 210, a. — Οἱ Ἀθηναῖοι ἐκκλησίαν ξυνέλεγον ἐς τὴν Πύκνα καλουμένην, οὗπερ καὶ ἄλλοτε εἰώθεσαν. Θ. 8, 97, 1. [vgl. Kr. z. Dem. 4, 1.] Βασιλεὺς τὰ μὲν ἔχει, τὰ δὲ μέλλει.

Ἰσ. 4, 136. Ἰφικράτης ὀξέως τὰς ναῦς ἐπληροῦτο καὶ τοὺς τριηράρχους ἠνάγκαζεν. Ξε. Ἑλ. 6, 2, 14. Τῇ αὐτῇ ἰδέᾳ ἐκεῖνά τε ἔσχον καὶ τὰ ἐνθάδε νῦν πειρῶνται. Θ. 6, 76, 3. Εἴ τις Ἀθηναίους φαίη πεφυκέναι ἐπὶ τῷ μήτε αὐτοὺς ἔχειν ἡσυχίαν μήτε τοὺς ἄλλους ἀνθρώπους ἐᾶν, ὀρθῶς ἂν εἴποι. Θ. 1, 70, 5. Εἰς ὄψιν ἦλθες ὧνπερ ἐξηύχου πάλαι (erg. εἰς ὄψιν ἐλθεῖν). Αἰσχ. Χο. 215 (1). — Εἰς μὲν τὰς ἄξουσιν, εἰς δὲ τὰς εὐλαβήσονται. Πλ. πολ. 467, d. Οἱ μισθοφόροι κακὸν μὲν οὐδὲν ποιοῦσι τὸν μηδὲν ἀδικοῦντα, τοὺς δὲ κακουργεῖν βουλομένους κωλύουσιν. Ξε. Ἱέρ. 10, 8. — Δεῖ αὐτούς τε ἄνδρας ἀγαθοὺς εἶναι καὶ τοὺς ἄλλους παρακαλεῖν. Ξε. ἀν. 3, 1, 44. Χειρίσοφος ἐλάμβανε τὰ ὅπλα καὶ τοῖς ἄλλοις παρήγγελλεν. Ξε. ἀν. 4, 3, 17. Εἴ τι εὑρίσκοιεν τῶν εἰρημένων μὴ ἀφειμένον ἀφῃροῦντο. Ξε. ἀν. 4, 1, 14. — Ἐξείη ἄν σοι, εἴ ποι βούλοιο, θεωρήσοντι πορεύεσθαι. Ξε. Ἱέρ. 11, 10. — Γίγνεσθε ἄνδρες οἵουσπερ ὑμᾶς οἱ Ἕλληνες ἀξιοῦσιν. Θ. 3, 14. Ὅρα μὴ τούτων μὲν ἐχθρὸς ᾖς, ἐμὸς δὲ προσποιῇ. Δη. 18, 125. Ἐγὼ μὲν κοινωνεῖν ἕτοιμος, οἶμαι δὲ καὶ Λάχητα τόνδε. Πλ. Λάχ. 180, a. Ὁ φθάσας τὸν μέλλοντα κακόν τι δρᾶν ἐπῃνεῖτο καὶ ὁ ἐπικελεύσας τὸν μὴ διανοούμενον. Θ. 3, 82, 5. Ἐς τὸ βαλανεῖον βούλομαι. Ἀρ. βά. 1279.

(A. 12. Der Inf. des Präsens kann auch aus einem andern Tempus ergänzt werden. Ἐκέλευσε τοὺς Ἕλληνας, ὥσπερ νόμος αὐτοῖς εἰς μάχην, οὕτω ταχθῆναι. Ξε. ἀν. 1, 2, 15. Vgl. Her. 8, 114. Über die Ergänzung eines passiven Inf. aus einem Aktiv Th. 3, 64, 2 u. 5, 28, 3.)

§ 56. Particip.

I. Das Particip prädikativ.

1. Das Particip, ein verbales Adjektiv, erscheint als solches auch in Ansehung seines Gebrauches, mit einigen, zum Teil nur scheinbaren Eigentümlichkeiten, die aus seinem Wesen erklärlich sind.

2. Als Adjektiv kann das Particip attributiv und so auch substantiviert (§ 43, 2 u. 4 mit den An.) prädikativ und appositiv eintreten.

3. Als Prädikat findet sich das Particip selbst in Verbindung mit dem einfachsten Prädikatsverbum *εἶναι*: ebenso bei *ὑπάρχειν*, dies mehr nur Demosthenisch. [Vgl. Th. 5, 83, 1.]

A. 1. Diese Ausdrucksweise stellt die Handlung als ein bestehendes Ergebnis vor. [Vgl. Aristot. Φυσ. ἀκρ. 1, 3, 10 u. z. Th. 1, 1, 1. 38, 2.] Demgemäß ist sie am meisten beim Part. Pr. und Pf. üblich. Εἰμὶ νῦν μὲν τυράννῳ ἐοικώς, τότε δὲ σαφῶς δοῦλος ἦν. Ξε. συ. 4, 32. Εἰ τοῖς πλέοσιν ἀρέσκοντές ἐσμεν, τοῖσδ' ἂν μόνοις οὐκ ὀρθῶς ἀπαρέσκοιμεν. Θ. 1, 38, 2. Μέτριος πρὸς ἅπαντας εἰμι, ἐλεήμων, εὖ ποιῶν πολλούς. Δη. 21, 101. — Ἦσαν ἀπιστοῦντές τινες Φιλίππῳ καὶ νοῦν ἔχοντες. Δη. 19, 53. Αἱ γνῶμαι δεδουλωμέναι ἁπάντων ἀνθρώπων ἦσαν. Πλ. Μενέξ. 240, a. — Ὅταν γνῶσιν αὐτὴν αὑτῆς τις ἔχῃ, γιγνώσκων που αὐτὸς ἑαυτὸν τότε ἔσται. Πλ. Χαρ. 169, e. — Ἐγὼ τὸ πρᾶγμά εἰμι τοῦτο δεδρακώς. Δη. 21, 104. Οὐδ' ᾔσθοντο ὅτε ἦν τετελευτηκὼς Ἁγνίας. Δη. 43, 64. Ὁ παραβὰς τίνα δοὺς δίκην ἀξίαν ἔσται δεδωκώς; Δη. 21, 50. Οὔτε συντεταγμένοι οὔτε μάχεσθαι παρεσκευασμένοι κατειλημμένοι ἔσονται. Ξε. Κυ. 4, 2, 21. (Ὁ παιδοτρίβης ἂν ἀποκτείνας αὐτὸν εἴη. Ἀντ. 3, δ, 4. Τὸ σὸν διδάξας τοὐμὸν οὐ μαθὼν ἔσει. Μέ. 1004 [684].) — Τοῦτο ὑπάρχειν ὑμᾶς εἰδότας ἡγοῦμαι. Δη. 18, 95.

A. 2. So stehen auch die (adjektivisch gewordenen) Participia von Impersonalien. Ὁσίως τὰ περὶ τὴν πόλιν διῴκησαν, ὥσπερ προσῆκον ἦν.

Ἰσ. 12, 124. Σφόδρ ἐστὶ σύμφορον τὸ μηδὲν ἀσκεῖν ὑγιὲς ἐν τῷ νῦν βίῳ. Ἀρ. πλ. 49.

A. 3. Es findet sich sogar ἔστιν ὤν, γιγνόμενος, wie auch ἔστιν (οὕτως) ἔχων; selten ὤν mit einem andern Particip. Οὐδαμοῦ τά γε μὴ ὄντα ὄντ' ἐστίν. Πλ. Εὐθύδ. 284, b. Ὑπόμνημα ἦσαν ὄντες οἱ στέφανοι. Δη. 22, 74. Προσήκει τό τε γεγονὸς εἶναι γεγονὸς καὶ τὸ γιγνόμενον εἶναι γιγνόμενον, ἔτι δὲ τὸ γενησόμενον εἶναι γενησόμενον καὶ τὸ μὴ ὂν μὴ ὂν εἶναι. Πλ. Τίμ. 38, a. b. Ἦσάν τινες καὶ γενόμενοι Νικίᾳ λόγοι πρότερον πρός τινας τῶν Κυθηρίων. Θ. 4, 54, 2. — Ἔστιν οὕτως ἔχον τε καὶ γεγονός. Πλ. Παρμ. 154, a. Ἔστιν οὐχ οὕτω ταῦτ' ἔχοντα. Δη. 20, 113. [Heindorf zu Plat. Phaid. 113.] — (Τοῦτό ἐστιν ἐν τοῖς οὖσι νόμοις κυρίοις ὑπάρχον καλὸν καὶ σαφές. Δη. 20, 96. — Σὺ ὢν δὴ διαφέρων πάντων τῶν ἐμφρόνων οὐχ ἕξεις εἰπεῖν; Πλ. νό. 963, b.) Vgl. Porson u. Schäfer zu Eur. Hek. 358.

A. 4. Am häufigsten steht so εἶναι mit einem (aktiven) Particip, das den Artikel bei sich hat. Vgl. § 50, 4, 3 u. 4. Νόμος ὁ βοηθῶν ἔστω τῷ τῆς πόλεως ξυνδέσμῳ μετὰ θεῶν. Πλ. νό. 921, c. Νοῦς ἔστιν ὁ διακεκοσμηκὼς πάνθ' ὅσα κατ' οὐρανόν. Πλ. νό. 967, b. Ὁ ἐνταῦθα ἑαυτὸν τάξας τῆς πολιτείας εἰμὶ ἐγώ. Δη. 18, 62.

(A. 5. Εἶναι in dieser Verbindung auszulassen, so daß also das Particip für das entsprechende verbum finitum stände, ist ein wenigstens der mustergültigen Prosa abzusprechender Gebrauch, wenn das Particip nicht etwa völlig adjektivisch geworden, wie z. B. ξυμφέρον Thuk. 3, 44, 1. [Vgl. indes Hermann z. Vig. 215. 227 und Göttling z. Ar. Pol. 287.] Nur προσῆκον, πρέπον, ἐξόν, δέον finden sich für προσῆκόν ἐστι ꝛc. Kr. Krit. Anal. 1 S. 153. u. Schömann z. Isai. S. 346. 443.)

A. 6. Ἔχειν mit dem Particip eines Präteritums (von einem Aktiv, Medium oder Deponens) bezeichnet eig. einen durch die Handlung begründeten und bestehenden Besitz: ἡρπακὼς ἔχει = ἥρπακε καὶ ἔχει. [Doch findet sich namentlich ἔχω mit dem Particip des Aorists, besonders bei Dramatikern, auch bloß als nachdrucksvollere Umschreibung. vgl. Dial. Syntax A. 8.] Ἀδελφὴν τὴν ἐμὴν γήμας ἔχεις. Σο. ΟΤ. 577. Κρεῖττον ἐμφανὴς φίλος ἢ πλοῦτος ἀφανής, ὃν σὺ κατορύξας ἔχεις. Μέ. 130 (128), 15. [vgl. Reg. z. Th. u. ἔχειν A.] Χωρία ᾤκουν ἰσχυρὰ οἱ Ταόχοι, ἐν οἷς καὶ τὰ ἐπιτήδεια πάντα εἶχον ἀνακεκομισμένοι. Ξε. ἀν. 4, 7, 1. (Ὠνούμενοι βαρβάρους ἀνθρώπους ἔχουσιν. Ξε. ἀπ. 2, 7, 6.) — Εἰς ἀτιμίαν τὴν πόλιν ἡμῶν ἡ τούτων πονηρία καὶ ψευδολογία καταστήσασα ἔχει. Δη. 19, 288. [Ποίῳ σὺν ἔργῳ τοῦτ' ἀπειλήσας ἔχεις; Σο. ΟΚ. 817. Τὸν λόγον σου θαυμάσας ἔχω. Πλ. Φαῖ. 257, c. Vgl. Valck. z. Eu. Phoi. 712.]

4. Eben so steht der No. des Particips bei Verben die ein modificiertes Sein ausdrücken, wie *τυγχάνειν*, *λανθάνειν*, *φαίνεσθαι*.

A. 1. Τυγχάνω [poet. auch κυρῶ] ὤν ꝛc. können wir meist übersetzen ich bin eben, gerade, zufällig; λανθάνω ὤν ꝛc. ich bin unbemerkt, unversehens; λανθάνω ἐμαυτὸν ποιῶν ꝛc. ich thue mir selbst unbemerkt vgl. § 46, 9. Über das Tempus des Particips § 53, 6, 8. Μέγιστον τῶν κακῶν τυγχάνει ὂν τὸ ἀδικεῖν. Πλ. Γο. 469, b. Οὐκ ἂν τύχοιεν γενόμενοι βασιλέων ἔκγονοι ἢ δυναστῶν τὰς φύσεις φιλόσοφοι. Πλ. πολ. 502, a. Ἄρχων ἀνὴρ πᾶς, ξύνεσιν ἢν ἔχων τύχῃ. Εὐ. Ἰφ. A. 375. — Λήσειν διὰ τέλους μὴ δόκει πονηρὸς ὤν. Μέ. μο. 329. Τοῦ οἴνου ἀφαιρεῖν χρή, ἕως λάθωμεν ὑδροπόται γενόμενοι. Ξε. Κυ. 6, 2, 29. Ὅστις ἥδεται λέγων ἀεί, λέληθεν αὑτὸν τοῖς ξυνοῦσιν ὢν βαρύς. Σο. Ἀλ. 90 (100). Οἱ τῆς αὑτῶν διανοίας ἀμελοῦντες λελήθασι σφᾶς αὐτοὺς ἅμα τοῦ τε φρονεῖν ἄμεινον καὶ τοῦ πράττειν βέλτιον τῶν ἄλλων ὀλιγωροῦντες.

Ισ. 8, 32. Σπουδῇ διαλεγόμενοι ἐλάθομεν ἡμᾶς αὐτοὺς παίδων οὐδὲν διαφέροντες. Πλ. Κρίτ. 49, a. — (Λέληθέ σε ὅτι ἡ ἰσότης ἡ γεωμετρικὴ μέγα δύναται. Πλ. Γο. 508, a.)

A. 2. In hypothetischen und relativen Sätzen steht τυγχάνειν auch ohne Particip, das dann aus dem Verbum des Hauptsatzes zu ergänzen ist. [Reg. z. Th. u. τυγχάνειν.] Ξένοι, ἐὰν (οὕτω) τύχωσιν, ἔστιν ὅτε καὶ ἀπέκτειναν ἀλλήλους. Ξε. Ἑλ. 4, 1, 34. Ὁ περὶ πάντ' ἄδικος τάχ' ἄν, εἰ τύχοι, καὶ τοῦτον ἠδίκει. Δη. 36, 55. Ὁ πάνδημος Ἔρως ἐξεργάζεται, ὅ, τι ἂν τύχῃ. Πλ. συ. 181, a.

A. 3. Τυγχάνειν [wie κυρεῖν] findet sich auch ohne das Particip ὤν mit einem bloßen Substantiv oder Adjektiv als Prädikat. [Reg. z. Th. u. τυγχάνειν.] Πολλοῖς ἀπόκρισις ἡ σιωπὴ τυγχάνει. Γν. 463. Εἴ τις εὔνους τυγχάνει, ἴτω μεθ' ἡμῶν. Ἀρ. ἐκ. 1141. [Καὶ τὸ πάνυ λαμπρὸν οὐκ ἀκίνδυνον κυρεῖ. Γν.]

(A. 4. So findet sich auch συμβαίνειν; selten mit zugefügtem Particip. Συμβαίνει μέγιστον κακὸν ἡ ἀδικία. Πλ. Γο. 479, c. [vgl. z. Th. 5, 92.] — Ὅταν συνιέναι λέγῃ, ταὐτὸν παντάπασι τῷ ἐπίστασθαι συμβαίνει λεγόμενον. Πλ. Κρατ. 412, a. Vgl. Engelhardt z. Plat. Menex. 6.)

A. 5. Φαίνεσθαι (erscheinen) mit dem Particip giebt das Urteil als ein reales, als ein durch die Erscheinung jedem so (objektiv) sich herausstellendes: es zeigt sich, es ist offenbar, daß; φαίνεσθαι mit dem Infinitiv giebt es als ein solches, das ein Subjekt sich aus der Erscheinung entnimmt: es kommt mir vor, als ob, wie δοκεῖν mit dem Infinitiv ein rein subjektives Urteil ausdrückt. Vgl. 55, 4, 1 u. Kr. z. Dion. p. 133. Μάλιστ' ἂν εὐδοκιμοίης, εἰ φαίνοιο ταῦτα μὴ πράττων ἃ τοῖς ἄλλοις ἂν πράττουσιν ἐπιτιμῴης. Ἰσ. 1, 17. — Φαίνεταί σοι φιλοσόφου ἀνδρὸς εἶναι ἐσπουδακέναι περὶ τὰς ἡδονάς; Φαίδ. 64, d. [Vgl. Aristot. Ἠθ. Εὐδ. 7, 2.]

A. 6. Öfter als τυγχάνειν (A. 3) verbindet auch φαίνεσθαι ohne das Particip ὤν ein Prädikat mit einem Subjekt. Ἀνθρώπων ὁ σοφώτατος πρὸς θεὸν πίθηκος φανεῖται. Πλ. Ἱπ. 289, b. Οἱ φύσει λογιστικοὶ εἰς πάντα τὰ μαθήματα, ὡς ἔπος εἰπεῖν, ὀξεῖς φαίνονται. Πλ. πολ. 526, b. Vgl. z. Dion. p. 133.

A. 7. Wie φαίνεσθαι werden auch φανερός und δῆλός εἰμι (wie dessen Komposita) mit dem Particip verbunden: es ist offenbar, daß ich —. Vgl. § 55, 3, 10. (Über δῆλός εἰμι ὡς — Kr. z. Xe. An. 1, 5, 9.) Ὅπου μάλιστα πλεονεκτῶν ὁ κράτιστος φαίνεται, ἐνταῦθα προθυμότατα φανεροί εἰσιν ἀγωνιζόμενοι πάντες. Ξε. Κυ. 8, 4, 4. Ἄνδρα λέγεις ὃς ἂν τοὺς φίλους τοὺς πρόσθεν εὖ ποιῶν φαίνηται δῆλον εἶναι καὶ τοὺς ὕστερον εὖ ποιήσοντα. Ξε. ἀπ. 2, 6, 7. Ἀριστοκατεῖσθαι δῆλος εἶ ζητῶν. Ἀρ. ὀρ. 125. Δῆλός ἐστιν εὖ ποιῶν. Ἀρ. σφ. 735. Vgl. Λυ. 919.

A. 8. Nach φανερός und δῆλός εἰμι kann auch ὅτι folgen. Ἆρ' ἂν καλὸν ποιήσαιμεν τῷ εὐθὺς φανεροὶ εἶναι ὅτι καὶ τοὺς εὖ ποιοῦντας πειρώμεθα νικᾶν εὖ ποιοῦντες; Ξε. Κυ. 5, 3, 2. Δῆλός ἐστιν ὅτι ἃ ᾤετο εἰδέναι οὐκ οἶδεν. Ξε. ἀπ. 4, 2, 21.

A. 9. Dreifache Konstruktion hat ἐοικέναι (scheinen, insofern von Objekten ein Bild, εἰκών, sich in einem Subjekt reflektiert) mit dem Nominativ des Particips den objektiven Reflex der Wirklichkeit bezeichnend: die Anschauung geben, als ob —; mit dem Infinitiv eine aus dem Reflex von Erscheinungen gebildete Ansicht ausdrückend: nach der Betrachtung scheint es, daß; mit dem Dativ des Particips eig. ähnlich sein bedeutend. Ἐοίκατε τυραννίσι μᾶλλον ἢ πολιτείαις ἡδόμενοι. Ξε. Ἑλ. 6, 3, 8. Παντάπασιν ἐοίκασιν οἱ θεοὶ πολλὴν τῶν ἀνθρώπων ἐπιμέλειαν ποιεῖσθαι. Ξε. ἀπ. 4, 3, 12. Τοῖς μεριμνῶσίν τε καὶ λυπουμένοις ἅπασα νὺξ ἔοικε φαίνεσθαι μακρά. Ἀπολλόδ. 3. Ἔοικας τὴν εὐδαιμονίαν οἰομένῳ τρυφὴν καὶ πολυτέλειαν εἶναι. Ξε. ἀπ. 1, 6, 10. [Den

Nominativ verwirft Cobet N. L. p. 341. Doch vgl. Heindorf z. Plat. Phaid. 122 u. Matth. Ausf. gr. Gr. § 555 A. 2.]

5. Ähnlich erscheint der No. des Particips bei Verben, die gewisse Momente der Handlung bezeichnen, wie anfangen, endigen, fortdauern.

A. 1. Bei ἄρχεσθαι steht das Particip, wenn eine andere Phase derselben Handlung (Mitte oder Ende), der Infinitiv, wenn eine andere Handlung als Gegensatz vorschwebt. Die Stellen für ἄρχειν mit dem Particip sind z. Th. durch Erklärung zu beseitigen (wie Soph. El. 522, aber wohl nicht Il. B. 378; sicher ist auch ὑπάρχειν mit dem Particip z. Her. 6, 133, 1. 9, 78, Xen. An. 2, 3, 23 und 5, 5, 9, wie κατάρχειν Kyr. 1, 4, 4.) Ἄρ' οὐ μουσικῇ ἀρξόμεθα πρότερον παιδεύοντες ἢ γυμναστικῇ; Πλ. πολ. 376, e. Ἤδη ἔπη φθέγγομαι, καὶ ταῦτα ψέγων· ἐὰν δ' ἐπαινεῖν τὸν ἕτερον ἄρξωμαι, τί με οἴει ποιήσειν; Πλ. Φαῖδ. 241, e.

A. 2. Mit dem Particip stehen ferner παύω (mit dem Accusativ), παύομαι, λήγω, ἐπέχω. Ἀγαμέμνων τοὺς βαρβάρους ἔπαυσεν ὑβρίζοντας. Ἰσ. 12, 83. Τοὺς πένητας ἔπαυσα ἀδικουμένους. Δη. 18, 102. — Ἐγὼ μισῶν γυναῖκας οὐδέποτε παύσομαι. Ἀρ. Λυ. 1018. [vgl. 6 A. 1.] Σῶμα ἀεὶ ἀπολλύμενον οὐδὲν παύεται. Πλ. Φαίδ. 91, d. Θεὸν οὐ λήξω ποτὲ προστάτην ἴσχων. Σο. ΟΤ. 881. (Ἐπίσχες ὀργιζόμενος. Μέ. Στ. 20, 6.)

A. 3. Die Begriffe der Dauer, zu denen auch οὐ διαλείπω gehört, mit einem Particip verbunden übersetzen wir durch ein Adverbium: fortdauernd, fortwährend; das Particip durch das verbum finitum. Ἀγαθῶν φύσει ἀεί ποτε τῇ πόλει συνεραστὴς ὢν διατελῶ. Ξε. συ. 8, 41. Οὐδὲν ἄδικον διαγεγένημαι ποιῶν. Ξε. ἀπολ. 3. Ὁ ἥλιος τὸν πάντα χρόνον πάντων λαμπρότερος ὢν διαμένει. Ξε. ἀπ. 4, 7, 7. Ἐπιμελόμενος ὢν δεῖ διάξω. Ξε. Κυ. 7, 5, 85. Οὐ δοκῶ σοι ἀπολογεῖσθαι μελετῶν διαβεβιωκέναι; Ξε. ἀπολ. 3. Οὐ πώποτε διέλιπον καὶ ζητῶν καὶ μανθάνων ὅ, τι ἐδυνάμην ἀγαθόν. Ξε. ἀπολ. 16. Οὐδένα διαλέλοιπα χρόνον ὑπὸ τῶν πονηρῶν διαβαλλόμενος. Ἰσ. 12, 5. (Ἡ πόλις τοὺς τελευτήσαντας τιμῶσα οὐδέποτε ἐκλείπει. Πλ. Μενέξ. 249, b. Ἔφη μάλιστα σφᾶς μεσοῦν δειπνοῦντας. Πλ. συ. 175, c.)

A. 4. Ohne ὤν findet sich unter diesen am häufigsten διατελῶ. [z. Th. 1, 34, 2.] Τοῦ δικαίου ἀθάνατος ἀεὶ δόξα διατελεῖ μόνου. Φιλή. 54 (7). Εὐδαιμονέσταται πόλεις λέγονται αἳ ἂν πλεῖστον χρόνον ἐν εἰρήνῃ διατελῶσιν. Ξε. π. πό. 5, 2. Ἐὰν ἐμὲ φίλον ποιήσῃς, τῶν χαλεπῶν ἄπειρος διαβιώσῃ. Ξε. ἀπ. 2, 1, 23. Οἵπερ τοῖς συμμάχοις πιστοὶ διαμένουσιν ἐν ταῖς συμφοραῖς, οὗτοι καὶ ὑμῖν αἰσχύνοιντ' ἂν μὴ ἀποδιδόντες χάριτας. Ξε. Ἑλ. 6, 4, 44. (Οὐδεὶς ἄλυπος τὸν βίον διήγαγεν. Ποσείδ. 28 (30), 1.)

A. 5. Φθάνω komme zuvor wird gew. gleichfalls mit dem No. des Particips verbunden (vgl. § 53, 6, 8); mit dem Infinitiv selten bei Attikern, öfter bei Spätern. [Vgl. Th. 3, 82, 7, Ar. Ri. 935, Wo. 1384 u. Wyttenbach z. Julian S. 181 u. Kr. z. Arr. 1, 8, 5.] Πλείστου γε δοκεῖ ἀνὴρ ἐπαίνου ἄξιος εἶναι ὃς ἂν φθάνῃ τοὺς μὲν πολεμίους κακῶς ποιῶν, τοὺς δὲ φίλους εὐεργετῶν. Ξε. ἀπ. 2, 3, 14. Πορευόμενον αὐτὸν φθάνει ἡμέρα γενομένη. Ξε. ἀν. 5, 7, 16.

(A. 6. Eigentümlich ist die Formel οὐκ ἂν φθάνοις, z. B. περαίνων Plat. Phaid. 100, c) λέγων (Symp. 185, e) sage unverzüglich, wohl ursprünglich Frage: willst du nicht eher (als irgend etwas sonst thun) sagen? dann aber durch den Gebrauch als solche verwischt, so sehr, daß man des Ursprungs uneingedenk nach der äußerlichen Analogie dieser Formel auch sagte οὐκ ἂν φθάνοιμι, οὐκ ἂν φθάνοι in dem Sinne: ich werde, er wird unausbleiblich, also synonym mit φθάνοιμι ἄν, φθάνοι ἄν. Εἰ μὴ τιμωρήσεσθε τούτους, οὐκ ἂν φθάνοι τὸ πλῆθος τούτοις τοῖς θηρίοις δουλεῦον. Δη. 24, 143. So Buttmann Gr. Gram. § 150 S. 451 f. Nach

Hermann z. Vig. 204 heißt φθάνειν eig. aufhören, ablassen und οὐ φθάνω ποιῶν entweder fortwährend thun, wie Eur. Or. 936: οὐ φθάνοιτ' ἔτ' ἂν θνήσκοντες non cessabunt caedes, Ermordungen werden fortwährend erfolgen; oder eifrig beflissen thun, wie Plat. Symp. 214: οὐκ ἂν φθάνοιμι (τἀληθῆ λέγων). Daher sei es dem Gedanken nach ziemlich gleich, ob man z. B. οὐκ ἂν φθάνοις ποιῶν fragend oder affirmativ sage, ob nach Eur. Or. 1551: οὐκέτ' ἂν φθάνοιτε κλῇθρα συμπεραίνοντες μοχλοῖς; non curabitis ut occlusae sint fores? oder ohne Frage: οὐκέτ' ἂν φθάνοιτε — non omittetis fores occludere. So zeige sich auch, wie mit und ohne Negation der Sinn derselbe sei: οὐ φθάνοιτ' ἂν — non omittetis occludere fores, φθάνοιτ' ἂν — omittite occlusas.)

A. 7. Auf οὐ φθάνω folgt auch καί: ich habe nicht sobald als —. Οἱ Λακεδαιμόνιοι οὐκ ἔφθασαν τὴν ἀρχὴν κατασχόντες καὶ τοῖς Θηβαίοις εὐθὺς ἐπεβούλευσαν. Ἰσ. 8, 98. Vgl. Markland z. Eu. Hik. 1219 u. Hermann z. Vig. 203.

A. 8. Durch ein Adverbium (fort, weg) übersetzbar ist meist auch οἴχεσθαι. Τὸ ἀθάνατον σῶν καὶ ἀδιάφθορον οἴχεται ἀπιόν. Πλ. Φαίδ. 106, e. Δόξας ἀνὴρ ἄριστος οἴχεται θανών. Εὐ. Τρῳ. 395.

II. Particip bei Verben der Kraftäußerung und Empfindung, des Verfahrens und Zustandes.

6. Gleichfalls als Prädikat steht das Particip bei Verben, die bezeichnen, mit welcher Kraft oder Empfindung des Subjekts die durch das Particip, von uns durch den Inf. mit zu, ausgedrückte Handlung erfolge.

A. 1. Von der ersten Art sind die Verba des Ertragens, Abwartens, Ermüdens u. ä. Ἥδιον οὐδὲν οὐδὲ μουσικώτερόν ἐστ' ἢ δύνασθαι λοιδορούμενον φέρειν. Φιλή. 23, 1. Οὗτος ἀνὴρ οὐχ ὑπομένει ὠφελούμενος καὶ κολαζόμενος. Πλ. Γο. 505, c. Ἀνέχου πάσχων· δρῶν γὰρ ἔχαιρες. Εὐ. ἀποσ. 66 (1075). Ὅστις ἐπιθυμῶν ἀνέχετ' αἰσχροῦ πράγματος, οὗτος ποιήσει τοῦτ', ἐὰν καιρὸν λάβῃ. Κλεάν. Στ. 6, 19. Ἀνὴρ δίκαιός ἐστιν ὃς τὰ μεγάλα καρτερεῖ μὴ λαμβάνων. Φιλή. 92 (4), 1. (Ἐν θήρᾳ πολλάκις ἄσιτοι καρτεροῦμεν. Ξε. Κυ. 4, 2, 46.) Γυναῖκας μισῶν οὔποτ' ἐμπλησθήσομαι. Εὐ. Ἱπ. 664. Μὴ κάμῃς φίλον ἄνδρα εὐεργετῶν. Πλ. Γο. 470, c. Μανθάνων μὴ κάμνε. Στ. 3, 80. Τοὺς θεοὺς οὐκ ἀπαγορεύομεν θεραπεύοντες. Ἰσ. 10, 56. Ἀγησίλαος οὐκ ἀπεῖπε μεγάλων καὶ καλῶν ἐφιέμενος. Ξε. Ἀγ. 11, 14. Οὐ μὴ ἀνῇς ἐρωτῶν. Πλ. Εὐθύδ. 297, d. Μηδέν γε ἀνῇς ἐπιτιμῶν τοῖς νόμοις. Πλ. νό. 635, a. Οὐκ ἀνῆκεν διώκων καὶ ἀποκτιννύς. Ξε. Ἑλλ. 5, 3, 2. (Μὴ φιλοτιμοῦ ἐλέγχων. Πλ. πολ. 336, c.)

A. 2. Auf ein Objekt bezogen haben περιορᾶν den Accusativ, das Passiv den Nominativ, ἀνέχεσθαι gew. den Genitiv. Καλῶς δημαγωγήσεις, ἐὰν μήθ' ὑβρίζειν τὸν ὄχλον ἐᾷς μήθ' ὑβριζόμενον περιορᾷς. Ἰσ. 2, 16. Οὐ περιοπτέα ἐστιν ἡ Ἑλλὰς ἀπολλυμένη. Ἡρ. 7, 168, 1. — Πῶς πατὴρ τέκνου θανόντος ῥᾳδίως ἀνέξεται; Εὐ. Ἀνδρ. 339. (Οὐκ ἀνέξεται τίκτοντας ἄλλους, οὐκ ἔχουσ' αὐτὴ τέκνα. Εὐ. Ἀνδρ. 711.)

(A. 3. Mit dem Inf. (des Ao.) steht περιορᾶν [selten ἀνέχομαι vgl. Herm. z. Eur. Phoin. 549], wenn nur die Möglichkeit des Eintretens der Handlung zu denken ist. Τούσδε δύναμιν προσλαβεῖν περιόψεσθε ἣν οὐ δίκαιον. Θ. (z. Th.) 1, 35, 3 u. z. Her. 1, 24, 2.)

A. 4. Von Verben der Empfindung gehören besonders hieher die, welche Freude und Ärger bezeichnen. Ὁ θεός, ὡς ἔοικε, πολλάκις χαίρει τοὺς μὲν μικροὺς μεγάλους ποιῶν, τοὺς δὲ μεγάλους μικρούς. Ξε. Ἑλ. 6, 4, 23. Ὅταν ἁμαρτάνῃς τι, χαῖρ' ἡττώμενος. Φιλιππίδης 7.

Πᾶς ἀνήρ, κἂν δοῦλος ᾖ τις, ἥδεται τὸ φῶς ὁρῶν. Εὐ. Ὀρ. 1523. Ὅς γε πίνων μὴ γέγηθε μαίνεται. Εὐ. Κυ. 168. (Ἀρ' οὐκ ἀγαπήσεις τούτων τυγχάνων; Πλ. πολ. 473, b. — Οὐκ ἂν ἀχθοίμην μανθάνων. Πλ. Λάχ. 189, a. Ἀγανακτήσει ἀποθνήσκων. Πλ. Φαίδ. 68, b. Ὅστις ἰσχυρῶς χρήμασιν ἥδεται, εὖ ἴσθι τοῦτον καὶ δαπανῶντα ἰσχυρῶς ἀνιᾶσθαι. Ξε. Κυ. 8, 3, 44. Ἀδικούμενοι, ὡς ἔοικεν, οἱ ἄνθρωποι μᾶλλον ὀργίζονται ἢ βιαζόμενοι. Θ. 1, 77, 3. Οὐκ αἰσχύνομαι μανθάνων. [Πλ. Ἱπ. 372, c.] Μεταμέλει μοι οὕτως ἀπολογησαμένῳ. Πλ. ἀπ. 38, e. vgl. z. Her. 7, 54. [Μετεμέλοντο πρότερον οὐκ ἀναστάντες. Θ. 7, 50, 3. Über ἀγάλλεσθαι z. Th. 4, 95, 2.]

A. 5. Mit dem Infinitiv steht αἰσχύνεσθαι, wenn es Scheu vor der zu begehenden Handlung bezeichnet. Vgl. § 55, 3, 18. Τοῦτο μὲν οὐκ αἰσχύνομαι λέγων· τὸ δὲ ἐὰν μένητε παρ' ἐμοί, ἀποδώσω, εὖ ἴστε ὅτι αἰσχυνοίμην ἂν εἰπεῖν. Ξε. Κυ. 5, 1, 21.

7. Auch bei mehreren Verben, die sich auf sinnliche oder geistige Wahrnehmung beziehen, steht das Particip als Prädikat: im Accusativ, wenn sie aktive, im Nominativ, wenn sie passive Bedeutung haben; in beiden Fällen gewöhnlich durch daß zu übersetzen.

A. 1. Die üblichsten der hieher gehörigen Verba zeigen folgende Beispiele. Ἄνθρωποι ἐπ' οὐδένας μᾶλλον συνίστανται ἢ ἐπὶ τούτους οὓς ἂν αἴσθωνται ἄρχειν αὐτῶν ἐπιχειροῦντας. Ξε. Κυ. 1, 1, 2. Ὁρῶ λύπας ἔχοντας μείζονας τοὺς μείζονας. Φιλή. 91 (6), 7. Ὁ θεὸς τὰ μέγιστα μὲν πράττων ὁρᾶται, τάδε δὲ οἰκονομῶν ἀόρατος ἡμῖν ἐστιν. Ξε. ἀπ. 4, 3, 13. [Οὐ φρονοῦντά σ' εὖ βλέπω. Σο. ΟΤ. 626.] Θεμιστοκλέα οὐκ ἀκούεις ἄνδρα ἀγαθὸν γεγονότα; Πλ. Γο. 503, c. Ἐπύθετο κατὰ πλοῦν ἤδη ὢν τὸ Πλημμύριον ὑπὸ τῶν Συρακοσίων ἑαλωκός. Θ. 7, 31, 2. Χερρόνησον κατέμαθε πόλεις ἕνδεκα ἢ δώδεκα ἔχουσαν. Ξε. Ἑλ. 3 ,2, 10. Τὰ τοῦ πολέμου τοιαῦτα ἐγίγνωσκον ὄντα ὡς μὴ ὑστερίζειν δέον τὸν ἄρχοντα. Ξε. Κυ. 7, 5, 46. Γνωσθησόμεθα ξυνελθόντες μὲν ἀμύνεσθαι δὲ οὐ τολμῶντες. Θ. 1, 124, 2. (Κατενόησαν οὐ πολλοὺς τοὺς Θηβαίους ὄντας. Θ. 2, 3, 2. (Οὐδένα οἶδα μισοῦντα τοὺς ἐπαινοῦντας. Ξε. ἀπ. 2, 6, 33. (Εὐήθης ἐστὶν ὅστις ἀγνοεῖ τὸν ἐκεῖθεν πόλεμον δεῦρο ἥξοντα. Δη. 1, 15.) Ἠπίστατο τοὺς Ἕλληνας οὐκ εἰθισμένους ὑπομένειν τὰς μοναρχίας. Ἰσ. 5, 107. Ἄνθρωπον ὄντα σαυτὸν ἀναμίμνησκ' ἀεί. Μέ. μο. 16. Μεμνήμεθ' ἐς κίνδυνον ἐλθόντες μέγαν. Εὐ. Ἑκ. 244. [Über ἐνθυμεῖσθαι z. Th. 1, 120, 4, über διανοεῖσθαι zc. 1, 141, 1.]

A. 2. Eben so gebrauchte man die Verba des Zeigens, Findens oder Betreffens. Οἶδα Σωκράτην δεικνύντα τοῖς ξυνοῦσιν ἑαυτὸν καλὸν κἀγαθὸν ὄντα. Ξε. ἀπ. 1, 2, 18. [Über ἀποδεικνύναι z. Th. 2, 62, 1.] Ἀνανδρίας ἕνεκα δειχθήσεται τοῦτο πεποιηκώς. Δη. 21, 160. Ἀποφαίνουσι τοὺς φεύγοντας πάλαι πονηροὺς ὄντας. Λυ. 30, 1. Τοῦτο τὸ γράμμα δηλοῖ ψευδῆ τὴν διαθήκην οὖσαν. Δη. 45, 34. Δηλοῦται παρὰ τὴν αὐτοῦ ἁμαρτίαν ἀτυχήμασι περιπεσών. Ἀντ. 3, δ, 5. Ἀδικοῦντα Φίλιππον ἐξήλεγξα. Δη. 18, 136. Πάνθ' ἕνεκα ἑαυτοῦ ποιῶν ἐξελήλεγκται. Δη. 2, 8. — Εὑρήσομεν καὶ τῶν ἔργων καὶ τῶν διανοημάτων ἁπάντων ἡγεμόνα λόγον ὄντα καὶ μάλιστα χρωμένους αὐτῷ τοὺς πλεῖστον νοῦν ἔχοντας. Ἰσ. 15, 257. Ἀφ' ὧν μὲν εἰ φανεῖ δίκαιος, δρῶν δ' ἐφευρίσκει κακά. Σο. ΟΚ. 937. Κλέπτων ὅταν τις ἐμφανῶς ἐφευρεθῇ, σιγᾶν ἀνάγκη. Σο. ἀποσ. 669 (845). Ἅπανθ' ὅσ' ὀργιζόμενος ἄνθρωπος ποιεῖ, ταῦθ' ὕστερον λάβοις ἂν ἡμαρτημένα. Μέ. 697 (inc. 1089). [Über τηρεῖν z. Th. 6, 100, 1.] Τοὺς νόμους κακουργῶν εἴληπται. Δη. 24, 65. Παρὰ τοὺς νόμους πράττων τις φωρᾶται. Δη. 21, 41. Οὔ ποτε τούτους προδι-

δοὺς ἁλώσομαι. Ξε. Κυ. 5, 1, 21. [Ähnlich bei synonymen Redensarten z. Th. 3, 64, 1.]

(A. 3. Selten finden sich so die Verba, die eine Vorstellung oder eine Äußerung bezeichnen, öfter jedoch ἀγγέλλειν; über νομίζειν Kr. z. Xe. An. 6, 4, 24. Πᾶσι ταῦτα δεδογμένα ἡμῖν νόμιζε. Πλ. πο. 450, a. Πότερόν σε φῶμεν νῦν σπουδάζοντα ἢ παίζοντα; Πλ. Γο. 481, c. Τίθημί σε ὁμολογοῦντα. Πλ. ἀπ. 27, b. Τισσαφέρνης Κῦρον ἐπιστρατεύοντα πρῶτος ἤγγειλεν. Ξε. ἀν. 2, 3, 19. — Ὁμολογούμεθα μετ' οἴνου ἐλθόντες. Λυ. 4, 7. Κῦρος φύσιν τῆς μορφῆς καὶ τῆς ψυχῆς τοιαύτην ἔχων διαμνημονεύεται. Ξε. Κυ. 1, 2, 2. Ὧν ζῶντες ἠγγελμένοι ἦσαν, ὀλίγους ἂν εἶδες περιόντας. Ξε. Ἑλ. 6, 4, 16. z. Th. 1, 131, 1. Über νομίζειν z. 7, 68, 1.)

(A. 4. Auch bei diesen Verben (A. 1—3) fehlt zuweilen ὤν. Μένων ὅσους [ἂν] αἰσθάνοιτο ἀδίκους ὡς εὖ ὡπλισμένους ἐφοβεῖτο. Ξε. ἀν. 2, 6, 25. Ἐν εὐδίᾳ ὁρῶ ὑμᾶς. Ξε. ἀν. 5, 8, 19. Ἡδύ γε δικαίους ἄνδρας εὐτυχεῖς ὁρᾶν. Μέ. μο. 218. [z. Th. 4, 24, 2. 8, 16, 2.) Ὀφθήσει κακός. Σο. Τρ. 452. Θαρσοῦσι μάλιστα οἱ πολέμιοι, ὅταν τοῖς ἐναντίοις ἀσχολίας πυνθάνωνται. Ξε. ἱπ. 5, 8. Ἐν Χερσονήσῳ ἐπύθεσθε Φίλιππον. Δη. 4, 41. Πονηροῦ δεσπότου οἰκέτας οὐ δοκῶ χρηστοὺς καταμεμαθηκέναι. Ξε. οἰκ. 12, 19. — Ὁ νομοθέτης ζημιοῖ τὸν λέγοντα, ἐὰν μὴ ἀποδεικνύῃ ἀληθῆ. Λυ. 11, 11. Διαθήκας ἤδη πολλοὶ ψευδεῖς ἀπέφηναν. Ἰσαῖ. 1, 41. Δέδεικται ψυχὴ τῶν πάντων πρεσβυτάτη, γενομένη τε ἀρχὴ τῆς κινήσεως. Πλ. νο. 896, b. Φράσω, ὥς σε δηλώσω κακόν. Σο. ΟΚ. 783. — Πολλοὺς τοὺς ἀσελγεῖς εὑρήσετε καὶ τοὺς ὑβρίζοντας ἐπὶ τῇ τοῦ φιλοτιμεῖσθαι προφάσει. Δη. 24, 143. Εἴ που ἥττους τῶν πολεμίων ληφθησόμεθα, ἐν ἀνδραπόδων χώρᾳ ἐσόμεθα. Ξε. ἀν. 5, 6, 13. Οὐ φονεὺς ἁλώσομαι. Σο. ΟΤ. 576. Τοῖς σοῖς φίλοισιν εὑρίσκου φίλος. Εὐ. Ἴων 1407. Ἅπαντα καθ' ἡμῶν εὕρηται. Δη. 4, 50. Πάντ' ἐφεύρημαι κακός. Σο. ΟΤ. 1421. — Οἱ πρέσβεις τὰ ἐν τῇ Σικελίᾳ βελτίω ἤγγελλον. Θ. 7, 17, 2. Ἠγγέλθης μοι γενναῖος. Εὐ. Ἑκ. 591. vgl. z. Th. 6, 34, 7.)

A. 5. Mit dem Nominativ des Particips stehen auch manche Aktive wie Media und Deponentia dieser Verba, besonders der zu A. 1 gehörigen, insofern vom Subjekt ein Prädikat ausgesagt wird. (No. neben dem Ac. Th. 7, 47, 1.) Der in diesem Falle auch zuweilen vorkommende Ac. ist nach § 55, 2, 3 zu erklären. vgl. Xe. An. 5, 6, 20. Αἰσθάνομαι τὸ μὲν ὕδωρ ἡμᾶς ἐπιλεῖπον, αὐτὸς δ' ἐμπεπτωκὼς εἰς κατηγορίας. Ἰσ. 15, 320. Ὁρᾶθ', ὅσοι νομίζετ' οὐκ εἶναι θεόν, δὶς ἐξαμαρτάνοντες οὐκ εὐγνωμόνως. Εὐ. (?) Φρίξ. 5 (832), 7. (Ὁρῶμεν ἡμᾶς ἀπόρους ὄντας. Ξε. ἀν. 5, 6, 20.) Μὴ ὅτι θεός, ἀλλὰ καὶ ἄνθρωποι καλοὶ κἀγαθοί, ἐπειδὰν γνῶσιν ἀπιστούμενοι, οὐ φιλοῦσι τοὺς ἀπιστοῦντας. Ξε. Κυ. 7, 2, 17. Μανθάνετε κακὰ σπεύδοντες. Θ. 6, 39, 2. Ἐνενόησα καταγέλαστος ὤν. Πλ. συ. 198, c. (Ὁ ἐν πολέμῳ εὐτυχίᾳ πλεονάζων οὐκ ἐντεθύμηται θράσει ἀπίστῳ ἐπαιρόμενος. Θ. 1, 120, 4.) Ἐν πολυτρόποις ξυμφοραῖς ἐπίστανται τραφέντες. Θ. 2, 44, 1. Τἄλλ' ὄντες ἴστε μηδενὸς βελτίονες. Εὐ. Ἀνδρ. 726. Οὐχ ἃ κρείττων ᾔδει ὤν, προὐκαλεῖτο ταῦτα τοὺς συνόντας, ἀλλ' ἅπερ εὖ ᾔδει ἑαυτὸν ἥττονα ὄντα, ταῦτα ἐξῆρχεν. Ξε. Κυ. 1, 4, 4. Ἐγὼ δείξω οὐ παραινέσαι οἷός τε ὢν μᾶλλον τοῖς πέλας ἢ αὐτὸς ἔργῳ ἐπεξελθεῖν. Θ. 5, 9, 7. (Δεῖξον σὺ οὐ πεποιηκότα ταῦτα σαυτόν. Δη. 22, 29. Ἐνδείκνυσο περὶ τὰ μέγιστα σπουδάζων. Ἰσ. 2, 30. Ἀλκιβιάδης ἐδήλωσε τῶν νόμων καταφρονῶν. Ἀνδ. 4, 14. Οἱ Ἀθηναῖοι φανερὸν ἐποίησαν οὐκ ἰδίᾳ πολεμοῦντες, ἀλλ' ὑπὲρ κοινῆς ἐλευθερίας προκινδυνεύοντες. Λυκ. 50. [Ἑαυτὸν οὐδεὶς ὁμολογεῖ κακοῦργος ὤν. Μέ. μο. 158. — Νικώμενος λόγοισιν οὐκ ἀναίνομαι. Αἰσχ. Ἀγ. 583 (561). Οὐκ εὐτυχῶν ἀρνήσομαι. Εὐ. Ἀλκ. 1158.]

A. 6. Dreifache Konstruktion hat σύνοιδα, die von A. 1, die von A. 5, oder, wenn es einen Da. bei sich hat, das Particip diesem angefügt. Σύν-

ιστε πολλοὺς καὶ μεγάλους οἴκους ὑπὸ τῶν κολακευόντων ἀναστάτους γεγενημένους. Ἰσ. 8, 4. Πρὸς τοὺς πολεμίους μεγαλοφρονέστεροι γίγνονται οἳ ἂν ξυνειδῶσιν ἑαυτοῖς εὖ ἠσκηκότες. Ξε. Κυ. 2, 1, 29. Ἥδιστον αὐτὸν ἑαυτῷ συνειδέναι μηδὲν ἐξημαρτηκότι. Ἀντ. 6, 1.

A. 7. Bei den (zu A. 1 gehörigen) Verben, die einen Genitiv regieren, steht das Particip, wenn das Prädikat des (gesetzten oder zu ergänzenden) Objekts ist, im Genitiv. Vgl. § 47, 10, 13. Οὐκ ᾔσθάνοντο προσιόντων τῶν πολεμίων. Ξε. Ἑλ. 4, 2, 19. Ἐγὼ ἡδέως ἀκούω Σωκράτους διαλεγομένου. Πλ. συ. 194, d. Μέμνημαι τοῦτο σοῦ λέγοντος. Ξε. Κυ. 1, 6, 8. Εἰ γιγνώσκεις ἐμοῦ φθεγγομένου, δήλωμά σοι γίγνεται παρ' ἐμοῦ. Πλ. Κρατ. 435, a.

A. 8. Fast bei allen hieher (zu R. 7) gehörigen Verben findet sich auch der Infinitiv, der aber als Ausdruck einer bloßen Idee erscheint, während das Particip eine Realität prädikativ vorstellt. Vgl. § 65, 1, 4.

A. 9. Εἰδέναι, ἐπίστασθαι, γιγνώσκειν, μανθάνειν, selten αἰσθάνεσθαι [zu Th. 5, 4, 2.], mit dem Infinitiv beziehen sich auf die Fähigkeit des Hervorbringens oder die Möglichkeit des Eintretens der Handlung. Nur den Infinitiv gestattet γιγνώσκειν in der Bedeutung urteilen, verstehen, beschließen. Λύπην εὔνους οἶδεν ἰᾶσθαι φίλος. Μέ. μο. 319. Δίκαιος ἀδικεῖν οὐκ ἐπίσταται τρόπος. Μέ. μο. 136. Ὦ μακάρι' ἀτυχεῖν θνητὸς ὢν ἐπίστασο. Διφ. 4, 1. — Ἄνθρωπος ὢν γίγνωσκε τῆς ὀργῆς κρατεῖν. Μέ. μο. 20. Γίγνωσκε τἀνθρώπεια μὴ σέβειν ἄγαν. Αἰσ. ἀποσ. 146 (154). Τὰ ἄλλα πάντα ζῷα καὶ ἀγνωμονέστερα καὶ ἀχαριστότερα ἀνθρώπων ἐγίγνωσκεν εἶναι. Ξε. Κυ. 8, 3, 39. Ὑμῖν ἐγνωκέναι τὰ δίκαια ποιεῖν ὑπάρχει. Δη. 15, 30. — Ἄρχεσθαι μαθὼν ἄρχειν ἐπιστήσῃ. Σόλων Στ. 1, 77. (Ἐν τῷ φρονεῖν μηδὲν ἥδιστος βίος, ἕως τὸ χαίρειν καὶ τὸ λυπεῖσθαι μάθῃς. Σο. Αἴ. 554.) Zw. ὁρᾶν z. Th. 8, 60, 3.

A. 10. Μεμνῆσθαι mit dem Infinitiv heißt auf etwas bedacht sein, sich angelegen sein lassen. Χαλεπὸν εὑρεῖν τὸν μεμνησόμενον καταχωρίζειν ἕκαστα. Ξε. οἰκ. 8, 21. Μέμνησο πλουτῶν τοὺς πένητας ὠφελεῖν. Μέ. μο. 348. Νῆφε καὶ μέμνησ' ἀπιστεῖν. Ἐπίχ. κω. ἀν. 496.

A. 11. Der Infinitiv steht auch bei ἀγγέλλειν, αἰσθάνεσθαι, πυνθάνεσθαι und besonders häufig bei ἀκούειν, wenn die gemeldete oder percipierte Sache nicht als real vorgestelltes Prädikat, sondern als bloße Vorstellung des Subjekts zu denken ist (mehr Ungewißheit). Ἠγγέλλετο βασιλεὺς διανοεῖσθαι ὡς ἐπιχειρήσων ἐπὶ τοὺς Ἕλληνας. Πλ. Μενέξ. 241, d. Ἤισθετο αὐτοὺς μέγα παρὰ βασιλεῖ Δαρείῳ δύνασθαι. Θ. 6, 59, 3. Οἱ Λακεδαιμόνιοι ἐπυνθάνοντο ἐς τοὺς Εἵλωτάς τι πράσσειν Παυσανίαν. Θ. 1, 132, 4. Ἀκούων τινὰς εἶναι λέγειν τε καὶ πράττειν ἱκανοὺς ἐζήτησα τούτοις ἐντυχεῖν. Ξε. ἀπ. 4, 2, 4.

A. 12. Ὅτι daß oder seltener ὡς wie, daß folgt auf die hieher gehörigen Verba (auch mit der Anticipation § 61, 6), wenn der Gedanke als Thatsache vorgelegt wird, am gewöhnlichsten bei den Verben der Äußerung, fast regelmäßig auch ὅτι bei ἐνθυμεῖσθαι. Vgl. § 55, 4. 56, 7, 1 E. u. 65, 1, 4. Ὁρῶμεν ὅτι οἱ σώφρονες οὐδὲν δήπου ἄδικον οὐδὲ ἀνόσιον ποιοῦσιν. Ξε. Ἑλ. 7, 3, 6. Ἐπύθοντο ὅτι Μίνδαρος ἐν Κυζίκῳ εἴη. Ξε. Ἑλ. 1, 1, 14. Ὅτι δεῖ γράμματα ἐπίστασθαι ᾐκηκόειν. Ξε. οἰκ. 15, 7. Μανθάνω ὅτι τὸ ὑπὸ ταῖς γεωμετρίαις λέγεις. Πλ. πολ. 511, b. Ἱκανῶς ἔγνωκεν ὅτι ἄριστον δικαιοσύνη. Πλ. πολ. 366, c. Τίς οὐκ οἶδεν ὅτι οἱ νικῶντες τά τε ἑαυτῶν σῴζουσι καὶ τὰ τῶν ἡττόνων προςλαμβάνουσιν; Ξε. Κυ. 3, 3, 45. Τιμόθεος ἠπίστατο τοὺς δεδιότας ὅτι μισοῦσι δι' οὓς ἂν τοῦτο πεπονθότες τυγχάνωσι, τήν τε πόλιν διὰ τὴν φιλίαν τὴν τῶν ἄλλων εὐδαιμονεστάτην καὶ μεγίστην γενομένην. Ἰσ. 15, 122. Ἐνθυμοῦ ὅτι τοῖς σπουδαίοις οὐχ οἷόν τε τῆς ἀρετῆς ἀμελεῖν διὰ τὸ πολλοὺς ἔχειν τοὺς ἐπιπλήττοντας. Ἰσ. 1, 48. Μέμνησ' ὅτι ἀνὴρ γεγένησαι δι' ἐμέ. Ἀρ. ἱπ. 1254. — Σωκράτης ἐπεδείκνυεν ὅτι τὸ ἄφρον ἄτιμόν ἐστιν. Ξε. ἀπ. 1, 2, 55. Δηλοῖ ὅτι ἕτερον λέγει τῶν ἄλλων τὸ μὴ ὄν. Πλ. Παρ.

160, c. — Ὁρῶ ὡς χαλεπὸν τὰ βέλτιστα λέγειν ἐστίν. Δη. 16, 2. Περὶ ἡδονῆς ἀκηκόαμεν ὡς ἀεὶ γένεσίς ἐστιν. Πλ. Φιλ. 53, c. Μαθέτωσαν ὡς πᾶσα ἀποικία εὖ πάσχουσα τιμᾷ τὴν μητρόπολιν. Θ. 1, 34, 1. Ἴσθι ὡς ταῦτα μαθὼν κλέος ἕξεις. Ἀρ. νε. 458. Γίγνωσκε ὡς πᾶσιν ἡμῖν ἀποθανεῖν ὀφείλεται. Εὐ. Ἀλκ. 418. Μέμνησο νέος ὢν ὡς γέρων ἔσει ποτέ. Μέ. μο. 354.

A. 13. Nach den Verben der Erinnerung folgt ὅτε, wenn es die Thatsache an eine gewisse Zeit anknüpft: ich erinnere mich der Zeit, da. Μέμνησαι ὅτε οὐδ' ἀναγρύζειν μοι ἐξουσίαν ἐποίησας. Ξε. οἰκ. 2, 11. (Οἶδ' ἡνίκ' Αἴας εἷλκε Κασάνδραν βίᾳ. Εὐ. Τρῳ. 70.) Vgl. § 54, 16, 2 und Herm. z. Eu. Hek. 108.

8. Bei Verben, die ein Urteil über ein Verfahren oder einen Zustand aussprechen, bezeichnet das Particip die Handlung, auf welche dieses Urteil sich bezieht: darin, daß, damit, daß, dadurch, daß. Dem Aorist gesellt sich dabei auch das Particip im Aorist ohne den Begriff des Vorzeitigen. Vgl. § 53, 6, 8.

A. 1. So bei εὖ, καλῶς ποιεῖν, ἀδικεῖν, χαρίζεσθαι, εὐτυχεῖν, νικᾶν, ἡττᾶσθαι u. ä. Θρασύβουλος καλῶς ἐποίησεν οὕτω τελευτήσας τὸν βίον. Λυ. 28, 8. Οὐκ ἔστιν ὅ, τι ἄν τις μεῖζον τούτου κακὸν πάθοι ἢ λόγους μισήσας. Πλ. Φαίδ. 89, d. Ἀδικεῖτε πολέμου ἄρχοντες καὶ σπονδὰς λύοντες. Θ. 1, 53, 1. Κεχάρισαί γέ μοι ὦ γλυκύτατον τὴν γραῦν ἀπαλλάξασά μου. Ἀρ. ἐκ. 1045. Ξενοφῶντα ὠνήσατε οὐχὶ ἑλόμενοι. Ξε. ἀν. 5, 9, 32. Μακάριος ὅστις εὐτυχεῖ γάμον λαβὼν ἐσθλῆς γυναικός, εὐτυχεῖ δ' ὁ μὴ λαβών. Εὐ. ἀποσ. ἀδ. 29 (1043). Πάντας πειρῶ νικᾶν εὖ ποιῶν· ἐὰν γὰρ τοὺς φίλους κρατῇς εὖ ποιῶν, οὐ μή σοι δύνωνται ἀντέχειν οἱ πολέμιοι. Ξε. Ἱέρ. 11, 15. Ἐάν τις ἡμᾶς εὖ ποιῶν ὑπάρχῃ, τούτου εἴς γε δύναμιν οὐχ ἡττησόμεθα εὖ ποιοῦντες. Ξε. ἀν. 2, 3, 23. [z. Xe. An. 1, 9, 11.] Πολεμοῦντες οὐ κερδαίνομεν. Ἀρ. ὄρ. 1591. Τὰ ἄλλα μ' ἤρεσας λέγων. Ἀρ. ἱπ. 359. Ἀρκέσω ἐγὼ λέγων. Εὐ. Ὀρ. 1592. Οὔτοι καταπροίξει μὰ τὸν Ἀπόλλω τοῦτο δρῶν. Ἀρ. σφ. 1366.

A. 2. Das Particip εὖ, καλῶς ποιῶν entspricht meist unserm und daran hat er wohl gethan, und das ist recht schön von ihm, oft mit sarkastischer Färbung. Ähnlich steht (vorangestellt) οὐ (οὔτι) χαίρων nicht ungestraft, übel zugerichtet. Εὖ ποιῶν ἀπόλωλ' ἐκεῖνος κἂν δέοντι τῇ πόλει. Ἀρ. εἰρ. 272. Καλῶς καὶ τὰ δίκαια ποιῶν ὁ δῆμος ὠργίσθη. Δη. 21, 2. Τοῦτο ἐπ' ἐκείνου, εὖ ποιοῦν, οὐ συνέβη. Δη. 23, 143. — Οὐ χαίροντες ἀπαλλάξετε. Ξε. ἀν. 5, 6, 32.

(A. 3. Ähnlich ist τί παθών was ficht dich an daß —. Von Mehreren verworfen wird das synonyme τί μαθών was fällt dir ein, daß —. [Herm. z. Vig. 194.] Ἤρετο τί δὴ παθὼν οὕτω θαυμάζοι τὴν τέχνην. Αἰλ. ποικ. ἱ. 14, 47. — Σὺ δὲ δὴ τί μαθὼν οὐκ ἀποθνήσκεις; Ἀρ. Λυ. 599. Τί μαθόντες ἐμαρτυρεῖτε ὑμεῖς; Δη. 45, 38. Vgl. Rehdantz z. Dem. 4, 39.)

A. 4. In ληρεῖς ἔχων, wie in synonymen Formeln, wird das Gehaben, das Charakteristische eines Schwätzers bezeichnet. Οὐ μὴ φλυαρήσεις ἔχων. Ἀρ. βά. 202. Τί διατρίβεις ἔχων; Ἀρ. ἐκ. 1151. [Hermann z. Vig. 228.]

A. 5. Ἀρχόμενος ist oft unser im Anfange, τελευτῶν zuletzt, διαλιπὼν nach einer Zwischenzeit [φέρων hastig, ἀνύσας flugs]. Ἐγώ, ἅπερ καὶ ἀρχόμενος εἶπον, ἀξιῶ ξυγχωρεῖν. Θ. 4, 64, 1. Ἢν πολλάκις προσδοκίας ἀγαθῶν ἐμβαλὼν ψεύδηταί τις, τελευτῶν οὐδ' ὁπόταν ἀληθεῖς ἐλπίδας λέγῃ ὁ τοιοῦτος πείθειν δύναται. Ξε. Κυ. 1, 6, 19. [vgl. z. Th. 4, 72, 4.] Ὁ ἐν καιρῷ μόχθος πολλὴν εὐδαιμονίαν τίκτει βροτοῖσι τελευτῶν. Εὐ. Τήμ. 8. Οὐ πολὺ διαλιπὼν ἐτελεύτησεν. Θ. 5, 10, 11. Ἀντὶ φιλοτίμων ἀνδρῶν φιλοχρηματισταὶ καὶ φιλοχρήματοι τελευτῶντες ἐγένοντο. Πλ. πολ. 551, a. [Ὑπέβαλεν ἑαυτὸν φέρων τοῖς Θηβαίοις. Αἰ. 3, 90.

τῶν ἀδελφῶν ἀμελοῦσιν, ὥσπερ ἐκ πολιτῶν μὲν γιγνομένους φίλους, ἐξ ἀδελφῶν δὲ οὐ γιγνομένους. Ξε. ἀπ. 2, 3, 3. Vgl. Elmsley z. Eu. Her. 693?

A. 11. Über den absoluten Dativ § 48, 5, 1. Als zum Particip gehöriges Nomen ist oft nicht bloß zum Ge. (§ 47, 4, 3), sondern auch zum Da. u. Ac. ein Pronomen zu ergänzen. Kr. z. Xe. An. 4, 1, 17 und 7, 1, 10 und Reg. z. Th. und Pronomen E.

10. Im temporalen Verhältnisse bezeichnet das Particip eine rein äußerlich der Zeit nach stattfindende Verbindung, wie eben das Tempus des Particips sie andeutet: dem bestimmten Tempus Gleichzeitiges das Präsens, Vorzeitiges der Aorist und das Perfekt, Bevorstehendes das Futur.

A. 1. Die Griechen, mit einer Fülle von Participien ausgestattet, gebrauchen die den Ausdruck verkürzende und kräftigende Participialkonstruktion ungleich häufiger als wir und selbst als die Lateiner (daher auch φιλομέτοχοι genannt). In vielen Fällen übersetzen wir die Participia durch das Relativ oder durch Konjunktionen: 1) das des Präsens durch wann (zur Zeit da), während, indem, da, so lange als, so oft als; 2) das des Aorists und Perfekts durch wann, nachdem, als, da; 3) das des Futurs (oft die Nebenidee des Zweckes enthaltend) durch um, indem er sollte oder wollte ꝛc. Καὶ φύσει πως εὐάγωγόν ἐστι πᾶς ἀνὴρ ἐρῶν. Μέ. 340 (352). (Πότερον κάλλιον πράττοι ἄν τις εἷς ὢν πολλὰς τέχνας ἐργαζόμενος ἢ ὅταν μίαν εἷς (ἐργάζηται)); Πλ. πολ. 370, b.) Νεανίας ὅστις ὢν Ἄρῃ στυγεῖ κόμῃ μόνον καὶ σάρκες, ἔργα δ' οὐδαμοῦ. Εὐ. ἀποσ. ἀδ. 30 (1039). Τί φῄς; λαθεῖν ζητῶν τι πρὸς γυναῖκ' ἐρεῖς; Ἀντιφά. 284 (253). Ἀργὸς οὐδεὶς θεοὺς ἔχων ἀνὰ στόμα βίον δύναιτ' ἂν συλλέγειν ἄνευ πόνου. Εὐ. Ἠλ. 80. Ὅτε μὲν ἐπίοι τὸ τῶν Ἀθηναίων στρατόπεδον ὑπεχώρουν, ἀναχωροῦσι δ' ἐπέκειντο. Θ. 3, 97, 3. — Πολλοὶ ἤδη ἐξαπατήσαντες καὶ διαλαθόντες τῶν παρόντων κινδύνων ἀπελύθησαν. Λυκ. 79. Γράμματα μαθεῖν δεῖ καὶ μαθόντα νοῦν ἔχειν. Μέ. μο. 96. Ἡδὺ σωθέντα μεμνῆσθαι πόνων. Εὐ. Ἀνδρομέδα 15 (131). — Οἱ Ἕλληνες διαβεβηκότες ἀπεῖχον τῆς χαράδρας ὅσον ὀκτὼ σταδίους. Ξε. ἀν. 3, 4, 3. — Ὁ βάρβαρος τῷ μεγάλῳ στόλῳ ἐπὶ τὴν Ἑλλάδα δουλωσόμενος ἦλθεν. Θ. 1, 18, 3. — Οἷάπερ παρόντος ἐμοῦ λέγετε, τοιαῦτα καὶ περὶ ἀπόντος φρονεῖτε. Ἰσ. 3, 60. Πολεμοῦνται ἀσαφῶς ὁποτέρων ἀρξάντων. Θ. 4, 20, 3.

A. 2. Oft übersetzen wir das Particip durch ein verbales Substantiv und das Substantiv durch den Genitiv. Αἴας μ' ἀδελφὸς ὤλεσ' ἐν Τροίᾳ θανών. Εὐ. Ἑλ. 94. Ῥώμην καὶ ἡ νῆσος ἐμπρησθεῖσα παρεῖχεν. Θ. 4, 29, 2. Vgl. § 50, 11, 3.

A. 3. Verdeutlicht und näher bestimmt wird die temporale Bedeutung des Particips durch hinzugefügte Adverbia. So stehen vor dem Particip μεταξύ mitten in (Ausn. Πλ. ἀπ. 40, b.) — und εὐθύς sogleich nach — (das Particip durch ein Substantiv zu übersetzen), nie so εὐθέως [Lobeck z. Phryn. p. 145***]; vor oder nach demselben ἅμα; nur nach demselben ἐνταῦθα δή, εἶτα (Ausn. Ἀρ. νε. 860. Λυ. 654. Ἄμφις 36), ἔπειτα, οὕτω, (τότε) ἤδη. (Eben so folgt zuweilen auch μετὰ ταῦτα und ἐκ τούτου.) Οἱ βάρβαροι καὶ φεύγοντες ἅμα ἐτίτρωσκον. Ξε. ἀν. 3, 3, 10. Ἅμα ταῦτ' εἰπὼν ἀνέστη. Ξε. ἀν. 3, 1, 47. — Τίς ἂν εἴη τοιοῦτος ἰατρὸς ὅστις τῷ νοσοῦντι μεταξὺ ἀσθενοῦντι μηδὲν συμβουλεύοι; Αἰ. 3, 225. — Οἱ Λακεδαιμόνιοι ἐπιπόνῳ ἀσκήσει εὐθὺς νέοι ὄντες τὸ ἀνδρεῖον μετέρχονται. Θ. 2, 39, 2. Τοῖς καλοῖς εὐθὺς ἰδόντες εὖνοι γιγνόμεθα. Ἰσ. 10, 56. (Ἐπιγενομένη ἡ νόσος ἐνταῦθα δὴ πάνυ ἐπίεσε τοὺς Ἀθηναίους. Θ. 2, 58, 2. z. Xe. An. 4, 3, 30.) — Οὐ θανεῖν ἔχθιστον, ἀλλ' ὅταν θανεῖν χρῄζων τις εἶτα μηδὲ τοῦτ' ἔχῃ λαβεῖν. Σο. Ἠλ. 1008. Σκόπει τάδε, μὴ νῦν φυγόντες εἶθ' ἁλῶμεν ὕστερον. Εὐ. Ἀνδρ. 755. Οἱ ἄνθρωποι ἄνδρα ἡγη-

σάμενοι εὐεργετεῖν ἱκανὸν εἶναι καὶ ἀπολαύειν αὐτοῦ ἀγαθὰ νομίσαντες ἔπειτα τοῦτον ἀνὰ στόμα ἔχουσιν ἐπαινοῦντες. Ξε. Ἱέρ. 7, 9. — Οἱ ζωγράφοι ἐκ πολλῶν συνάγοντες τὰ ἐξ ἑκάστου κάλλιστα οὕτως ὅλα τὰ σώματα καλὰ ποιοῦσι φαίνεσθαι. Ξε. ἀπ. 3, 10, 2. Ὑπὲρ μεγίστων καὶ καλλίστων κινδυνεύσαντες οὕτω τὸν βίον ἐτελεύτησαν. Λυ. 2, 79. — Τῷ ὑπερβάλλοντι τῶν ἐπαίνων φθονοῦντες ἤδη καὶ ἀπιστοῦσιν. Θ. 2, 35, 3. Κοινῇ ἀσκήσαντες τότε ἤδη, ἐὰν δοκῇ χρῆναι, ἐπιθησόμεθα τοῖς πολιτικοῖς. Πλ. Γο. 527, d. — (Εἴ τις δῶρα λαμβάνων μετὰ ταῦτα λέγει καὶ γιγνώσκει περὶ τῶν πραγμάτων, ἐξώλης ἔστω. Δείν. 2, 16. [vgl. Her. 8, 25.] Ἐν ἐμαυτῷ πεῖραν λαβὼν ἐκ τούτου καὶ ἄλλον ἤλαυνον. Ξε. ἀν. 5, 8, 15. vgl. Dem. 53, 24.)

(A. 4. Ἔρχεσθαι und ἰέναι mit dem Particip des Futurs stehen auch in uneigentlicher Bedeutung: ich bin im Begriff zu —, bei Attikern selten. [Elmsley z. Eu. Med. 1024.] Οἶσθα εἰς οἷον κίνδυνον ἔρχει ὑποθήσων τὴν ψυχήν. Πλ. Πρω. 313, a. Ὅπερ ᾖα νῦν ἐρῶν, ἡ ἀπληστία παρασκευάζει τυραννίδος δεηθῆναι. Πλ. πολ. 562, c. Über παρασκευάζεσθαι mit dem Part. des Fu. ohne ὡς z. Th. 2, 18, 1. vgl. 5, 8, 2.)

(A. 5. Mit einer kleinen Ungenauigkeit steht in relativen und Fragesätzen bei χρή und δεῖ das Particip mit dem Infinitiv, während eig. nur jenes zu χρή oder δεῖ gehört: was muß —, um zu —. Ποίαν χρὴ ποίῳ ἀνδρὶ συνοῦσαν ὡς ἀρίστους παῖδας τίκτειν; Πλ. Θε. 149, d. Τί χρὴ τὸν ἄθλιον δράσαντα σοὶ χαρίζεσθαι; Εὐ. Ἱπ. 1261. Ἦσαν ἐπὶ χαράδρα, ἣν ἔδει διαβάντας πρὸς τὸ ὄρθιον ἐκβαίνειν. Ξε. ἀν. 4, 2, 3. z. Th. 2, 51, 1. vgl. Her. 8, 129, 1.)

11. Die temporale Verbindung kann auch eine bloß angenommene hypothetische sein: im Fall, wenn.

A. So am häufigsten in allgemeinen Sätzen. Ὁ θυμὸς ἀλγῶν ἀσφάλειαν οὐκ ἔχει. Εὐ. ἀποσ. ἄδ. 30 (1027). Ὦ τρὶς κακοδαίμων ὅστις ὢν πένης γαμεῖ. Μέ. μο. 757. Πᾶς ἑαυτῷ συγγνώμην ἕξει κακῷ ὄντι. Πλ. πολ. 391, e. Οὐκ ἔστιν αἰσχρὸν ἀγνοοῦντα μανθάνειν. Μέ. μο. 405. Δυοῖν λεγόντοιν θατέρου θυμουμένου ὁ μὴ ἀντιτείνων τοῖς λόγοις σοφώτερος. Εὐ. Πρωτ. 2 (656). — Ῥίψας λόγον τις οὐκ ἀναιρεῖται πάλιν. Μέ. μο. 710. Οὐκ ἂν δύναιο μὴ καμὼν εὐδαιμονεῖν. Εὐ. Κρῆσ. 6 (464). Ῥᾶον παραινεῖν ἢ παθόντα καρτερεῖν. Μέ. μο. 471. Πόνου μεταλλαχθέντος οἱ πόνοι γλυκεῖς. Σο. ἀποσ. 672 (344). — Χρήματα κτωμένους εὐφραίνει καὶ κεκτημένους ἐλευθεριώτερον καὶ ἥδιον ζῆν ποιεῖ. Ξε. ἀπ. 1, 6, 3. — Ἐπὶ Κέκροπος ξυνῄεσαν βουλευσόμενοι ὡς τὸν βασιλέα. Θ. 2, 15, 1.

12. Verbundene Handlungen können leicht auch als auf einander einwirkende gedacht werden, und dem gemäß kann das Particip zu seinem Verbum auch in einem kaussalen Verhältnisse stehen.

A. 1. So bezeichnet das Particip des Präsens und der Präterita auch das Mittel: dadurch, daß, und selbst den Grund: deshalb weil, da; das des Futurs den Zweck: um zu. Μὴ κρῖν' ὁρῶν τὸ κάλλος, ἀλλὰ τὸν τρόπον. Μέ. μο. 333. Πατὴρ ἀπειλῶν οὐκ ἔχει μέγαν φόβον. Μέ. 440 (454). Δαίμων ἐμαυτῷ γέγονα γήμας πλουσίαν. Μέ. μο. 132. — Ὁ ἄδικος λόγος νοσῶν ἐν αὑτῷ φαρμάκων δεῖται σοφῶν. Εὐ. Φοί. 471. Οἱ μεγάλα δαπανώμενοι πολλῶν δεόμενοι αἰσχροκερδέστατοί εἰσιν. Ἀνδ. 4, 32. Συνετὸς πεφυκὼς φεῦγε τὴν πανουργίαν. Γν. 574. Οὔτε μικρὸν οὔτε μέγα οὐδὲν τῶν δεόντων ποιούντων ὑμῶν κακῶς ἔχει τὰ πράγματα. Δη. 4, 2. — Οὐκ ἐς λόγους ἐλήλυθ', ἀλλά σε κτενῶν. Εὐ. Τρφ. 905. — (Λέγω τοῦδ' ἕνεκα, βουλόμενος δόξαι σοὶ ὅπερ ἐμοί. Πλ. Φαίδ. 102, d.)

A. 2. Verdeutlichen kann man die Angabe des Grundes, wenn man dem Particip ἅτε oder ὡς vorsetzt: ἅτε (selten οἷα vgl. z. Th. 2, 5, 2), wenn der Grund als faktischer (objektiv), in der Natur der Sache liegender),

τῶν ἀδελφῶν ἀμελοῦσιν, ὥσπερ ἐκ πολιτῶν μὲν γιγνομένους φίλους, ἐξ ἀδελφῶν δὲ οὐ γιγνομένους. Ξε. ἀπ. 2, 3, 3. Vgl. Elmsley z. Eu. Her. 693?

A. 11. Über den absoluten Dativ § 48, 5, 1. Als zum Particip gehöriges Nomen ist oft nicht bloß zum Ge. (§ 47, 4, 3), sondern auch zum Da. u. Ac. ein Pronomen zu ergänzen. Kr. z. Xe. An. 4, 1, 17 und 7, 1, 10 und Reg. z. Th. und Pronomen E.

10. Im temporalen Verhältnisse bezeichnet das Particip eine rein äußerlich der Zeit nach stattfindende Verbindung, wie eben das Tempus des Particips sie andeutet: dem bestimmten Tempus Gleichzeitiges das Präsens, Vorzeitiges der Aorist und das Perfekt, Bevorstehendes das Futur.

A. 1. Die Griechen, mit einer Fülle von Participien ausgestattet, gebrauchen die den Ausdruck verkürzende und kräftigende Participialkonstruktion ungleich häufiger als wir und selbst als die Lateiner (daher auch φιλομέτοχοι genannt). In vielen Fällen übersetzen wir die Participia durch das Relativ oder durch Konjunktionen: 1) das des Präsens durch wann (zur Zeit da), während, indem, da, so lange als, so oft als; 2) das des Aorists und Perfekts durch wann, nachdem, als, da; 3) das des Futurs (oft die Nebenidee des Zweckes enthaltend) durch um, indem er sollte oder wollte 2c. Καὶ φύσει πως εὐάγωγόν ἐστι πᾶς ἀνὴρ ἐρῶν. Μέ. 340 (352). (Πότερον κάλλιον πράττοι ἄν τις εἷς ὢν πολλὰς τέχνας ἐργαζόμενος ἢ ὅταν μίαν εἷς (ἐργάζηται)); Πλ. πολ. 370, b.) Νεανίας ὅστις ὢν Ἄρη στυγεῖ κόμῃ μόνον καὶ σάρκες, ἔργα δ' οὐδαμοῦ. Εὐ. ἀποσ. ἀδ. 30 (1039). Τί φῄς; λαθεῖν ζητῶν τι πρὸς γυναῖκ' ἐρεῖς; Ἀντιφά. 284 (253). Ἀργὸς οὐδεὶς θεοὺς ἔχων ἀνὰ στόμα βίον δύναιτ' ἂν συλλέγειν ἄνευ πόνου. Εὐ. Ἠλ. 80. Ὅτε μὲν ἐπίοι τὸ τῶν Ἀθηναίων στρατόπεδον ὑπεχώρουν, ἀναχωροῦσι δ' ἐπέκειντο. Θ. 3, 97, 3. — Πολλοὶ ἤδη ἐξαπατήσαντες καὶ διαλαθόντες τῶν παρόντων κινδύνων ἀπελύθησαν. Λυκ. 79. Γράμματα μαθεῖν δεῖ καὶ μαθόντα νοῦν ἔχειν. Μέ. μο. 96. Ἡδὺ σωθέντα μεμνῆσθαι πόνων. Εὐ. Ἀνδρομέδα 15 (131). — Οἱ Ἕλληνες διαβεβηκότες ἀπεῖχον τῆς χαράδρας ὅσον ὀκτὼ σταδίους. Ξε. ἀν. 3, 4, 3. — Ὁ βάρβαρος τῷ μεγάλῳ στόλῳ ἐπὶ τὴν Ἑλλάδα δουλωσόμενος ἦλθεν. Θ. 1, 18, 3. — Οἷάπερ παρόντος ἐμοῦ λέγετε, τοιαῦτα καὶ περὶ ἀπόντος φρονεῖτε. Ἰσ. 3, 60. Πολεμοῦνται ἀσαφῶς ὁποτέρων ἀρξάντων. Θ. 4, 20, 3.

A. 2. Oft übersetzen wir das Particip durch ein verbales Substantiv und das Substantiv durch den Genitiv. Αἴας μ' ἀδελφὸς ὤλεσ' ἐν Τροίᾳ θανών. Εὐ. Ἑλ. 94. Ῥώμην καὶ ἡ νῆσος ἐμπρησθεῖσα παρεῖχεν. Θ. 4, 29, 2. Vgl. § 50, 11, 3.

A. 3. Verdeutlicht und näher bestimmt wird die temporale Bedeutung des Particips durch hinzugefügte Adverbia. So stehen vor dem Particip μεταξύ mitten in (Ausn. Pl. ἀπ. 40, b.) — und εὐθύς sogleich nach — (das Particip durch ein Substantiv zu übersetzen), nie so εὐθέως [Lobeck z. Phryn. p. 145***]; vor oder nach demselben ἅμα; nur nach demselben ἐνταῦθα δή, εἶτα (Ausn. Ἀρ. νε. 860. Λυ. 654. Ἄμφις 36), ἔπειτα, οὕτω, (τότε) ἤδη. (Eben so folgt zuweilen auch μετὰ ταῦτα und ἐκ τούτου.) Οἱ βάρβαροι καὶ φεύγοντες ἅμα ἐτίτρωσκον. Ξε. ἀν. 3, 3, 10. Ἅμα ταῦτ' εἰπὼν ἀνέστη. Ξε. ἀν. 3, 1, 47. — Τίς ἂν εἴη τοιοῦτος ἰατρὸς ὅστις τῷ νοσοῦντι μεταξὺ ἀσθενοῦντι μηδὲν συμβουλεύοι; Αἰ. 3, 225. — Οἱ Λακεδαιμόνιοι ἐπιπόνῳ ἀσκήσει εὐθὺς νέοι ὄντες τὸ ἀνδρεῖον μετέρχονται. Θ. 2, 39, 2. Τοῖς καλοῖς εὐθὺς ἰδόντες εὖνοι γιγνόμεθα. Ἰσ. 10, 56. (Ἐπιγενομένη ἡ νόσος ἐνταῦθα δὴ πάνυ ἐπίεσε τοὺς Ἀθηναίους. Θ. 2, 58, 2. z. Xe. An. 4, 3, 30.) — Οὐ θανεῖν ἔχθιστον, ἀλλ' ὅταν θανεῖν χρῄζων τις εἶτα μηδὲ τοῦτ' ἔχῃ λαβεῖν. Σο. Ἠλ. 1008. Σκόπει τάδε, μὴ νῦν φυγόντες εἶθ' ἁλῶμεν ὕστερον. Εὐ. Ἀνδρ. 755. Οἱ ἄνθρωποι ἄνδρα ἡγη-

σάμενοι εὐεργετεῖν ἱκανὸν εἶναι καὶ ἀπολαύειν αὐτοῦ ἀγαθά νομίσαντες ἔπειτα τοῦτον ἀνὰ στόμα ἔχουσιν ἐπαινοῦντες. Ξε. Ἱέρ. 7, 9. — Οἱ ζωγράφοι ἐκ πολλῶν συνάγοντες τὰ ἐξ ἑκάστου κάλλιστα οὕτως ὅλα τὰ σώματα καλὰ ποιοῦσι φαίνεσθαι. Ξε. ἀπ. 3, 10, 2. Ὑπὲρ μεγίστων καὶ καλλίστων κινδυνεύσαντες οὕτω τὸν βίον ἐτελεύτησαν. Λυ. 2, 79. — Τῷ ὑπερβάλλοντι τῶν ἐπαίνων φθονοῦντες ἤδη καὶ ἀπιστοῦσιν. Θ. 2, 35, 3. Κοινῇ ἀσκήσαντες τότε ἤδη, ἐὰν δοκῇ χρῆναι, ἐπιθησόμεθα τοῖς πολιτικοῖς. Πλ. Γο. 527, d. — (Εἴ τις δῶρα λαμβάνων μετὰ ταῦτα λέγει καὶ γιγνώσκει περὶ τῶν πραγμάτων, ἐξώλης ἔστω. Δείν. 2, 16. [vgl. Her. 8, 25.] Ἐν ἐμαυτῷ πεῖραν λαβὼν ἐκ τούτου καὶ ἄλλον ἤλαυνον. Ξε. ἀν. 5, 8, 15. vgl. Dem. 53, 24.)

(A. 4. Ἔρχεσθαι und ἰέναι mit dem Particip des Futurs stehen auch in uneigentlicher Bedeutung: ich bin im Begriff zu —, bei Attikern selten. [Elmsley z. Eu. Med. 1024.] Οἶσθα εἰς οἷον κίνδυνον ἔρχει ὑποθήσων τὴν ψυχήν. Πλ. Πρω. 313, a. Ὅπερ ᾖα νῦν ἐρῶν, ἡ ἀπληστία παρασκευάζει τυραννίδος δεηθῆναι. Πλ. πολ. 562, c. Über παρασκευάζεσθαι mit dem Part. des Fu. ohne ὡς z. Th. 2, 18, 1. vgl. 5, 8, 2.)

(A. 5. Mit einer kleinen Ungenauigkeit steht in relativen und Fragesätzen bei χρή und δεῖ das Particip mit dem Infinitiv, während eig. nur jenes zu χρή oder δεῖ gehört: was muß —, um zu —. Ποίαν χρὴ ποίῳ ἀνδρὶ συνοῦσαν ὡς ἀρίστους παῖδας τίκτειν; Πλ. Θε. 149, d. Τί χρὴ τὸν ἄθλιον δράσαντα σοὶ χαρίζεσθαι; Εὐ. Ἱπ. 1261. Ἦσαν ἐπὶ χαράδρᾳ, ἣν ἔδει διαβάντας πρὸς τὸ ὄρθιον ἐκβαίνειν. Ξε. ἀν. 4, 2, 3. z. Th. 2, 51, 1. vgl. Her. 8, 129, 1.)

11. Die temporale Verbindung kann auch eine bloß angenommene hypothetische sein: im Fall, wenn.

A. So am häufigsten in allgemeinen Sätzen. Ὁ θυμὸς ἀλγῶν ἀσφάλειαν οὐκ ἔχει. Εὐ. ἀποσ. ἀδ. 30 (1027). Ὦ τρὶς κακοδαίμων ὅστις ὢν πένης γαμεῖ. Μέ. μο. 757. Πᾶς ἑαυτῷ συγγνώμην ἕξει κακῷ ὄντι. Πλ. πολ. 391, e. Οὐκ ἔστιν αἰσχρὸν ἀγνοοῦντα μανθάνειν. Μέ. μο. 405. Δυοῖν λεγόντοιν θατέρου θυμουμένου ὁ μὴ ἀντιτείνων τοῖς λόγοις σοφώτερος. Εὐ. Πρωτ. 2 (656). — Ῥίψας λόγον τις οὐκ ἀναιρεῖται πάλιν. Μέ. μο. 710. Οὐκ ἂν δύναιο μὴ καμὼν εὐδαιμονεῖν. Εὐ. Κρῆσ. 6 (464). Ῥᾷον παραινεῖν ἢ παθόντα καρτερεῖν. Μέ. μο. 471. Πόνου μεταλλαχθέντος οἱ πόνοι γλυκεῖς. Σο. ἀποσ. 672 (344). — Χρήματα κτωμένους εὐφραίνει καὶ κεκτημένους ἐλευθεριώτερον καὶ ἥδιον ζῆν ποιεῖ. Ξε. ἀπ. 1, 6, 3. — Ἐπὶ Κέκροπος ξυνῄεσαν βουλευσόμενοι ὡς τὸν βασιλέα. Θ. 2, 15, 1.

12. Verbundene Handlungen können leicht auch als auf einander einwirkende gedacht werden, und dem gemäß kann das Particip zu seinem Verbum auch in einem kausalen Verhältnisse stehen.

A. 1. So bezeichnet das Particip des Präsens und der Präterita auch das Mittel: dadurch, daß, und selbst den Grund: deshalb weil, da; das des Futurs den Zweck: um zu. Μὴ κρῖν' ὁρῶν τὸ κάλλος, ἀλλὰ τὸν τρόπον. Μέ. μο. 333. Πατὴρ ἀπειλῶν οὐκ ἔχει μέγαν φόβον. Μέ. 440 (454). Δαίμων ἐμαυτῷ γέγονα γήμας πλουσίαν. Μέ. μο. 132. — Ὁ ἄδικος λόγος νοσῶν ἐν αὑτῷ φαρμάκων δεῖται σοφῶν. Εὐ. Φοί. 471. Οἱ μεγάλα δαπανώμενοι πολλῶν δεόμενοι αἰσχροκερδέστατοί εἰσιν. Ἀνδ. 4, 32. Συνετὸς πεφυκὼς φεῦγε τὴν πανουργίαν. Γν. 574. Οὔτε μικρὸν οὔτε μέγα οὐδὲν τῶν δεόντων ποιούντων ὑμῶν κακῶς ἔχει τὰ πράγματα. Δη. 4, 2. — Οὐκ ἐς λόγους ἐλήλυθ', ἀλλά σε κτενῶν. Εὐ. Τρῳ. 905. — (Λέγω τοῦδ' ἕνεκα, βουλόμενος δόξαι σοὶ ὅπερ ἐμοί. Πλ. Φαίδ. 102, d.)

A. 2. Verdeutlichen kann man die Angabe des Grundes, wenn man dem Particip ἅτε oder ὡς vorsetzt: ἅτε (selten οἷα vgl. z. Th. 2, 5, 2), wenn der Grund als faktischer (objektiv), in der Natur der Sache liegender),

vorgestellt wird: da nämlich, quippe; ὡς, wenn die Erscheinung der Sache den Grund als Urteil hervorbringt: wie, wie wenn, als ob, in der Voraussetzung, Meinung daß —. [Krit. Anal. 1 S. 160.] Ὁ Ἔρως, ἅτε αὐτὸς ὢν μόναρχος, ἄξει ἐπὶ πᾶσαν τόλμαν. Πλ. πολ. 575, a. Ἅτε ἀήθους τοῖς Λακεδαιμονίοις γεγενημένης τῆς τοιαύτης συμφορᾶς, πολὺ πένθος ἦν. Ξε. Ἑλ. 4, 5, 10. (Οἷα δὴ ἀπιόντων ἐπελαύνουσιν. Ξε. Ἑλ. 5. 4, 39.) — Οἱ βιασθέντες ὡς ἀφαιρεθέντες μισοῦσιν. Ξε. ἀπ. 1, 2, 10. Αἱ πόλεις ἐπὶ τοῖς μεγίστοις ἀδικήμασι ζημίαν θάνατον πεποιήκασιν, ὡς οὐκ ἂν μείζονος κακοῦ φόβῳ τὴν ἀδικίαν παύσοντες. Ξε. ἀπ. 2, 2, 3. Ἐρώτα ὅ, τι βούλει ὡς τἀληθῆ ἐροῦντος (erg. ἐμοῦ). Ξε. Κυ. 3, 1, 9.

(A. 3. Die Partikeln ἅτε und ὡς erscheinen auch (ohne ὤν) bei einem bloßen Nomen. Τοὺς τῆς τραγῳδίας ποιητὰς εἰς τὴν πολιτείαν οὐ παραδεξόμεθα, ἅτε τυραννίδος ὑμνητάς. Πλ. πολ. 568, b. [Schneider z. Plat. Rep. 551, e.] Ἀναβαίνει ὁ Κῦρος λαβὼν Τισσαφέρνην ὡς φίλον. Ξε. ἀν. 1, 1, 2. Über οἷα Pflugk z. Eu. Andr. 912.)

A. 4. Nach einem kausalen Particip kann auch οὕτως eintreten; eben so verdeutlichend und verstärkend διὰ τοῦτο, διὰ ταῦτα. Παντὸς μᾶλλον αὐτὸς ἀπορῶν οὕτως καὶ τοὺς ἄλλους ποιῶ ἀπορεῖν. Πλ. Μέν. 80, c. Νομίζων ἀμείνονας καὶ κρείττους πολλῶν βαρβάρων ὑμᾶς εἶναι διὰ τοῦτο προσέλαβον. Ξε. ἀν. 1, 7, 3. Σωκράτης οἴεσθαι ἔφη τὸν Ὀδυσσέα Ἑρμοῦ τε ὑποθημοσύνῃ καὶ αὐτὸν ἐγκρατῆ ὄντα διὰ ταῦτα οὐδὲ γενέσθαι ὗν. Ξε. ἀπ. 1, 3, 7. vgl. z. Xe. An. 1, 7, 3.

13. Sogar auch gegensätzlich kann das Particip seinem Verbum beigefügt werden.

A. 1. Gewöhnlich ist es in diesem Falle durch obgleich übersetzbar, mitunter durch welcher. (Auch hier fehlt ὤν zuweilen.) Πολλοὶ μὲν ὄντες εὐγενεῖς εἰσιν κακοί. Εὐ. Ἠλ. 553. Ἀνὴρ δίκαιος οὐχ ὁ μὴ ἀδικῶν, ἀλλ' ὅστις ἀδικεῖν δυνάμενος οὐ βούλεται. Φιλή. 92, 1. Ἔρχεται τἀληθὲς εἰς φῶς ἐνίοτ' οὐ ζητούμενον. Μέ. 416 (433). Πολλοὺς ὁ καιρὸς οὐκ ὄντας ποιεῖ φίλους. Μέ. μο. 446. — Δὶς τό γε καλὸν ῥηθὲν οὐδὲν βλάπτει. Πλ. νό. 754, c. — Πολλῶν κατὰ γῆν καὶ κατὰ θάλατταν θηρίων ὄντων μέγιστόν ἐστι θηρίον γυνή. Μέ. 477 (488). Vgl. § 57, 2, 5.

A. 2. Verdeutlicht wird dieses Particip durch ein vorgesetztes καί auch, selbst, negativ οὐδέ, μηδέ, und καίπερ obgleich, das bei den Attikern nicht leicht anders als mit dem Particip oder einer participartigen Konstruktion vorkommt, während καίτοι und doch nur bei einem selbständigen Satze eintritt. [Kr. Stud. 2 S. 49.] Erst bei Spätern werden beide öfter auch umgekehrt gebraucht. [Vgl. Kr. z. Arr. 1, 5, 7. [Auch Plat. Symp. 219, c. Rep. 511, d, Lys. 31, 34?] Καὶ δοῦλος ὢν τίμιος πλουτῶν ἀνήρ. Εὐ. Ἀνδρομέδα 20 (143, 2). Αἱ συμφοραὶ καὶ βραχὺν ὄντα μακρὸν δοκεῖν εἶναι ποιοῦσι τὸν βίον. Ἡρ. 7, 46, 2. Κύπρις οὐδὲν νουθετουμένη χαλᾷ. Εὐ. Δίκ. 6 (341), 1. Γυναικὶ πείθου μηδὲ τἀληθῆ κλύων. Εὐ. Ἱπ. καλ. 11. — Συμβουλεύω σοι, καίπερ νεώτερος ὤν. Ξε. Κυ. 4, 5, 32. Διαπεπραγμένος ἧκε, καίπερ πάνυ πολλῶν ἀντιλεγόντων. Ξε. ἀν. 2, 3, 25. Οὐκ ἂν προδοίην καίπερ ἄψυχον φίλον. Εὐ. Πρωτε. 7 (657). Λέγεις ἀληθῆ, καίπερ ἐκ μακροῦ χρόνου. Σο. ΟΤ. 1141.

A. 3. Urgiert wird der Gegensatz durch ein zugefügtes ὅμως, das auch dem Particip sich anschließen und nicht minder vor demselben stehen kann. [z. Th. 5, 61, 3.] Ἡ δοκεῖ τίς σοι, γιγνώσκων τὰ κακὰ ὅτι κακά ἐστιν ὅμως ἐπιθυμεῖν αὐτῶν; Πλ. Μέν. 77, c. — (Καὶ θνήσκουσ' ὅμως, πολλὴν πρόνοιαν εἶχεν εὐσχήμως πεσεῖν. Εὐ. Ἑκ. 568. — Πείθου γυναιξί, καίπερ οὐ στέργων ὅμως. Αἰσ. ἐπ. 712 (693). vgl. Dial. Sy. A. 2. —) Φοβεῖται μὴ ἡ ψυχὴ ὅμως καὶ θειότερον καὶ κάλλιον ὂν τοῦ σώματος προαπολλύηται. Πλ. Φαίδ. 91, c. Οὓς ἂν αἰσθάνωμαι ὅμως καὶ εὖ πάσχοντας ἔτι ἀδικεῖν πειρωμένους, τούτους ὡς ἀνηκέστους πλεονέκτας ὄντας

ἤδη καὶ τῆς χρήσεως ἀποπαύω. Ξε. οἰκ. 14, 8. Ὅμως πρός γε τὰς ἄλλας τέχνας καίπερ οὕτω πραττούσης φιλοσοφίας τὸ ἀξίωμα μεγαλοπρεπέστερον λείπεται. Πλ. πολ. 495, d.

IV. Verschiedene Kasus von Participien durch Konjunktionen, mehrere Participia ohne Konjunktionen verbunden. Ergänzung.

14. Kopulative und adversative Partikeln können Participia von verschiedener Bedeutung und selbst von verschiedener Form verbinden.

A. 1. So kann mit einem kausalen ein hypothetisches Particip verbunden werden. Νομίσαντες ἐλασσωθήσεσθαι καὶ ὄντες ἐπίτιμοι νεωτεριοῦσιν. Θ. 5, 34, 2. [vgl. z. Xe. An. 1, 7, 4.[Ὑμῶν ἀνδρῶν ὄντων καὶ εὐτόλμων γενομένων ἐγὼ ὑμῶν τὸν οἴκαδε βουλόμενον ἀπιέναι τοῖς οἴκοι ζηλωτὸν ποιήσω ἀπελθεῖν. Ξε. ἀν. 1, 7, 4. Ἔφη κατὰ τὸ εἰκὸς κρατήσειν σφᾶς τῶν πολεμίων, ἀνδρίας μὲν σφίσιν ὑπαρχούσης, εὐταξίας δὲ προςγενομένης, Θ. 6, 72, 3. [Vgl. Reg. z. Th. u. καί I, 1.]

A. 2. Noch auffallender verbindet sich z. B. mit einem regierten Ge. ein absoluter, mit einem absoluten ein No. oder Da., ein No. mit einem absoluten Ge., ein Da. mit einem No. ꝛc. [z. Xe. An. 1, 10, 6 u. Reg. z. Th. u. Particip 2.] Ein auch im Lateinischen vorkommender Sprachgebrauch, am freisten bei Livius, oft mißverstanden. Τὰ ἐπιτήδεια εἶχον ἐκ τῆς ἐν μέσῳ χώρας πολλῆς καὶ ἀγαθῆς οὔσης καὶ τῶν ἐπιτηδείων ἐνόντων. Ξε. ἀν. 2, 4, 22. Ἀλκιβιάδης τοῖς Πελοποννησίοις ὕποπτος ὢν καὶ ἀπ' αὐτῶν ἀφικομένης ἐπιστολῆς ὥστ' ἀποκτεῖναι ὑποχωρεῖ παρὰ Τισσαφέρνην. Θ. 8, 45, 1. Οἱ Ἕλληνες παρασκευάζονται ὡς ταύτῃ προςιόντος (βασιλέως) καὶ δεξόμενοι. Ξε. ἀν. 1, 10, 6. [z. Th. 1, 65, 1.] — Εἰςήλθομεν εἰς τὸν πόλεμον ἔχοντες τριήρεις οὐκ ἐλάττους τετρακοσίων, ὑπαρχόντων δὲ πολλῶν χρημάτων, ἄρχοντες δὲ τῶν νήσων ἁπασῶν. Ξε. ἀν. 7, 1, 27. [vgl. z. Th. 4, 8, 6. 41, 3.] — Οὐδαμόθεν μαθὼν οὐδὲ ὄντος διδασκάλου οὐδενὸς αὐτῷ ἔπειτα συμβουλεύειν ἐπιχειρεῖ. Πλ. Πρω. 319, d. Ἤλπιζον ῥᾳδίως αἱρήσειν οἰκοδόμημα διὰ ταχέων εἰργασμένον καὶ ἀνθρώπων ὀλίγων ἐνόντων. Θ. 4, 8, 3. [vgl. 4, 13, 1.] — Τῷ τείχει προσέβαλον ὄντι ἀσθενεῖ καὶ ἀνθρώπων οὐκ ἐνόντων. Θ. 2, 25, 1. Οὓς χεῖρας προϊσχομένους καὶ ζωγρήσαντες διεφθείρατε, πῶς οὐ δεινὰ εἴργασθε; Θ. 3, 66, 2. — Μεταπεμφθέντες ἦλθον ἢ οὐδενὸς καλέσαντος. Λυ. 4, 11. [vgl. z. Th. 4, 5.] Καρποὺς ἀφθόνους εἶχον οὐχ ὑπὸ γεωργίας φυομένους, ἀλλ' αὐτομάτης ἀναδιδούσης τῆς γῆς. Πλ. πολιτ. 272, a.

Οὐχ ἡσύχαζον, ἀνδρῶν τε σφίσιν ἐνόντων καὶ ἅμα περὶ τῷ χωρίῳ δεδιότες. Θ. 1, 67, 1. — Ἔμαθον ἃ φῂς αὐτὰς ἐπίστασθαι ὡς οὔτε χρήσιμα ὄντα πρὸς τὸν βίον οὔτε ποιήσουσαι αὐτῶν οὐδέν. Ξε. ἀν. 2, 7, 8. Ἡ γυνὴ τρέφει τε καὶ ἐπιμελεῖται οὔτε προπεπονθυῖα οὐδὲν ἀγαθὸν οὔτε γιγνώσκον τὸ βρέφος ὑφ' ὅτου εὖ πάσχει οὐδὲ σημαίνειν δυνάμενον ὅτου δεῖται. Ξε. ἀπ. 2, 2, 5. Κάλλιστον ὅτι μάλιστα ἡσυχίαν ἄγειν ἐν ταῖς ξυμφοραῖς καὶ μὴ ἀγανακτεῖν, ὡς οὔτε δήλου ὄντος τοῦ ἀγαθοῦ τε καὶ κακοῦ τῶν τοιούτων, οὔτε εἰς τὸ πρόσθεν οὐδὲν προβαῖνον τῷ χαλεπῶς φέροντι, οὔτε τι τῶν ἀνθρωπίνων ἄξιον ὂν μεγάλης σπουδῆς. Πλ. πολ. 604, b. — Εἶδεν εἴτε δή τινος εἰπόντος εἴτ' αὐτὸς συνεὶς ὅτι σωτηρία μόνη γένοιτ' ἂν αὐτῷ ἡ ὑμετέρα φιλανθρωπία. Δη. 23, 156. — Ἐν ὀλιγωρίᾳ ἐποιοῦντο, ὡς ὅταν ἐξέλθωσιν ἢ οὐχ ὑπομενοῦντας σφᾶς ἢ ῥᾳδίως ληψόμενοι βίᾳ. Θ. 4, 5. — Αἰσχυνοίμην ἄν, εἰ γεγονὼς μὲν ἀφ' Ἡρακλέους, τοῦ δὲ πατρὸς βασιλεύσαντος, αὐτὸς ὁ ἐπίδοξος ὢν τυχεῖν τῆς τιμῆς ταύτης περιίδοιμι τὴν χώραν τοὺς οἰκέτας τοὺς ἡμετέρους ἔχοντας. Ἰσ. 6, 8. Ἐκείνοις οὐκ ἐβούλετο μάχεσθαι, ἄλλως τε καὶ εὐτυχηκόσι, τῶν δὲ ἀποτετυχηκότων. Ξε. Ἑλ. 7, 5, 14. Οἴονται χρῆναι

οὕτω ῥᾳδίως ὃν ἂν βούλωνται κακῶς ποιεῖν, ὥσπερ τῶν μὲν ἄλλων ἀδικούντων, ἄριστοι δὲ ἄνδρες αὐτοὶ γεγενημένοι. Λυ. 25, 31. Ἅτε οἰκίας τε καὶ ξυσσίτια κοινῇ ἔχοντες, ἰδίᾳ δὲ οὐδενὸς οὐδὲν τοιούτου κεκτημένου ὁμοῦ δὴ ἔσονται. Πλ. πολ. 458, c. Ἐνόμιζον τῶν Συρακοσίων τοὺς ἱππέας πολλοὺς ὄντας, σφίσι δ' οὐ παρόντων ἱππέων βλάπτειν ἂν μεγάλα. Θ. 6, 64, 2.

15. Einem bestimmten Verbum finden sich oft mehrere Participia ohne Konjunktionen angefügt, doch auf mehr als eine Weise. [Kr. in den krit. Anal. 1 S. 163 f.]

A. 1. Selten ist ein wirkliches Asyndeton von Participien. Τὰ δέκα τάλαντα ὁρώντων, φρονούντων, βλεπόντων ἔλαθον ὑμῶν ὑφελόμενοι. Αἰ. 3, 94.

A. 2. Häufig schließt sich ein Particip dem andern an, indem man z. B. für λαβὼν συνέλεξε καὶ ἐπολέμει sagen kann λαβὼν συλλέξας ἐπολέμει. Ὁ Κῦρος ὑπολαβὼν τοὺς φεύγοντας συλλέξας στράτευμα ἐπολιόρκει Μίλητον. Ξε. ἀν. 1, 1, 7. Ἀρχέλαος τὸν θεῖον μεταπεμψάμενος ξενίσας καὶ καταμεθύσας ἐμβαλὼν εἰς ἅμαξαν νύκτωρ ἐξαγαγὼν ἀπέσφαξε καὶ ἠφάνισεν. Πλ. Γο. 471, b. — Κατάσκοπον πέμψαντες ἀπαγγείλαντος αὐτοῖς ὡς εἴη ταῦτα ἀληθῆ τοὺς Ἐρυθραίους εὐθὺς ξυμμάχους ἐποιήσαντο. Θ. 8, 6, 4. — Οἱ πρόγονοι ἀμφοτέρων περιγεγόνασι καὶ τῶν πολεμίων καὶ τῶν συμμάχων, ὡς ἑκατέρων προσῆκε (vgl. § 55, 4, 11.), τοὺς μὲν εὐεργετοῦντες τοὺς δὲ μαχόμενοι νικῶντες. Λυκ. 70. — Ἄδικοι ὄντες λισσόμενοι ὑπερβαίνοντες καὶ ἁμαρτάνοντες πείθοντες αὐτοὺς ἀζήμιοι ἀπαλλάξομεν. Πλ. πολ. 366, a.

A. 3. Das eine Particip kann dem andern auch appositiv beigefügt werden. Ἐξέτασιν ποιήσαντες ἐν τοῖς ἱππεῦσι, φάσκοντες εἰδέναι βούλεσθαι πόσοι εἶεν, ἐκέλευον ἀπογράφεσθαι πάντας. Ξε. Ἑλ. 2, 4, 8. Ἐντυχὼν ἀνθρώπῳ ὀφθαλμιῶντι, ἀπιόντι ἐξ ἰατρείου κάλαμον ἔχοντι, ἀπέκτεινεν. Ξε. Ἑλ. 2, 1, 3.

A. 4. Ein Particip kann mit einem Verbum zu einem Begriffe verschmelzen und diesem so verbundenen Begriffe ein anderes Particip beigefügt werden. Ὠιόμεθ' ὑμᾶς πειθομένους τὰ παρ' ὑμῖν φοβηθέντας οἴχεσθαι ἀποδράντας ἐπὶ θάλασσαν. Ξε. ἀν. 6, 1, 26. Ἡ πόλις ἀγωνιζομένη περὶ πρωτείων καὶ τιμῆς καὶ δόξης κινδυνεύουσα πάντα τὸν αἰῶνα διατετέλεκεν. Δη. 18, 203. Ἐπιθυμῶ ἐκταθείς, ὥσπερ Ὀδυσσεύς, καθεύδων ἀφικέσθαι εἰς τὴν Ἑλλάδα. Ξε. ἀν. 5, 1, 2.

A. 5. Doch können zwei Participia einem Verbum auch in verschiedener Beziehung angefügt sein. Ἆρα προςδοκᾷς ποτέ τινά τι ἱκανῶς ἂν στέρξαι ὃ πράττων ἂν ἀλγῶν τε πράττοι δὴ καὶ μόγις σμικρὸν ἀνύτων; Πλ. πολ. 486, c. Ὤμοσαν σφάξαντες κάπρον βάπτοντες οἱ μὲν Ἕλληνες ξίφος, οἱ δὲ βάρβαροι λόγχην. Ξε. ἀν. 2, 2, 9. Θύσαντες, ἐπεὶ καλλιερήσαντο, ἀριστήσαντες ὀρθίους τοὺς λόχους ποιησάμενοι ἐπορεύοντο τοὺς τοξότας μεταξὺ τῶν λόχων ἔχοντες. Ξε. ἀν. 5, 4, 22. — Προδραμόντες διαβάντες τὴν χαράδραν, ὁρῶντες πρόβατα πολλά, προσέβαλλον πρὸς τὸ χωρίον. Ξε. ἀν. 5, 2, 4.

A. 6. Prädikativ kann ein Particip einem andern selbst in Verbindung mit dem Artikel zugefügt werden, wie ζῶν ἔχεται so ὁ ζῶν ἐχόμενος ꝛc. vgl. § 50, 12, 1 u. z. Th. 1, 75, 2. Οἱ ζῶντες καταλειπόμενοι τραυματίαι τε καὶ ἀσθενεῖς πολὺ τῶν τεθνεώτων τοῖς ζῶσι λυπηρότεροι ἦσαν. Θ. 7, 75, 2. Παρεγένοντο ἤδη τῶν ἀνδρῶν τῶν μὲν διεφθαρμένων, τῶν δὲ ζώντων ἐχομένων. Θ. 2, 5, 2. Τῷ σφενδονᾶν ἐντεταγμένῳ ἐθέλοντι ἄλλην τινὰ ἀτέλειαν εὑρίσκωμεν. Ξε. ἀν. 3, 3, 18. Ἀπεκρίνατο Θεαγένους ἀδελφὴ εἶναι τοῦ πεσόντος ἐν Χαιρωνείᾳ στρατηγοῦντος. Πλουτ. Ἀλεξ. 12.

16. Oft ist das Particip (wie der Infinitiv § 55, 4, 11) zu einem Verbum aus einem in der Nähe stehenden Verbum zu ergänzen.

A. So zu τυγχάνειν, (vgl. 56, 4, 2.) λανθάνειν, φθάνειν; παύειν, λήγειν, διατελεῖν; ὁρᾶν u. a. Πρὸς ὀργὴν ἥντινα τύχητε ἔστιν ὅτε σφαλέντες τὴν τοῦ πείσαντος μίαν γνώμην ζημιοῦτε. Θ. 3, 43, 4. Τῶν πολεμίων τὰ μὲν ἐκ Σικελίας δι' ὀλίγου πoριουμένων, τὰ δ' ἐκ Πελοποννήσου σχολαίτερον μέν, ὅμως δ', ἢν μὴ προσέχητε τὴν γνώμην, τὰ μὲν λήσουσιν ὑμᾶς, τὰ δὲ φθήσονται. Θ. 7, 15, 2. — Οὐκ ἀρχῆς ἐφιέμεθα, παῦσαι δὲ μᾶλλον ἑτέρους σπεύδομεν. Θ. 4, 87, 3. Ἔλεγον χρῆναι ἔτι ζητεῖν καὶ μὴ παύσασθαι. Ἀνδ. 1, 36. Τὰ μέν σ' ἐπαινῶ κοὐδαμῇ λήξω ποτέ. Αἰσ. Προ. 340. Ἄργος καὶ Θῆβαι καὶ Λακεδαίμων καὶ τότ' ἦσαν μέγισται καὶ νῦν ἔτι διατελοῦσιν. Ἰσ. 4, 64. — Ὡρμίσαντο καὶ αὐτοί, ἐπειδὴ καὶ τοὺς Ἀθηναίους εἶδον. Θ. 2, 86, 2. [z. Th. 1, 73, 3.] Ἀντεπλήρουν τὰς ναῦς εὐθύς, ἐπειδὴ καὶ τοὺς Ἀθηναίους ᾐσθάνοντο [erg. πληροῦντας.] Θ. 7, 69, 1. Οἱ Λακεδαιμόνιοι οὐ ῥᾳδίως ἔφερον, ἀλλὰ καίπερ οὐ βουλόμενοι ἔνδηλοι εἶναι τοῖς Ἀθηναίοις, ἐπρεσβεύοντο παρ' αὐτούς. Θ. 4, 41, 3.

V. Verbalia.

17. Participa sind auch die Verbalia auf *τός* und *τέος*.

A. Über die Bedeutung derer auf τός § 41, 11, 25 f. Zuweilen stehen sie auch in der Bedeutung unseres — wert, wie ψεκτός tadelnswert. Τοῖς μὲν γένει πολίταις ἱκανόν ἐστι λειτουργεῖν ὡς οἱ νόμοι προστάττουσι, τοὺς δὲ ποιητοὺς ὡς ἀποδιδόντας χάριν, οὕτω προσήκει φαίνεσθαι λειτουργοῦντας. Δη. 45, 78. — Ὁρῶν τὰ ὁρατὰ καὶ ἀκούων τὰ ἀκουστὰ γιγνώσκεις. Ξε. Κυ. 1, 6, 2. Ἁλωτὰ γίγνεθ' ἐπιμελείᾳ καὶ πόνῳ ἅπαντα. Μέ. 134 (2). — Ἢ μὴ ποίει τὸ κρυπτὸν ἢ μόνος ποίει. Μέ. μο. 225. Ὅσα μὲν ἂν νοῦς τε καὶ διάνοια ἐργάσηται, ταῦτά ἐστι τὰ ἐπαινετά, ἃ δὲ μή, ψεκτά. Πλ. Κρατ. 416. c. Τὰ μὲν διδακτὰ μανθάνω, τὰ δ' εὑρετὰ ζητῶ, τὰ δ' εὐκτὰ παρὰ θεῶν ᾐτησάμην. Σο. ἀποσ. 723 (731).

Τὸ προαιρεῖσθαι τὸ κατεπεῖγον πράττειν ἐθίζοιμεν ἂν τὸν εἰς τὸ ἄρχειν παιδευόμενον, ὅπως μὴ τὰ τῆς πόλεως ἄπρακτα γίγνηται παρὰ τὴν ἐκείνου ἀρχήν. Ξε. ἀπ. 2, 1, 2. Εἴωθε τῶν πόλεων αἷς ἂν μάλιστα ἀπροσδόκητος εὐπραξία ἔλθῃ, ἐς ὕβριν τρέπειν. Θ. 3, 39, 4. Περὶ τῆς αὐτίκα ἀνελπίστου σωτηρίας τὸ πρόθυμον εἶχον. Θ. 6, 69, 5. Ὁ Πειραιεὺς ἦν ἀφύλακτος καὶ ἄκληστος. Θ. 2, 93, 1. — Αἱρεῖ τὴν πόλιν ἀφυλάκτοις τε ἐπιπεσὼν καὶ ἀπροσδοκήτοις. Θ. 7, 29, 2. Οἱ Ἀθηναῖοι οὐχ ὁρῶντες χρήματα ἐν τῷ κοινῷ ἀνέλπιστοι ἦσαν σωθήσεσθαι. Θ. 8, 1, 2. Οἱ ἐπίκλητοι εὐπρεπῶς ἄδικοι ἐλθόντες εὐλόγως ἄπρακτοι ἀπίασιν. Θ. 4, 61, 5. Ὁ νομοθέτης τὸν ἀστράτευτον οὐκ ἐᾷ στεφανοῦσθαι. Αἰ. 3, 176.

18. Die Verbalia auf *τέος* (§ 42, 11, 27) stehen gew. mit *εἶναι*, von dem jedoch *ἐστίν* häufig ausgelassen wird, entweder persönlich als Prädikate eines Subjekts oder unpersönlich im Neutrum, gewöhnlich des Singulars. Die Person, von der die Handlung gefordert wird, steht im ersten Falle immer, im zweiten mehrenteils im Dativ. [Nie dabei *ὑπό τινος*.]

A. 1. Persönlich stehen sie (von transitiven Verben), wenn das Subjekt als Hauptbegriff hervortritt. Οὐ πρό γε τῆς ἀληθείας τιμητέος ἀνήρ, ἀλλ' ὃ λέγω ῥητέον. Πλ. πολ. 595, c. Οἱ συμμαχεῖν ἐθέλοντες εὖ ποιητέοι. Ξε. ἀπ. 2, 6, 27. Τῶν κρατούντων ἐστὶ πάντ' ἀκουστέα. Σο. Ἠλ. 340. Ἃ τοῖς ἐλευθέροις ἡγοῦντο εἶναι πρακτέα, ταῦτα τοῖς δούλοις ἀπεῖπον μὴ ποιεῖν. Αἰ. 1, 138. (Πολλῶν ἔτι μοι λε-

κτέων ὄντων ἀνάγνωθι τὰ περὶ τῆς ἡγεμονίας. Ἰσ. 15, 59.) Περὶ τῶν ὑμῖν πρακτέων ὕστερον βουλεύσεσθε. Δη. 6, 28. [Ausdrücke wie βασιλευτέα ἡ πόλις, ἐπιτρεπτέος ὁ ἀνήρ für ἐπιτρεπτέον τῷ ἀνδρί vgl. § 52, 4, 1 u. 2 scheinen nicht vorzukommen. Über den Plu. § 44, 4, 2; über συνεκποτέα ἐστί σοι τὴν τρύγα u. ä. z. Th. 1, 86, 2.]

A. 2. Unpersönlich stehen sie, wenn die Handlung die Hauptsache ist. Über den Plural § 44, 4, 2. Οἰστέον τὴν τύχην. Εὐ. Ἴων 1260. Τὰς χρηστὰς καὶ ἡδονὰς καὶ λύπας καὶ αἱρετέον ἐστὶ καὶ πρακτέον. Ἕνεκα γάρ που ἀγαθῶν ἅπαντα ἡμῖν ἔδοξε πρακτέον εἶναι. Πλ. Γο. 499, e. Ἔνιά ἐστιν ἃ οὐ πρὸς ἀνθρώπους ἀγωνιστέον, ἀλλὰ πρὸς αὐτὰ τὰ πράγματα. Ξε. Κυ. 1, 6, 9. Τῷ ἀδικοῦντι δοτέον δίκην. Πλ. Εὐθύφ. 8, d. — Οὐ γυναικῶν οὐδέποτ' ἔσθ' ἡττητέα ἡμῖν. Ἀρ. Λυ. 450.

A. 3. Bei der unpersönlichen Konstruktion findet sich, da sie mit δεῖ synonym ist (Plat. Rep. 431, d), nicht selten statt des Dativs (neben demselben Thuk. 8, 65, 3) auch der Accusativ [vgl. z. 1, 86, 2], wobei ἐστίν immer zu fehlen scheint (Göttling z. Aristot. Pol. S. 350). Οὐ δουλευτέον τοὺς νοῦν ἔχοντας τοῖς κακῶς φρονοῦσιν. Ἰσ. 9, 7. Οὐδενὶ τρόπῳ φαμὲν ἑκόντας ἀδικητέον εἶναι. Πλ. Κρίτ. 49, a. Ποίαν ὁδὸν νὼ τρεπτέον. Ἀρ. ἱπ. 72. Ὄρνιθες ἀνθρώποισι νῦν εἰσιν θεοί, οἷς θυτέον αὐτούς. Ἀρ. ὄρ. 1237.

A. 4. Diese Verbalia stehen oft auch im Sinne ihrer Media und ebenso medialer Passiva: φυλακτέον man muß sich hüten (τὶ vor etwas), πειστέον man muß gehorchen ꝛc. vgl. § 52, 6, 1. Φυλακτέον τὸν ἔρωτα. Πλ. συ. 187, d. (vgl. § 52, 10, 7.) Πειστέον πατρὸς λόγοις. Εὐ. Ἱπ. 1182. Εἶπεν ὅτι ἑκτέον μου εἴη. Ξε. Ἑλ. 6, 1, 13. Τοῦ νουθετεῖν καὶ συμβουλεύειν ἀφεκτέον. Ἰσ. 2, 49. Μουσικῆς πρότερον ἁπτέον ἢ γυμναστικῆς. Πλ. πολ. 377, a. Εἰ μέλλομέν ποτε καθαρῶς τι εἴσεσθαι, ἀπαλλακτέον τοῦ σώματος. Πλ. Φαίδ. 66, d. — Πολλὴ εὐλάβεια ὑμῖν τούτων ποιητέα ἐστίν. Ἀντ. 3, γ, 11. Ὄρη ὑμῖν ὁρᾶτε ὄντα πορευτέα. Ξε. ἀν. 2, 5, 18.

Zweite Abteilung: Synthesis.

Erster Abschnitt: Verbindung nominaler Begriffe.

Vorerinnerung. Der synthetische Teil der Syntax erörtert die mannigfachen Verbindungsweisen, welche zwischen einzelnen Begriffen unter einander und die, welche in Satzverhältnissen eintreten.

§ 57. Syntaktische Verbindung nominaler Begriffe.

I. Attributive Verbindung.

1. Das Attributiv eines Substantivs kann zunächst ein Substantiv sein, in welchem Falle beide Substantive gleichsam ein parathetisches Kompositum bilden.

A. 1. Von persönlichen Bezeichnungen finden sich so am häufigsten, selten in Verbindung mit dem Artikel, ἀνήρ (wie γυνή) und (ὁ, ἡ) ἄνθρωπος (dies gewöhnlich geringschätzig) mit Benennungen des Standes, Geschäftes, Alters. Nicht hinzugefügt werden ἀνήρ ꝛc., wenn sie nicht in irgend einer Beziehung hervorzuheben sind: ἰδιώτης ein Privatmann, ἀνὴρ ἰδιώτης ein Mann, der im Privatverhältnisse lebt. Jenes bezeichnet schlechtweg den Stand, dieses einen Mann, insofern er dem Stande angehört. Oft ist die Hinzufügung des ἀνήρ ehrend. Λυπηρότερον ἐκ βασιλέως ἰδιώτην φανῆναι ἢ ἀρχὴν μὴ βασιλεῦσαι. Ξε. ἀν. 7, 7, 28. — Ἀνδρὶ τυράννῳ ἢ πόλει ἀρχὴν ἐχούσῃ οὐδὲν ἄλογον ὅ, τι ξυμφέρον οὐδ' οἰκεῖον ὅ, τι μὴ πιστόν. Θ. 6, 85, 1. Ἀνὴρ ἰδιώτης ἐν πόλει δημοκρατουμένῃ νόμῳ καὶ ψήφῳ βασιλεύει. Αἰ. 3, 233. Ἀνὴρ ὁπλίτης δοῦλός ἐστι τῶν ὅπλων. Εὐ. Ἡρ. μ. 190. Δεινὸν εἴ τις κατ' ἀνδρὸς πολίτου τολμᾷ τοιαῦτα καταψεύδεσθαι. Αἰ. 2, 87. Οἱ Σπαρτιᾶται οὐ ταχεῖς ἦσαν περὶ ἀνδρὸς Σπαρτιάτου ἄνευ ἀναμφισβητήτων τεκμηρίων βουλεῦσαί τι ἀνήκεστον. Θ. 1, 132, 5. — Ἀνὴρ ῥήτωρ πάντων τῶν κακῶν αἴτιος. Αἰ. 3, 253. Καλόν τι ἄν μοι δοκοῦμεν ποιῆσαι, εἰ προθύμως Γαδάτᾳ βοηθήσαιμεν, ἀνδρὶ εὐεργέτῃ. Ξε. Κυ. 5, 3, 31. Δεινόν θ' ὡς ἀληθῶς κινδυνεύει καὶ ἀηδὲς εἶναι ἀνὴρ ἀδολέσχης. Πλ. Θε. 195, b. Γέροντι πείθου ἀνδρί. Θέογνις 1351. Ἀνδρὸς ὀργῶντος εἰς Κύπριν νεανίου ἀφύλακτος ἡ τήρησις. Εὐ. Ἀντιγ. 6. Γυναικὶ αἰσχρὸν μετ' ἀνδρῶν ἑστάναι νεανιῶν. Εὐ. Ἠλ. 344. Ἐχθρὸν νέᾳ γυναικὶ πρεσβύτης ἀνήρ. Ἀρ. ἀποσπ. 497. (588. 600 K.) Δῶρά τις δίδωσι μοιχῷ γραῦς γυνή. Ἀρ. θε. 345.

Δεινὸν ἦν προέσθαι δυστυχοῦντας ἀνθρώπους πολίτας. Δη. 19, 172. Βούλοιο ἂν ἐμὲ μᾶλλον τὸ ἀργύριον λαβεῖν ἢ τὸν μέτοικον ἄνθρωπον. Δη. 52, 9. Ἀγανακτῶ, εἰ διὰ πόρνην καὶ δούλην ἄνθρωπον περὶ τῶν μεγίστων εἰς κίνδυνον καθέστηκα. Λυ. 4, 19. Προσέρχεταί μοί τις πρε-

σβῦτις ἄνθρωπος. Λυ. 1, 15. — Ἡ ἀριθμητικὴ διδάσκει ἡμᾶς ὅσα ἐστὶ τὰ τοῦ ἀριθμοῦ καὶ ὁ ἀριθμητικὸς ἄνθρωπος. Πλ. Γο. 453, e. (Τούτω ἐστὸν παμμάχω, οὐ κατὰ τὼ Ἀκαρνᾶνε τὼ παγκρατιαστὰ ἀδελφώ. Πλ. Εὐθύδ. 271, e.

A. 2. Über (ὁ) Εὐφράτης ποταμός u. ä. § 50, 7, 1—7.

[A. 3. Hieher gehören als Schimpfnamen ὄλεθρος Μακεδών Dem. 9, 31, ὄ. γραμματεύς 18, 127, γέροντες ὄλεθροι Ar. Lys. 325. Vereinzelt finden sich eben so ὀπισθοφύλακες ὁπλῖται, λοχαγοί Xen. An. 4, 1, 6. 7, 8; sogar λοχαγοὶ πελτασταί und γυμνῆτες ταξίαρχοι 4, 1, 26. 28. Dergleichen Substantive (auch die A. 1) waren ursprünglich Adjektive und daher findet man auch nicht nur λόγοι φύλακες Xen. An. 6, 3, 9, ὁπλίτης στρατός, κόσμος Eur. Herakl. 699, 800, Plut. Ant. 41, ἱππότης στρατός Her. 4, 136, 1, ὄχλος γυμνής Rhes. 312, wohl auch ὅμιλος στρατιώτης z. Thuk. 6, 24, 3, ναύτης ὅμιλος Eur. Hek. 921, sondern sogar οἰκέτης βίος Eur. Jon. 1373, ἀλήτης βίος Her. 3, 52, 2, γέρων ὀφθαλμός Eur. Or. 529, νεανίας πόνος Hel. 209, νεανίαι λόγοι Alk. 679, παρθένος χείρ, ψυχή Phoin. 838, Hipp. 1006, πρυμνήτης κάλως Med. 770, λόγος ἔπαινος Plat. Phaidr. 260, b, λόγος πλεονέκτης Her. 7, 158, 1, δραπέται πόδες Aisch. 3, 152. Doch ist dergleichen in der guten Prosa im allgemeinen sehr selten.]

A. 4. Die Völkernamen stehen oft völlig adjektivisch, regelmäßig bei persönlichen Substantiven. Οἱ Ἕλληνες πελτασταὶ ἔθεον ἐπὶ τοὺς πολεμίους. Ξε. ἀν. 6, 3, 26. vgl. z. Th. 1, 62, 2. Bei Homer findet sich neben λαὸς Ἀχαιῶν auch λαὸς Ἀχαϊκός, Τρωϊκός. [Über Ἕλλην als Fe. u. Ἑλλάς als Mask. Pflugk z. Eur. Her. 131 u. Herm. z. Iph. T. 334.]

2. Am gewöhnlichsten ist das Attribut eines Substantivs ein Adjektiv oder Particip, ein Adverbium oder eine Präposition mit ihrem Kasus.

A. 1. Vorangestellt wird von beiden Begriffen der betontere, mag der Artikel hinzutreten oder nicht. Vgl. § 50, 8, 1. Πικρὸν νέᾳ γυναικὶ πρεσβύτης ἀνήρ. Εὐ. Φοῖνιξ 2 (804). Τὰ πονηρὰ κέρδη τὰς μὲν ἡδονὰς ἔχει μικράς, ἔπειτα δ' ὕστερον λύπας μακράς. Ἀντιφά. 266 (270). Οἶδ' ἐγὼ φεύγοντας ἄνδρας ἐλπίδας σιτουμένους. Αἰσ. Ἀγ. 1668 (1639).

A. 2. Über attributiv gebrauchte Adverbia, Präpositionen mit ihrem Kasus und Sätze § 50, 8, 8—20 vgl. 6 A. 9; über den Ge. § 47, 9, 9 u. § 50, 8, 11; über den Da. § 50, 8, 12; über ὅλος, πᾶς 2c. § 50, 11, 7 2c.; über αὐτός, ὅδε 2c. eb. A. 15, 19 2c.

A. 3. Ein Epitheton kann mit seinem Substantiv zu einem Gesamtbegriffe verschmolzen und diesem ein anderes Epitheton beigefügt werden. Γέρων ἐραστὴς ἐσχάτη κακὴ τύχη. Μέ. μο. 90. Ἀθάνατόν ἐστι κακὸν ἀναγκαῖον γυνή. Φιλή. 203 (196). — Περὶ ἀνθρώπου ὑφάντου πρεσβύτου λέγει. Πλ. Φαίδ. 87, b. Τί πρέπει ἀνδρὶ πένητι εὐεργέτῃ; Πλ. ἀπ. 36, d. — Ἄλλη μία μόνη δουλεία ἑκούσιος λείπεται οὐκ ἐπονείδιστος· αὕτη δέ ἐστιν ἡ περὶ τὴν ἀρετήν. Πλ. συ. 184, c. Über πολλὰ καὶ δεινὰ πράγματα u. ä. § 69, 32, 3.

A. 4. In andern Verbindungen werden mehrere Adjektive bloß als Asyndeta an einander gereiht. Οἱ Μοσσύνοικοι ἄλλα δόρατα εἶχον παχέα, μακρά, ὅσα ἀνὴρ ἂν φέροι μόλις. Ξε. ἀν. 5, 4, 25. Vgl. § 59, 1, 1.

(A. 5. Außerdem kann von zwei Adjektiven eins prädikativ stehen, in eben dem Sinne, den es bei hinzugefügten ὤν haben würde. Πένης οὐδὲν εὐγενὴς ἀνήρ. Εὐ. Φοί. 442. Τίς ἄμοχθος εὐκλεής; Εὐ. Ἀρχ. 9 (242), 2. (Οὐδεὶς ὢν ῥάθυμος εὐκλεὴς ἀνήρ. Εὐ. Ἀρχ. 8 (239), 2. Ῥάθυμος ἂν ᾖς πλούσιος, πένης ἔσῃ. Μέ. μο. 472.)

A. 6. Über die Verbindung mehrerer Participia ohne καί § 56, 15, 1—6.

II. Prädikative Verbindung.

3. Prädikativ kann ein Substantiv oder Adjektiv, auch ohne eintretendes Prädikatsverbum, an ein Nomen, selbst an ein bloß im Verbum enthaltenes, angefügt werden, wo wir meist als, zu, für hinzusetzen. Vgl. § 55, 4, 4 u. die Reg. z. Kr.s Ausgaben u. Prädikat. *Θεὸς συνεργὸς πάντα ποιεῖ ῥᾳδίως. Μέ. μο.* 237. *Μὴ ὡς θεῷ νομίζετε Φιλίππῳ τὰ παρόντα πεπηγέναι πράγματα ἀθάνατα. Δη.* 4, 8. — *Κλέων ᾑρέθη κατάσκοπος. Θ.* 4, 27, 3. *Ἵπποι ἤγοντο θῦμα τῷ ἡλίῳ. Ξε. Κυ* 8, 3, 12. — *Τίνος διδάσκαλοι ἥκετε; Πλ. Εὐθύδ.* 287, a. — *Πολλὰ τάδ' ἐν τῷ μακρῷ γένοιτ' ἂν ἀνθρώπων χρόνῳ. Σο. Φι.* 305. *Ἔφη αὐτὰς (τὰς ναῦς) ἐλάσσους ἢ ὅσας βασιλεὺς ἔταξε ξυλλεγῆναι. Θ.* 8, 87, 5. Vgl. § 50, 10, 1. Über die Beziehung des Prädikats auf die Zukunft z. Th. 4, 2, 2. 116, 2.

A. 1. Ein solches Prädikat erscheint auch als obliquer Kasus; wenn es ein Substantiv ist, am häufigsten als Accusativ: obliques Prädikat. Δίκαιος ἂν ᾖς, τῷ τρόπῳ χρήσει νόμῳ. Μέ. μο. 135. Δίκαια δράσας συμμάχου τεύξει θεοῦ [συμμάχῳ χρήσει θεῷ]. Kr. Stud. 2 S. 76. Δίκαια δράσας συμμάχους ἕξεις θεούς. Μέ. μο. 126. Πένητας οὐδεὶς βούλεται κτᾶσθαι φίλους. Εὐ. Ἠλ. 1131. Ὅσον νόσημα τὴν Κύπριν κεκτήμεθα. Εὐ. Ἰνώ 10 (404), 2. Ὅστις λόγους παρακαταθήκην λαβὼν ἐξεῖπεν ἄδικός ἐστιν ἢ ἀκρατὴς ἄγαν. Ἀναξανδρ. 55. — Τὰ δάνεια δούλους τοὺς ἐλευθέρους ποιεῖ. Μέ. μο. 514. Πειρῶ τὸν πλοῦτον χρήματα καὶ κτήματα κατασκευάζειν. Ἰσ. 1, 28. Πῶς οὐκ ἄτοπον τοὺς προεστῶτας τῶν Ἑλλήνων ἕνα ἄνδρα τοσούτων ἀνθρώπων καθιστάναι δεσπότην; Ἰσ. 4, 127. Στρατευόμεσθ' αἱρούμενοι καθάρματα στρατηγούς. Εὔπολις 103 (117), 8. Οἱ διδάσκαλοι τοὺς μαθητὰς μιμητὰς ἑαυτῶν ἀποδεικνύουσιν. Ξε. ἀπ. 1, 6, 3. — Ἔφασκεν ὄνειδος ἐξελθεῖν ταύτην τὴν στρατιὰν τῇ πόλει. Δη. 21, 132. Ἔφη τὸν Σόλωνα ἀνακεῖσθαι τῆς τῶν τότε δημηγορούντων σωφροσύνης παράδειγμα. Δη. 19, 251.

A. 2. Wenn ὡς hinzutritt, wie öfter bei χρῆσθαι, so ist es vergleichend: pro, so wie, nicht anders als. [z. Th. 1, 53, 2.] Ἐπίστανται οἱ κρείττονες τοὺς ἥττονας καὶ κοινῇ καὶ ἰδίᾳ κλαίοντας καθίσαντες (ὡς) δούλοις χρῆσθαι. Ξε. ἀπ. 2, 1, 12. Ἔξεστι τῷ βουλομένῳ χρῆσθαι ἤδη τούτῳ ὡς ἀνδραπόδῳ. Ξε. Κυ. 4, 2, 25. Ἀλκιδάμας οὐχ ἡδύσματι χρῆται ἀλλ' ὡς ἐδέσματι τοῖς ἐπιθέτοις. Ἀρλ. ῥητ. 3, 3. [So auch ὥσπερ Xen. Oik. 14, 9.]

A. 3. Das oblique Prädikat kann auch ein Adjektiv oder Particip sein. Vgl. über die Stellung beim Artikel § 50, 11, 1. Hieher gehört auch ἱστάναι τινὰ χαλκοῦν u. ä. jemandem eine eherne Bildsäule errichten. Δύστηνος ὅστις καὶ τὰ καλὰ ψευδῆ λέγων οὐ τοῖσδε χρῆται τοῖς καλοῖς ἀληθέσιν. Εὐ. ἀποσ. ἀδ. 14 (1022). Ἐνόμιζεν ὅσῳ ἂν θᾶττον ἔλθοι, τοσούτῳ ἀπαρασκευαστοτέρῳ βασιλεῖ μαχεῖσθαι. Ξε. ἀν. 1, 5, 9. — Τῆς τύχης εὐδαίμονος τύχοιτε. Εὐ. Ἑλ. 698. [vgl. Th. 2, 62, 3.] Ὅταν ἀκούω ἀνδρὸς περὶ ἀρετῆς διαλεγομένου, χαίρω ὑπερφυῶς. Πλ. Λάχ. 188, c. — Τὰς πρὶν φρένας οὐκ εἶχες ὑγιεῖς. Εὐ. Βάκ. 947. Οὔ τοι τὰ χρήματ' ἴδια κέκτηνται βροτοί. Εὐ. Φοι. 555. Τὰς ἐντεύξεις μὴ ποιοῦ πυκνὰς τοῖς αὐτοῖς. Ἰσ. 1, 20. [vgl. zu Xen. An. 1, 10, 2.] Τὰς ὁμιλίας ἐσθλὰς διώκειν ὦ νέοι σπουδάζετε. Εὐ. Πελ. 10 (612), 3. Τἀληθὲς ἰσχῦον τρέφω. Σο. ΟΤ. 356. Τὸν τῇ φύσει οἰκεῖον οὐδεὶς καιρὸς ἀλλότριον ποιεῖ. Γν. Στ. 84, 2. Τοὺς στρατηγοὺς ὀλίγους χρὴ ἑλέσθαι. Θ. 6, 72, 4. Ὁ Ἅιδης τοὺς νόμους ἴσους ποθεῖ. Σο. Ἀντ. 519. Ἔξεστι τοῖς ἐφόροις

ἀκρίτους ἀποκτεῖναι τοσούτους ὁπόσους ἂν βουληθῶσιν. Ισ. 12, 181. — Φίλιππον θαυμάζουσι καὶ χαλκοῦν ἱστᾶσιν. Δη. 19, 261. (Σφυρήλατος ἐν Ὀλυμπίᾳ στάθητι. Πλ. Φαῖδ. 236, b.)

A. 4. Das oblique Prädikat erscheint auch in Verbindung mit Präpositionen. Τὸ ὑπὸ τῶν ὁμοίων ἑκόντων θαυμάζεσθαι τοῦ παρὰ τοῦ δεσπότου λαμβάνειν ὁτιοῦν κρεῖττον εἶναι δοκεῖ. Δη. 20, 16. Διεχειμάσατε ἐν ἀφθόνοις τοῖς ἐπιτηδείοις. Ξε. ἀν. 7, 6, 31. Νόμους ἔθεσθε ἐπ' ἀδήλοις μὲν τοῖς ἀδικήσουσι, ἀδήλοις δὲ τοῖς ἀδικησομένοις. Δη. 21, 30.

A. 5. Als Prädikat, gew. als obliques, erscheinen auch demonstrative, relative und interrogative Pronomina. Σὺ οὗτος εὑρέθης. Δη. 18, 282. vgl. § 51, 7, 9. — [Über τοιοῦτος u. τοσοῦτος z. Th. 2, 78, 3. 4, 77, 1.] Πάσχουσι τοῦτο ταὐτὸν ταῖς τικτούσαις. Πλ. Θε. 151, a. Τὰς ἐλπίδας ἔχω τοιαύτας. Ἰσ. 6, 69. Τοὺς περὶ πραγμάτων ἀνομοίων τοῖς ἄλλοις ἀγωνιζομένους ἀναγκαῖόν ἐστι καὶ τοῖς λόγοις τοιούτοις χρῆσθαι. Ἰσ. 15, 179. [vgl. z. Th. 6, 43, 1.] Θησεὺς καὶ Ἡρακλῆς οὐ μόνον τοῖς ὅπλοις ἐκοσμήσαντο παραπλησίοις ἀλλὰ καὶ τοῖς ἐπιτηδεύμασιν ἐχρήσαντο τοῖς αὐτοῖς. Ἰσ. 10, 23. — Παράδειγμα ποιήσατε τοῖς βουλομένοις τὴν πόλιν εὖ ποιεῖν οἵων ὑμῶν ἐν τοῖς κινδύνοις τεύξονται. Λυ. 18, 23. [vgl. Xe. An. 5, 5, 15.] Οὐκ ᾔδει οἵοις θηρίοις ἐπλησίαζε τοῖς ἀνθρώποις τούτοις. Δη. 35, 8. (Ἐπίστασθε περὶ οἵου τινὸς ὄντος ἐμοῦ ψηφιεῖσθε. Λυ. 21, 1.) Οὐδὲν ἐδήλουν ὁποῖόν τι τὸ μέλλον ποιήσουσιν. Θ. 7, 38, 2. Ὦ φίλταθ' ὅσ' ἡμῖν τἀγαθὰ δέδρακας εἰρήνην ποιήσας. Ἀρ. εἰρ. 1198. [Da. Th. 8, 27, 2.] — Τί ἔχοντες δίκαιον ἢ τί τὸ ἰσχυρὸν ἀντιδικήσομεν; Δη. 56, 15. — Ποῖ λέγεις καὶ παρὰ τίνας τοὺς ὑμᾶς; Πλ. Λυ. 203, b. Über den Artikel § 50, 11, 1.

A. 6. Wenn ein interrogatives Pronomen einem demonstrativen als Prädikat angefügt ist, so müssen wir (wie auch bei manchen der A. 5 angeführten Stellen) den einen Satz oft durch zwei übersetzen: τίς οὗτος ἔρχεται; wer ist dieser, der da ankommt? τί τοῦτο λέγεις; was ist dies, was du sagst? oder was willst du damit sagen? Τίς οὗτος σῶμα τοὐμὸν οὐκ ἐᾷς κεῖσθαι; Εὐ. Ἑκ. 501. Τί τοῦτο εἰρῆσθαι φῶμεν; Πλ. νό. 968, c. — Τί τοῦτ' ἔλεξας; Εὐ. Βάκ. 1033. Τί ἀδικοῦμεν τοῦτό σε; Ἀρ. πλ. 460. Τίνας τούσδ' εἰσορῶ; Εὐ. Ὀρ. 1347. — Ποῖα ταῦτα λέγεις; Πλ. Κρατ. 391, e.

A. 7. Zu einem demonstrativen Pronomen, wie ὅδε, οὗτος, kann auch ein Substantiv oder Adjektiv als Prädikat hinzutreten. Vgl. A. 1. Οἵαν ἔχιδναν τήνδ' ἔφυσας. Εὐ. Ἴων 1262. Ἐρώτημα τοῦτ' ἐρωτᾷς ἢ λόγου τινὸς ἀρχὴν λέγεις; Πλ. Γο. 466, b. Οἱ ῥήτορες οἱ ποιοῦντες ἐν ταῖς πόλεσιν ἃ δοκεῖ αὐτοῖς καὶ οἱ τύραννοι οὐδὲν ἀγαθὸν τοῦτο κεκτήσονται. Πλ. Γο. 467, a. Οὐχ ἁπλοῦν ἔτι τοῦτο ἐρωτᾷς; Πλ. Γο. 503, a. Τοῦτο παντελῶς εὔηθες ᾠήθης. Δη. 18, 11. (Über das Prädikat bei Interrogativen und Relativen § 50, 11, 1. vgl. z. Her. 2, 102, 2.)

4. Als Prädikat kann so auch ein Nomen angefügt werden, das erst in Folge der Handlung des Verbums als Prädikat eintritt: proleptisches Prädikat.

A. 1. Nur in einigen Verbindungen ist das proleptische Prädikat ein Substantiv, wie bei uns in der gemeinen Sprache: er lernt Kaufmann. Ἔλαχον βασιλεύς, ὥσπερ προεκρίθην. Δη. 57, 47. Περικλῆς τοὺς υἱεῖς ἱππέας ἐδίδαξεν οὐδενὸς χείρους Ἀθηναίων. Πλ. Μέν. 94, b. [Σωκράτης παῖς ἐμάνθανε λιθοξόος τὴν τοῦ πατρὸς τέχνην. Dion. Chrys. 55 p. 283 R.]

A. 2. Von Adjektiven erscheinen als proleptische Prädikate häufig μετέωρος (sublimis), μέγας, ὑψηλός, μακρός u. ä. bei αὔξειν, αἱρεῖν u. ä. Verben. Ἄλλως αὐτὸν αἰχμάλωτον εἵλομεν. Εὐ. Ἡρ. 962. — Ἄρας μετέωρον ἐς τὸ βάραθρον ἐμβαλῶ. Ἀρ. ἱππ. 1362. Ἀνὴρ ἔχει τὴν γῆν μετέωρον. Ἀρ. νε. 264. Ὁ δεσπότης μου μετέωρος αἴρεται. Ἀρ. εἰρ.

80. — Ἕνα τινὰ ἀεὶ ὁ δῆμος εἴωθε διαφερόντως προΐστασθαι ἑαυτοῦ καὶ τοῦτον τρέφειν τε καὶ αὔξειν μέγαν. Πλ. πολ. 565, c. Μέγας ἐκ μικροῦ ὁ Φίλιππος ηὔξηται. Δη. 9, 21. Ὑψηλὸν ἐξαίρει αὐτόν. Πλ. πολ. 494, d. Ηιρετο τὸ ὕψος τοῦ τείχους μέγα. Θ. 2, 75, 4. Τοὺς λόγους μακροτέρους οὐ παρὰ τὸ εἰωθὸς μηκυνοῦμεν. Θ. 4, 17, 2. — Πενία διδάσκει ἄνδρα τῇ χρείᾳ κακόν. Εὐ. Ἠλ. 376. Μουσικὸν Ἔρως διδάσκει, κἂν ἄμουσος ᾖ τὸ πρίν. Εὐ. Σθεν. 3 (666). — Δεῖ τὰ ἐπίθετα καὶ τὰς μεταφορὰς ἁρμοττούσας λέγειν. Ἀρλ. ῥητ. 3, 2. Vgl. G. Hermann z. Viger p. 896.

(A. 3. Auch eine bevorstehende Bestimmung kann das proleptische Prädikat ausdrücken. Τὰς βαλάνους τραγήματα ἀπετίθεσαν. Ξε. ἀν. 2, 3, 15. Νῆες ἐξήκοντα παρεπεπλεύκεσαν τοῖς ἐν τῷ ὄρει τιμωροί. Θ. 4, 2. vgl. § 57, 3 E.)

5. Ein Prädikat wird oft von einem andern, am häufigsten einem **Verbum**, d. h. eig. dem Particip angefügt: **adverbartiges Prädikat.** Gewöhnlich erscheinen so nur Adjektive.

A. 1. So finden sich z. B. μέγας und πολύς bei ῥέω und πνέω sowohl in eigentlicher als in uneigentlicher Bedeutung. [Ζεὺς χρυσὸς ῥυεὶς Δανάῃ συνεγένετο. Ἰσ. 10, 59.] Ὁ Ἀσωπὸς ποταμὸς ἐρρύη μέγας. Θ. 2, 5, 2. Δη. 59, 99. [z. Arr. 6, 25, 5 lat. A.] Ὁ ἄνεμος ἐκπνεῖ μέγας. Θ. 6, 104, 3. — Ἔστι κρήνη ἡδέος ὕδατος καὶ ἄφθονος ῥέουσα. Ξε. ἀν. 6, 2, 4. Κύπρις οὐ φορητόν, ἢν πολλὴ ῥυῇ. Εὐ. Ἱπ. 443. Τῷ Πύθωνι θρασυνομένῳ καὶ πολλῷ ῥέοντι καθ' ὑμῶν οὐκ εἶξα. Δη. 18, 136. Ὁ ὄχλος πλείων καὶ πλείων ἐπέρρει. Ξε. Κυ. 7, 5, 39. Πολὺς τοῖς συμβεβηκόσιν ἔγκειται. Δη. 18, 199. [z. Th. 4, 22, 2.]

A. 2. Ähnlich gebrauchte man ἄσμενος, ἑκών, ἑκούσιος, ἐθελούσιος u. a.; ja selbst Participia, wie ἐθέλων z. B. οἱ ἐθέλοντες εἰς κινδύνους καθιστάμενοι (Ἀνδ.), diese aber nicht bei Substantiven, also z. B. nur ἐθελονταὶ φίλοι. [z. Xe. An. 1, 6, 9.] Über die Stellung beim Artikel § 50, 12, 1 u. 4. [Ἥσυχος Xen. An. 6, 3, 11 u. Kyr. 5, 3, 55 bedarf für die Prosa noch zureichenderer Begründung; dichterische Stellen bei Elmsley z. Eur. Her. 7. Ἄρχειν ἄσμενος αἱρεθεὶς παραινεῖ ὑμῖν ἐκπλεῖν. Θ. 6, 12, 2. Ἀσμένοις ἐγίγνετο τοῖς σώφροσι τῶν ἀνθρώπων. Θ. 4, 28, 4. Κακὸς ἑκὼν οὐδείς. Πλ. Τί. 86. Ὁ κακὸς ἄκων τοιοῦτος. Πλ. νό. 860, d. Ἄκων ἁμαρτὼν οὐδεὶς ἀνθρώπων κακός. Σο. Τυρώ 582 (599). Τὰς πόλεις ἑκούσας παρέλαβεν. Ξε. Ἑλ. 3, 1, 16. Σκέψασθε εἰ τοῖς τε ἀναγκασθεῖσιν ὑπὸ τῶν πολεμίων καὶ τοῖς ἑκοῦσιν ἀποστᾶσιν τὰς αὐτὰς ζημίας προσθήσετε. Θ. 3, 39, 6. — Λέγουσί τινες ἑκούσιον φαρμάκῳ ἀποθανεῖν Θεμιστοκλέα. Θ. 1, 138, 5. Ὁ Νικίας ἀκούσιος ᾑρημένος ἄρχειν ἀποτρέψαι ἐβούλετο. Θ. 6, 8, 3. — Τὸ μὴ φεύγειν τοὺς πόνους, ἀλλὰ ἐθελοντὴν ὑπομένειν τῷ ἄρχειν παιδευομένῳ ἂν προσθείημεν. Ξε. ἀπ. 2, 1, 3. Προθύμως ἐξωρμῶντο, ἅτε οὐκ ἀνάγκῃ, ἀλλ' ἐθελούσιοι καὶ χάριτος ἕνεκα ἐξιόντες. Ξε. Κυ. 4, 2, 11. Τοὺς ἐμοὶ ἐθελουσίους τούτους ἐπισπομένους ἀμέμπτους πάντας ποιεῖτε. Ξε. Κυ. 4, 5, 52. — Οἱ φιλόσοφοι αὐτόματοι ἐμφύονται. Πλ. πολ. 520, b. Ἥκει φερόμεν' αὐτόματα πάντα τἀγαθά. Δίφ. 14, 1. Ὁ ἐλεύθερος ἐπαινῶν καὶ μὴ μάλιστά ἐστι καταφανής. Πλ. νο. 688, d. — Ἐθέλων ἕπεται. Ξε. Κυ. 4, 1, 21. Ἡ γῆ θέλουσα τοὺς δυναμένους καταμανθάνειν καὶ δικαιοσύνην διδάσκει. Ξε. οἰκ. 5, 12. Τῷ σφενδονᾶν ἐντεταγμένῳ ἐθέλοντι ἄλλην τινὰ ἀτέλειαν εὑρίσκωμεν. Ξε. ἀν. 3, 3, 18. — (Χρῆν Μυτιληναίους μηδὲν διαφέροντας τῶν ἄλλων ὑφ' ὑμῶν τετιμῆσθαι. Θ. 3, 39, 5. u. dort Kr. Οἴεται τραγῳδίαν εἶναι τὴν τούτων σύστασιν, πρέπουσαν ἀλλήλοις τε καὶ τῷ ὅλῳ συνισταμένην. Πλ. Φαῖδ. 268, d.)

A. 3. Ordinale Adjektive, wie πρότερος (und δεύτερος), πρῶτος, ὕστερος, ὕστατος, τελευταῖος bezeichnen, prädikativ angefügt, die Ordnung, in der dieselbe Handlung unter mehreren Begriffen dem genannten

zukommt, während die entsprechenden Adverbia, πρότερον, πρῶτον, ὕστερον (vgl. § 46, 3, 2) die Ordnung bestimmen, in der unter mehreren Handlungen desselben Subjekts die erwähnte erfolgt ist: πρῶτος Μηθύμνῃ προσέβαλε er war der erste, der M. angriff; πρώτῃ Μηθύμνῃ προσέβαλε M. war der erste Ort, den er angriff; πρῶτον Μηθύμνῃ προσέβαλε seine (oder überhaupt die) erste Handlung war der Angriff auf M. [z. Th. 3, 101, 1.] Über die Stellung bei hinzutretendem Artikel § 50, 11, 1 u. 12, 1 u. 4; über πρῶτον und τὸ πρῶτον § 46, 3, 2. Ähnlich unterscheide man μόνος und μόνον, wiewohl zuweilen μόνον erscheint, wo man μόνος erwarten möchte. Σπονδὰς λύουσιν οὐχ οἱ ἀμυνόμενοι, ἀλλ' οἱ πρότεροι ἐπιόντες. Θ. 1, 123, 3. Ἐξῆν αὐτοῖς προτέροις διαβᾶσι τῶν ἐθνῶν ἕκαστον χειροῦσθαι. Ἰσ. 4, 164. Καλόν ἐστιν ἐν ταῖς τῶν ἄλλων ἀδικίαις καὶ μανίαις πρώτους εὖ φρονήσαντας προστῆναι τῆς τῶν Ἑλλήνων ἐλευθερίας. Ἰσ. 8, 141. Λακεδαιμόνιοι ὕστεροι ἀφίκοντο τῆς ἐν Μαραθῶνι μάχης γενομένης μιᾷ ἡμέρᾳ. Πλ. νό. 698, e. Τοὺς αὐτῶν νόμους ἀρέσκειν ἑκάστοις ἀναγκαῖόν που, τοὺς δὲ τῶν ἄλλων ὑστέρους. Πλ. νό. 681, b. Χαλεπόν ἐστιν ὕστατον ἐπελθόντα λέγειν. Ἰσ. 4, 74. Οὐ τοὺς αἰτίους ἀλλὰ τοὺς ὑστάτους περὶ τῶν πραγμάτων εἰπόντας ἐν ὀργῇ ποιεῖσθε. Δη. 1, 16. Ὡς ἐπὶ τὸ πολὺ οἱ τελευταῖοι κρινόμενοι σῴζονται. Λυ. 19, 6. Κακὸς κακῶς ἀπόλοιτο ὃς γυναῖκα δεύτερος ἔγημε· τὸν γὰρ πρῶτον οὐκ ἐρῶ κακῶς. Εὔβουλος 115 (6). — Ἡ ἐγκράτεια μόνη ποιοῦσα καρτερεῖν μόνη καὶ ἥδεσθαι ποιεῖ. Ξε. ἀπ. 4, 5, 9. Τῶν ὄντων ᾧ νοῦν μόνῳ κτᾶσθαι προσήκει λεκτέον ψυχήν. Πλ. Τίμ. 46, d. Μὴ θανών ποτε σοῦ χωρὶς εἴην τῆς μόνης πιστῆς ἐμοί. Εὐ. Ἀλκ. 368. Οἱ τύραννοι Ἀθηναίους εἰκοστὴν μόνον πρασσόμενοι τὴν πόλιν αὐτῶν καλῶς διεκόσμησαν. Θ. 6, 54, 5. Περιέμενον Παναθήναια τὰ μεγάλα, ἐν ᾗ μόνον ἡμέρᾳ οὐχ ὕποπτον ἐγίγνετο ἐν ὅπλοις ἀθρόους γενέσθαι. Θ. 6, 52, 2. Ἔργοισι χρηστός, οὐ λόγοις ἔφυν μόνον. Ἀντιφάνης 194, 13. Τούς γε φιλοσόφους ἐν τοῖς λόγοις φρονοῦντας εὑρίσκω μόνον. Ἀνάξιππος 4, 2.

A. 4. Ähnlich werden besonders mit Verben der Bewegung temporale Adjektive verbunden, wie ὄρθριος, σκοταῖος oder σκοτιαῖος, δευτεραῖος, τριταῖος rc. ἀφίκετο er kam in der Frühe, am zweiten, dritten rc. Tage an. Vgl. § 24, 3, 7. Eben so finden sich αἰφνίδιος [z. Th. 6, 49, 2], χρόνιος [z. 1, 12, 1] u. a., einzeln auch lokale Adjektive, wie πελάγιος [z. Th. 8, 39, 3]; desgleichen ὑπόσπονδος. Ἑσπέρας ἀκούσας ὄρθριος ἥκεις. Πλ. Πρω. 313, b. Κατέβαινον εἰς τὰς κώμας ἤδη σκοταῖοι. Ξε. ἀν. 4, 1, 10. Δευτεραῖοι ἀμφὶ δείλην γίγνονται πρὸς τῷ Γωβρύου χωρίῳ. Ξε. Κυ. 5, 2, 2. (Ἆγις ἑβδομαῖος ἀφ' οὗ ἔκαμεν ἐτελεύτησεν. Ξε. Ἑλ. 5, 3, 19. Ἀπὸ ταύτης τῆς ἡμέρας πεμπταῖα λογίζομαι τὰ παρ' ὑμῶν ἐν τοῖς Φωκεῦσι γενέσθαι. Δη. 19, 59.) Ποσταῖος ἂν τῷ στρατεύματι ἐκεῖσε ἀφικοίμην; Ξε. Κυ. 5, 3, 28. — Σχολαῖοι ἐκομίσθησαν. Θ. 3, 29, 1. Ἀφικνοῦνται αἰφνίδιοι. Θ. 8, 14, 1. Χρόνιοι ξυνιόντες τὰ οἰκεῖα πράσσουσιν. Θ. 1, 141, 6. [z. 1, 12, 1.] — Ὑπαίθριος ἐταλαιπώρει. Θ. 1, 134, 2. — Ἱππίας ἐχώρει ὑπόσπονδος εἰς Σίγειον. Θ. 6, 59, 5. Τοὺς ἄνδρας διεκόμισαν (ἀπέδοσαν) ὑποσπόνδους. Θ. 4, 46, 2. [z. 1, 63, 3. 6, 88, 10.]

III. Appositive Verbindung.

6. Appositiv verbinden sich Begriffe auf mehrere, z. Th. sehr verschiedene Arten, am innigsten durch synthetische Apposition, bei der zwei Begriffe, z. B. ein Eigenname mit dem Gattungsbegriffe desselben, verbunden gleichsam ein Kompositum bilden. So namentlich in Verbindung mit dem Artikel. S. § 50, 1—6. *Προςῆλθον ἡμῖν πέρυσι τοῦ μεταγειτνιῶνος μηνός. Δη.* 56, 5. vgl. § 50, 7, 1, 2.

7. Weniger innig ist die epithetische Apposition, die der attributiven Verbindung (§ 50, 8, 1) entspricht, auch mit Bezug auf Gebrauch und Stellung des Artikels mit ihr übereinstimmend (§ 50, 7, 4 u. 8—12), und besonders rücksichtlich der Eigennamen zu merken ist.

A. Mehr scheiden sich die Begriffe, wenn sie beide ihren Artikel haben, besonders wenn die (dann betontere) Apposition vorangeht. Ἡ Φυλομάχη ἡ μήτηρ ἡ Εὐβουλίδου καὶ ὁ Πολέμων ὁ πατὴρ ὁ Ἀγνίου ἀδελφοὶ ἦσαν. Δη. 43, 26. Ὁ ἀδελφὸς ὁ Ἀρεθούσιος οὐδένα εἴα ὠνεῖσθαι. Δη. 53, 10. — Τὸν μιαρὸν καὶ ἀναιδῆ φυλάξομεν ἀμφότεροι τὸν Φιλοκράτη. Δη. 19, 13. Τὴν πεντετηρίδα τότε πρῶτον ἐποίησαν οἱ Ἀθηναῖοι τὰ Δήλια. Θ. 3, 104, 2. vgl. 9 A. 1.

8. An die epithetische schließt sich die partitive Apposition an. vgl. § 47, 28, 3.

A. 5. In adverbartigen Formeln hat κατά meist die Bedeutung A. 1 u. 4; in κατὰ μόνας (erg. μοίρας vgl. § 43, 3, 3) für sich, die A. 4; κατὰ μικρόν heißt ein wenig, nach und nach; stückweise. Μὴ ἐπειχθέντος βουλεύσωμεν, ἀλλὰ καθ' ἡσυχίαν. Θ. 1, 85, 1. Ἐς χεῖρας ᾖσαν κατὰ τάχος. Θ. 2, 3, 3. Ἡ οἰκοδομία κατὰ σπουδὴν ἐγένετο. Θ. 1, 93, 1. Εἷλεν Εἰδομένην μὲν κατὰ κράτος, Γορτυνίαν δὲ ὁμολογίᾳ. Θ. 2, 100, 2. — Οἱ κατὰ μόνας ἄριστα κιθαρίζοντες, οὗτοι καὶ ἐν τῷ πλήθει κρατιστεύουσιν. Ξε. ἀπ. 3, 7, 4. — Ὑπὲρ ἐλευθερίας οὐδὲν ὅ, τι τῶν δεινῶν οὐχ ὑπομενετέον τοῖς καὶ κατὰ μικρὸν ἀρετῆς ἀντιποιουμένοις. Ἰσ. 6, 7. Ἡ κατὰ μικρὸν παράλλαξις πᾶσαν ποιεῖ φύσιν ὑποφέρειν τὰς μεταβολάς. Ξε. Κυ. 6, 2, 29. Δώσει λόγον κατὰ σμικρὸν ἀποκρινόμενος. Πλ. Πρω. 338, e. [z. Th. 4, 111, 1. vgl. z. 4, 10, 4.]

26. *Μετά* mit dem Ge. heißt mit, von Teilnahme.

A. Über den Unterschied von σύν 13 A. 1; bei ἀκολουθεῖν ꝛc. § 48, 7, 12. Αἰακὸς ἕως ἦν μετ' ἀνθρώπων, μετὰ καλλίστης ὢν δόξης διετέλεσεν. Ἰσ. 9, 15. Εἰκὸς τὴν τῶν θεῶν εὔνοιαν γενέσθαι μετὰ τῶν τὰ δίκαια πραττόντων. Ἰσ. 6, 59. Τὸ τῆς τύχης μεθ' ὑμῶν ἔσται. Θ. 4, 18, 2. Μέγιστον ἀγαθόν ἐστι μετὰ νοῦ χρηστότης. Μέ. 770 (768). Οὐδεὶς μετ' ὀργῆς ἀσφαλῶς βουλεύεται. Μέ. μο. 415. Οὐδὲν θέλω κτᾶσθαι μετ' ἀδικίας. Ξε. ἀν. 2, 6, 18. [Über μετὰ κινδύνων z. Th. 1, 18, 7.]

27. Mit dem Ac. heißt *μετά* nach.

A. 1. Es bezeichnet eine Folge sowohl der Zeit als der Ordnung nach vgl. § 43, 4, 7. Κλέων Προμηθεύς ἐστι μετὰ τὰ πράγματα. Εὔπολις 321 (456). Μετὰ μουσικὴν γυμναστικῇ θρεπτέοι οἱ νεανίαι. Πλ. πολ. 403, c. Πάντων τῶν αὑτοῦ κτημάτων μετὰ θεοὺς ψυχὴ θειότατον. Πλ. νό. 726.

A. 2. Vereinzelt sind Ausdrücke wie μετὰ χεῖρας ἔχειν in Händen haben und μεθ' ἡμέραν (nach Tagesanbruch) bei Tage. Θεωρήσατε μάλιστα τὸ πρᾶγμα ἐκ τούτων ἃ νυνὶ μετὰ χεῖρας ἔχετε. Αἰ. 1, 77. Πολλῷ πλέον γε ἀγνοεῖν ἔστι νύκτωρ ἢ μεθ' ἡμέραν. Ἀντ. 5, 44.

[A. 3. Μετά mit dem Da. (unter) ist dichterisch. Ἐμοί γ' εἴη τέκνα ἃ καὶ μάχοιτο καὶ μετ' ἀνδράσιν πρέποι. Εὐ. Ἐρεχ. 17, 26. Vgl. Ἀρ. ὄρ. 251. Λυ. 1284.]

28. *Ὑπέρ* (super) mit dem Ge. heißt über und für.

A. 1. Über, oberhalb heißt es örtlich von der Lage, auch bei Verben der Bewegung. Χειμέριόν ἐστι λιμὴν καὶ πόλις ὑπὲρ αὐτοῦ κεῖται Ἐφύρη. Θ. 1, 46, 2. Ὁ θεὸς ἔθηκε τὸν ἥλιον ὑπὲρ γῆς. Πλ. Τίμ. 38, c. Ἤιρετο τὸ ὕδωρ ὑπὲρ τῶν θεμελίων. Ξε. Ἑλ. 5, 2, 5.

A. 2. Hieran schließt sich die Bedeutung für, zum Schutze, zum Besten; anstatt, im Namen. Ἢν ἐθέλωμεν ἀποθνήσκειν ὑπὲρ τῶν δικαίων, εὐδοκιμήσομεν. Ἰσ. 6, 107. Ὑπὲρ γυναικὸς καὶ φίλου πονητέον. Μέ. μο. 735. Οὐχ ὑπὲρ τῆς πόλεως εἰπεῖν δύναται, ἀλλ' ἐπὶ τοὺς συσσίτους καὶ ὁμοσπόνδους μελετᾷ. Αἰ. 2, 55. — Μὴ θνῆσχ' ὑπὲρ τοῦδ' ἀνδρὸς μηδ' ἐγὼ πρὸ σοῦ. Εὐ. Ἄλκ. 690. Ἐγὼ τοῦθ' ὑπὲρ σοῦ ποιήσω. Δη. 18, 52.

A. 3. Ähnlich heißt es, eig. mit dem Begriffe des Interessierens, über, halber, wegen; schlechtweg für περί τινος erst bei Demosthenes (Sauppe Epist. crit. p. 35 ss.) und Spätern. Οὐκ ἀθυμεῖν δεῖ τοὺς ὑπὲρ τῶν δικαίων κινδυνεύειν μέλλοντας. Ἰσ. 6, 36. Τοῖς ὑπὲρ τοῦ βελτίστου λέγουσιν οὐδὲ βουλομένοις ἔνεστιν ἐνίοτε πρὸς χάριν οὐδὲν εἰπεῖν. Δη. 9, 63. — Ὑπὲρ ἀρετῆς ἀθανάτου καὶ τοιαύτης δόξης εὐκλεοῦς πάντες

πάντα ποιοῦσιν. Πλ. συ. 208, d. Ὁ τῇ πατρίδι γεγενῆσθαι νομίζων ὑπὲρ τοῦ μὴ ταύτην ἐπιδεῖν δουλεύουσαν ἀποθνῄσκειν ἐθελήσει. Δη. 18, 205. — Ὑπὲρ τῶν παρεληλυθότων ὀλίγους τιμωρησάμενοι πολλοὺς ποιήσετε κοσμιωτέρους. Λυ. 15, 9. Δικάσειν ὀμωμόκατε ὑμεῖς οὐ περὶ ὧν ἂν ὁ φεύγων ἀξιοῖ, ἀλλ' ὑπὲρ αὐτῶν ὧν ἂν ἡ δίωξις ᾖ. Δη. 45, 50.

29. Mit dem Ac. hat *ὑπέρ* den Begriff des **Überschreitens**: **über**.

A. 1. **Lokal** steht es bei den Attikern mit dem Ac. nicht leicht von der Lage (Kr. Krit. Anal. 1 S. 148 f. vgl. jedoch Plat. Krit. 108, e u. Her. 2, 10, 1, Pausan. 1, 14, 5 u. A. der Spätern bei Kr. z. Arr. An. 1, 14, 4 lat. A.), eher bei einem Verbum der **Bewegung**. Τοὺς ἄλλους παράδειγμα ὀνήσει γενόμενος ἀκλεὴς καὶ ὑπὲρ τοὺς τῆς χώρας ὅρους ἀφανισθείς. Πλ. νό. 854, e.

A. 2. **Am gewöhnlichsten** steht ὑπέρ mit dem Ac. bei **Begriffen des Maßes und bei Zahlen**. Μανία ἴσως ἐστὶν ὑπὲρ δύναμίν τι ποιεῖν. Δη. 21, 69. Οὐκ ἔστιν ὑπὲρ ἄνθρωπον οἷόν τε γίγνεσθαι ἀπέχεσθαι τῶν ἀφροδισίων. Πλ. νό. 839, d. Τίς ἀγορεύειν βούλεται τῶν ὑπὲρ πεντήκοντα ἔτη γεγονότων; Αἰ. 3, 4.

IV. Über ἀμφί, περί, παρά, πρός, ἐπί und ὑπό.

30. *Ἀμφί* um findet sich in der att. Prosa am gewöhnlichsten nur mit dem Accusativ.

A. 1. Mit dem Ge. findet sich ἀμφί um, wegen Xen. Kyr. 3, 1, 8 (vgl. § 68, 33, 3) An. 4, 5, 17.

A. 2. Mit dem Da. ist ἀμφί der att. Prosa fremd. [z. Arr. 5, 6, 5 lat. A.] Vgl. B. 2 § 68, 30 A. 2—4.

A. 3. Mit dem Ac. findet sich ἀμφί um am gewöhnlichsten in οἱ ἀμφί τινα § 50, 5, 6; oder bei **Zeit- und Zahlangaben**; sonst vereinzelt (neben dem viel üblicheren περί), z. B. in (εἶναι u.) ἔχειν ἀμφί τι **um etwas beschäftigt sein**. Τοὺς ἀμφὶ τὴν ἑαυτοῦ οἴκησιν αὐτὸς ἐφορᾷ. Ξε. οἰκ. 4, 6. Ἀπέδοτο τὸν ἵππον καὶ ἃ ἀμφ' αὐτὸν εἶχεν. Ξε. ἀν. 7, 8, 2. Ἀσκοῦσι τὰ ἀμφὶ τὸν πόλεμον. Ξε. Κυ. 2, 1, 21. — Οἱ πολέμιοι εἶχον ἀμφὶ τὰ ἑαυτῶν. Ξε. ἀν. 6, 4, 1. Οἱ ἄνδρες ἀμφὶ ὅπλα τε καλὰ καὶ ἵππους ἀγαθοὺς βούλονται δαπανᾶν. Ξε. π. πό. 4, 8. — Ἤδη ἦν ἀμφὶ ἀγορὰν πλήθουσαν. Ξε. ἀν. 1, 8, 1. Κλέαρχος ἦν ὅτε ἐτελεύτα ἀμφὶ τὰ πεντήκοντα ἔτη. Ξε. ἀν. 2, 6, 15.

31. *Περί* um (eig. von Allseitigkeit wie *ἀμφί* von Zweiseitigkeit) findet sich in der Prosa mit dem Ge. nur in uneigentlicher Bedeutung: **rücksichtlich, über, wegen**.

A. 1. So besonders bei **Ausdrücken des Denkens, Äußerns, Handelns**. [z. Th. 1, 131, 2.] Ἡγοῖτ' ἂν δεινὰ πάσχειν, εἴ τίς ἐστιν αἴσθησις τοῖς τεθνεῶσι περὶ τῶν ἐνθάδε γιγνομένων. Ἰσ. 19, 42. Πρέπει καὶ συμφέρει τὴν τῶν βασιλέων γνώμην ἀκινήτως ἔχειν περὶ τῶν δικαίων. Ἰσ. 2, 18. Οὐκ ἔστιν ὦ παῖ συντομωτέρα ὁδὸς περὶ ὧν ἂν βούλη δοκεῖν φρόνιμος εἶναι ἢ τὸ γενέσθαι περὶ τούτων φρόνιμον. Ξε. Κυ. 1, 6, 22. — Πολὺ κρεῖττόν ἐστί περὶ τῶν χρησίμων ἐπιεικῶς δοξάζειν ἢ περὶ τῶν ἀχρήστων ἀκριβῶς ἐπίστασθαι. Ἰσ. 10, 5. Ὁ κακῶς διανοηθεὶς περὶ τῶν οἰκείων οὐδέποτε καλῶς βουλεύσεται περὶ τῶν ἀλλοτρίων. Ἰσ. 1, 35. Ἡ ἰατρικὴ περὶ τῶν καμνόντων ποιεῖ συνετοὺς εἶναι φρονεῖν καὶ λέγειν. Πλ. Γο. 449, e. Χαλεπὸν περὶ τῶν ἀφανῶν εἰκάζειν. Ἀντ. 5, 65. Ἐγὼ οἶμαι δεῖν οὐ περὶ ὀνομάτων διαφέρεσθαι, ἀλλὰ περὶ τῆς τῶν ἔργων διανοίας. Λυ. 11, 3. Σοφοὺς νόμιζε οὐ τοὺς ἀκριβῶς περὶ μικρῶν ἐρίζοντας, ἀλλὰ τοὺς εὖ περὶ τῶν μεγίστων λέγοντας. Ἰσ. 2, 39.

Ὁρμᾶσθε πάντες εἰς τὸ ἀγωνίζεσθαι περὶ ἀρετῆς. Ξε. Κυ. 2, 3, 8. Ἐκέλευον εἰπεῖν μηδὲν νεώτερον ποιεῖν περὶ τῶν ἀνδρῶν. Θ. 2, 6, 2.

A. 2. So findet sich περί τινος auch bei Verben, die sonst den bloßen Ge. regieren; desgleichen (mit leicht ersichtlichem Unterschiede), bei solchen, deren volles Objekt der Ac. ist. Hieher gehört auch ἐπαΐειν (τί, οὐδὲν) περί τινος; der Ge. neben τὶ oder οὐδέν hängt wohl von diesen Ausdrücken ab; vgl. jedoch Her. 3, 29. Übrigens ist ἐπαΐω eig. dialektisch, wenn gleich von Platon öfter gebraucht. Ἡμῖν περὶ τῶν ὑμετέρων μελήσει. Πλ. νό. 923, b. Περὶ τοιαύτης ἐμνήσθη γυναικὸς ἣ τῇ δόξῃ πολὺ διήνεγκεν. Ἰσ. 10, 14. Τὸ πλῆθος περὶ τούτου λεληθέναι οὐ θαυμάζω. Ξε. Ἱέρ. 2, 5. — Πρῶτον, ὥς φησι Πρόδικος, περὶ ὀνομάτων ὀρθότητος μαθεῖν δεῖ. Πλ. Εὐθύδ. 277, e. Οὐ πάνυ ἡμῖν οὕτω φροντιστέον ὅ, τι ἐροῦσιν οἱ πολλοὶ ἡμᾶς, ἀλλ' ὅ, τι ὁ ἐπαΐων περὶ τῶν δικαίων καὶ ἀδίκων. Πλ. Κρίτ. 48, a.

(A. 3. Satzartig findet sich περί mit seinem Objekt auch für unser was — anbetrifft. Περὶ μὲν τῆς μαρτυρίας, ὅτι ψευδῆ μεμαρτυρήκασι, αὐτοί μοι δοκοῦσιν ἔργῳ ἐξελέγχειν αὐτήν. [Δη.] 47, 4.)

A. 4. Über πέρι § 68, 4, 1.

(A. 5. Die homerische Bedeutung über, höher als, hat sich allgemein erhalten in περὶ πολλοῦ, σμικροῦ, παντός, οὐδενὸς ποιεῖσθαι (ἡγεῖσθαι) über vieles ꝛc. schätzen. [Schol. z. Th. 6, 11, 5.] Über den bloßen Ge. § 17, 17, 2. Ἀλήθειαν περὶ πολλοῦ ποιητέον. Πλ. πολ. 389, b. Οὐ τὸ ζῆν περὶ πλείστου ποιητέον, ἀλλὰ τὸ εὖ ζῆν. Πλ. Κρίτ. 48, b. Χρὴ οὔποτε περὶ σμικροῦ ποιεῖσθαι τὸ δοκεῖν ἀγαθοὺς εἶναι τοῖς ἄλλοις ἢ μὴ δοκεῖν. Πλ. νό. 950, b. Σωκράτης τὸ μήτε περὶ θεοὺς ἀσεβῆσαι μήτε περὶ ἀνθρώπους ἄδικος φανῆναι περὶ παντὸς ἐποιεῖτο. Ξε. ἀπολ. 22. Οἱ τριάκοντα ἀποκτιννύναι ἀνθρώπους περὶ οὐδενὸς ἡγοῦντο. Λυ. 12, 7. (Ἐμοὶ περὶ πλείστου ἐστὶν ὑμᾶς πεῖσαι. Ἀνδ. 1, 29. Vgl. das Beispiel § 68, 9.)

32. *Περί* mit dem Da. ist in der att. Prosa nicht häufig.

A. Namentlich in der att. Prosa selten im lokalen Sinne: um [z. Xe. An. 4, 5, 8 u. z. Arr. 1, 22, 6 lat. A.]; üblicher bei den Verben des Fürchtens: für; daneben περί τινος φοβεῖσθαι rücksichtlich einer Sache fürchten. [Reg. z. Th. und περί II.] (Οἱ Θρᾷκες φοροῦσι χιτῶνας οὐ μόνον περὶ τοῖς στέρνοις, ἀλλὰ καὶ περὶ τοῖς μηροῖς. Ξε. ἀν. 7, 4, 4.] — Περὶ τῷ χωρίῳ ἔδεισαν. Θ. 1, 67, 1. Περὶ ἑαυτῶν φοβοῦνται καὶ ὑπὲρ ὑμῶν. Ξε. Ἱέρ. 6, 10. [z. Θ. 1, 60, 1 vgl. z. 6, 34, 4; Anderes z. 1, 69, 4.]

33. Mit dem Ac. heißt *περί* um im eig. und uneig. Sinne.

A. 1. Lokal steht es sowohl bei persönlichen als bei unpersönlichen Begriffen; auch in der Bedeutung in — umher, wie auch circa. Über οἱ περί τινα § 50, 5, 6. Διῄρηται ἡ ἀγορὰ ἡ περὶ τὰ ἀρχεῖα τέτταρα μέρη· οἱ δὲ ἔφηβοι κοιμῶνται περὶ τὰ ἀρχεῖα. Ξε. Κυ. 1, 2, 4. — Ὀλίγον πρὸ τῶν Μηδικῶν τριήρεις περὶ Σικελίαν τοῖς τυράννοις ἐς πλῆθος ἐγένοντο. Θ. 1, 14, 2. Εὕροι ἄν τις δυναστείας οὐκ ἐλάττους περὶ τοὺς βαρβάρους ἢ τοὺς Ἕλληνας. Πλ. πολ. 544, d.

A. 2. Wie ἀμφί (30 A. 3) gebrauchte man (häufiger) περί τι bei Begriffen der Beschäftigung. Οἱ περὶ τὴν μουσικὴν καὶ τὰς ἄλλας ἀγωνίας ὄντες σφᾶς αὐτοὺς ἐντιμοτέρους κατέστησαν. Ἰσ. 9, 4. Ἡγοῦμαι τοὺς περὶ τὴν ἀστρολογίαν καὶ τὴν γεωμετρίαν διατρίβοντας ὠφελεῖν τοὺς συνόντας. Ἰσ. 15, 26. Ἐν οἷς ἑκάτεροι διατρίβετε καὶ περὶ ἃ σπουδάζετε, ταῦτ' ἄμεινον ἑκατέροις ἔχει, ἐκείνῳ μὲν αἱ πράξεις, ὑμῖν δὲ οἱ λόγοι. Δη. 6, 4. (Περὶ δόξης χρηστῆς μᾶλλον σπουδάζετε ἢ περὶ χρημάτων. Δη. 20, 10.) Vgl. z. Th. 7, 71, 5.

A. 3. So finden sich auch οἱ περί τι die sich mit etwas Beschäftigenden und häufiger τὸ (τὰ) περί τι was zu einer Sache gehört; daneben τὰ περί τινος, z. B. durch Assimilation bei einem den Ge. oder περί

mit dem Ge. erfordernden Verbum. Ὁ σοφιστὴς ἐπαινῶν ἃ πωλεῖ ἐξαπατήσει ἡμᾶς, ὥσπερ οἱ περὶ τὴν τοῦ σώματος τροφήν. Πλ. Πρω. 313, c. Μὴ ἀπείπωμεν λέγοντες τὸ περὶ τὴν μουσικὴν ᾖ χαλεπόν. Πλ. νό. 669, b. Εἶναι βούλου τὰ περὶ τὴν ἐσθῆτα φιλόκαλος, ἀλλὰ μὴ καλλωπιστής. Ἰσ. 1, 27. — Τὰ περὶ τῆς δίκης ἐπύθεσθε ὃν τρόπον ἐγένετο. Πλ. Φαίδ. 58, a. [z. Th. 8, 63, 1.] Τὸ περὶ ἀνδρίας πεφυκὸς δεῖ εἰπεῖν. Πλ. Λάχ. 192, b.

A. 4. Allgemeiner erhält περί mit dem Ac. die Bedeutung des Betreffens; in Ansehung. Ῥάων ἐν τοῖς ἐλάττοσιν ἡ μελέτη παντὸς πέρι ἢ περὶ τὰ μείζω. Πλ. πολιτ. 286, b. Τιμόθεος οὕτως ἀφυὴς ἦν πρὸς τὴν τῶν ἀνθρώπων θεραπείαν ὥσπερ δεινὸς περὶ τὴν τῶν πραγμάτων ἐπιμέλειαν. Ἰσ. 15, 131. Τοὺς ἀγαθοὺς ἄνδρας γιγνομένους περὶ τὴν πόλιν τιμᾶτε καὶ τοὺς κακοὺς ἀτιμάζετε. Λυ. 31, 30. — Περὶ τὸν θεὸν ἀσεβοῦσιν. Ἀντ. 4, β, 7. Ὁ σώφρων τὰ προσήκοντα πράττοι ἂν καὶ περὶ θεοὺς καὶ περὶ ἀνθρώπους. Πλ. Γο. 507, a. Ἤν τι περὶ ἡμᾶς ἁμαρτάνωσι, περὶ τὰς ἑαυτῶν ψυχὰς καὶ τὰ σώματα ἁμαρτάνουσιν. Ξε. ἀν. 3, 2, 20.

A. 5. Wie ἀμφί steht περί auch bei Zeit- und Zahlangaben. Ἤδη ἦν περὶ πλήθουσαν ἀγοράν. Ξε. ἀν. 2, 1, 7. Vgl. § 60, 8, 1.

34. *Παρά* mit dem Ge. bezeichnet ein **Herrühren**: von. (F. H. Rau, de praepositionis *παρά* usu. Lps. 1870).

A. 1. In der gew. Sprache nur mit einem persönlichen Objekt, besonders bei Begriffen des Gebens, Kommens, Empfangens, Vernehmens u. ä.; desgleichen bei Passiven nach § 52, 5, 1. Παρὰ φίλου ὧν ἀνδρὸς προσφιλεῖς λέξεις λόγους. Σο. Ἠλ. 671. Παρ' ἀνδρὸς ὡς ἄνδρα ἐβάδιζεν. Δη. 30, 33. — Ἡγοῦ κράτιστον εἶναι παρὰ μὲν τῶν θεῶν εὐτυχίαν, παρὰ δ' ἡμῶν αὐτῶν εὐβουλίαν. Ἰσ. 1, 34. Νομίζω τῷ ὄντι αὐτόματα τἀγαθὰ τῷ φιλουμένῳ γίγνεσθαι καὶ παρὰ θεῶν καὶ παρὰ ἀνθρώπων. Ξε. Ἱέρ. 3, 5. — Μεῖζον οὐδὲν ἂν ὑμῖν γένοιτο ἀγαθὸν ἢ παρὰ πάντων ἑκόντων ἀνυπόπτου τυχεῖν εὐνοίας. Δη. 15, 4. Μᾶλλον ἐλπὶς τοὺς ἀγαθοὺς ἢ τοὺς ἱερεῖα πολλὰ καταβάλλοντας πράξειν τι παρὰ τῶν θεῶν ἀγαθόν. Ἰσ. 2, 20. Οἱ ἄξιοι παρ' ὑμῶν τὰ δίκαια ἕξουσιν. Δη. 20, 164. Παρὰ πολεμίων ἀκόντων λαμβάνειν πάντων ἥδιστον ἔγωγε νομίζω εἶναι. Ξε. Ἱέρ. 1, 34. Πάντες οἱ δημοσίᾳ φιλότιμοι παρὰ τῆς ἀγαθῆς φήμης ἡγοῦνται τὴν δόξαν κομιεῖσθαι. Αἰ. 1, 129. — Σοφοῦ παρ' ἀνδρὸς χρὴ σοφόν τι μανθάνειν. [Εὐ. Ῥῆσ. 206.] Παρὰ τῶν εἰδότων ἀκηκόατε. Ἰσ. 17, 44. Εὖ ἔχει τὰ τῆς σῆς τέχνης παρὰ σοῦ πυνθάνεσθαι. Πλ. Γο. 455, c. [Brachylogisch z. Xe. An. 1, 3, 7.]

A. 2. Eben so steht παρά τινος bei Substantiven, auch solchen, die eine Gesinnung und Äußerung bezeichnen, z. T. synonym mit dem bloßen Ge. Über die sog. Attraktion § 50, 8, 14. Τῇ τιμῇ καὶ τῇ βεβαιότητι τὰς παρὰ τῶν δήμων δωρεὰς εὑρήσετε οὔσας βελτίους. Δη. 20, 15. Αἱ πόλεις διὰ τὴν ἀθανασίαν ὑπομένουσι καὶ τὰς παρὰ τῶν ἀνθρώπων καὶ τὰς παρὰ τῶν θεῶν τιμωρίας. Ἰσ. 8, 120. Λόγον παρ' ἐχθροῦ μήποθ' ἡγήσῃ φίλον. Μέ. μο. 325. Συμβαίνει τῆς εὐνοίας τῆς παρὰ τῶν πολιτῶν μηδένας ἄλλους καταλείπεσθαι κληρονόμους πλὴν τοὺς ἐξ ἡμῶν γεγονότας. Ἰσ. 5, 136.

35. Mit dem Da. heißt *παρά* bei.

A. Auch hier erscheint es in der gew. Sprache meist nur bei persönlichen Objekten, zuerst von äußerlicher Nähe; dann den Besitz bezeichnend; dann auch vom Urteile. Παρ' ὑμῖν ἐτράφην. Αἰ. 2, 182. Δουλείαν κακίστην νομίζω τὴν παρὰ τοῖς κακίστοις δεσπόταις. Ξε. ἀπ. 4, 5, 5. Τρία ἐστὶ λόγου ἄξια τοῖς Ἕλλησι ναυτικά, τὸ παρ' ὑμῖν καὶ τὸ ἡμέτερον καὶ τὸ Κορινθίων. Θ. 1, 36, 4. Τὸ βασιλικὸν χρυσίον παρὰ τούτῳ, οἱ δὲ κίνδυνοι παρ' ὑμῖν. Αἰ. 3, 240. — Παρὰ τοῖς ἀνδράσι

γενομίσμεθα εἶναι πανοῦργοι. Ἀρ. Λυ. 11. Παρὰ τοῖς εὖ φρονοῦσι κρεῖττόν ἐστι ἢ παρὰ τοῖς ἄλλοις ἅπασιν εὐδοκιμεῖν. Ἰσ. 9, 74. — Ὁ τῷ λογισμῷ πάντα παρ' ἑαυτῷ σκοπῶν τὸ κακὸν ἀφαιρεῖ, τἀγαθὸν δὲ λαμβάνει. Φιλή. 87 (90), 10. [Παρὰ ταῖς ναυσίν Th. 2, 89, 7 u. 8, 95, 2. vgl. Xe. An. 5, 10, 2. γενόμενος παρ' ἀμφοτέροις τοῖς πράγμασιν Θ. 5, 24, 5.]

36. Mit dem Ac. hat *παρά* zwei Hauptbedeutungen: zu und neben.

A. 1. Zu heißt es gewöhnlich bei einem persönlichen Nomen nach einem Begriffe der Bewegung. [z. Xe. An. 2, 4, 17. vgl. z. Th. 7, 39, 2 u. z. Her. 1, 120, 2.] (Neben in στῆναι παρά τινα Plat. Phaid. 116, b, Ar. Lys. 1122, 1276; doch auch παρά τινι Plat. Prot. 310, b. Bei εἶναι und μένειν παρά τινα Dem. 15, 7, Xen. π. ἱππ. 8, 12 vgl. An. 1, 9, 31, Ar. Vö. 846, Xen. Kyr. 1, 4, 18 vgl. 4, 2, 23 liegt wohl, wie bei καθῆσθαι παρά τινα (Schöm. z. Isai. p. 387), auch die Bedeutung neben zu Grunde. Vgl. z. Th. 3, 3, 3 u. 5, 67, 3.) Τῆς παρ' ἐμὲ εἰσόδου σοι οὐ Σάκας ἄρξει. Ξε. Κυ. 1, 3, 14.)

A. 2. Neben, längs heißt παρά mit dem Ac. bei Begriffen der Bewegung wie der Ruhe. Daher die temporale Bedeutung während. (Doch kann z. B. παρ' ἡμέραν auch einen Tag um den andern, alternis diebus heißen.) Πλοῦς μὲν ὁ παρὰ γῆν, περίπατος δὲ ὁ παρὰ θάλατταν ἥδιστός ἐστιν. Πλουτ. συμπ. 1, 4, 3. Ἦσαν κῶμαι πολλαὶ παρὰ τὸν ποταμόν. Ξε. ἀν. 3, 5, 1. — (Τὸν) δόλιον ἄνδρα φεῦγε παρ' ὅλον τὸν βίον. Μέ. μο. 443. Καρχηδόνιοι καὶ Λακεδαιμόνιοι παρὰ τὸν πόλεμον βασιλεύονται. Ἰσ. 3, 24. — Τῆς παρ' ἡμέραν χάριτος τὰ μέγιστα τῆς πόλεως ἀπολωλέκασιν. Δη. 8, 70. — (Τὰ τῆς Λήδης τέκνα παρ' ἡμέραν ἑκάτερος ἐν οὐρανῷ ἢ ἐν Ἅιδου εἰσίν. Λουκ. θεῶν διάλ. 24, 2.)

A. 3. Bei leblosen Objekten heißt παρά mit dem Ac. auch bloß neben oder bei. Vgl. A. 1. Eben so in uneig. Bedeutung. Παρὰ τὴν πόλιν ἦν πυραμίς. Ξε. ἀν. 3, 4, 9. Παρ' ἄλληλα ἔσται φανερώτερα. Δη. 19, 174. vgl. 18, 13. — Ἔδει παρ' αὐτὰ τὰ ἀδικήματα τὴν τιμωρίαν ποιεῖσθαι. Δη. 21, 26. Εἰ ὑμῖν δοκῶ σπουδαιολογῆσαι μᾶλλον ἢ παρὰ πότον πρέπει, μὴ θαυμάζετε. Ξε. συ. 8, 41. Μεγάλη ῥοπή, μᾶλλον δὲ το ὅλον ἡ τύχη παρὰ πάντ' ἐστὶ τὰ τῶν ἀνθρώπων πράγματα. Δη. 2, 22.

A. 4. An A. 2 schließt sich die komparative Bedeutung: im Vergleich zu, vor. Daher bei Verben der Schätzung παρὰ μικρόν, ὀλίγον, πολύ, οὐδέν. Παρὰ τὰ ἄλλα ζῷα ὥσπερ θεοὶ (οἱ) ἄνθρωποι βιοτεύουσιν. Ξε. ἀπ. 1, 4, 14. Σωκράτης διάδηλος ἦν παρὰ τοὺς ἄλλους εὐτακτῶν. Ξε. ἀπ. 4, 4, 1. — Χρὴ μὴ παρὰ μικρὸν ἡγεῖσθαι τὸ παρὰ πᾶσιν εὐδοκιμεῖν. Ἰσ. 5, 79. Οὐκ ᾤμην αὐτῷ παρ' ὀλίγον ἔσεσθαι, ἀλλὰ παρὰ πολύ. Πλ. ἀπ. 36, a. Ἔθετο παρ' οὐδὲν τὰς ἐμὰς ἐπιστολάς. Εὐ. Ἰφ. Τ. 732. (Πότερα παρ' οὐδὲν τοῦ βίου κήδεσθ' ἔτι; Σο. Ἠλ. 1327.)

A. 5. Verwandt ist die Bedeutung der Differenz: um. Daher die gew. mit dem Infinitiv verbundenen Redensarten παρὰ μικρόν, ὀλίγον ἦλθεν, παρὰ τοσοῦτον ἐγένετο 2c. es fehlte (so) wenig, daß er — u. ä. [Reg. z. Th. u. παρά III.] Παρὰ τρεῖς ψήφους μετέσχε τῆς πόλεως. Ἰσαῖ. 3, 37. Ἐνίκησαν οἱ Κερκυραῖοι παρὰ πολύ. Θ. 1, 29, 3. — Παρὰ μικρὸν ἤλθομεν ἀνδραποδισθῆναι. Ἰσ. 7, 6. Παρὰ τοσοῦτον ἐγένετ' αὐτῷ μὴ περιπεσεῖν τοῖς Ἀθηναίοις. Θ. 8, 33, 2.

A. 6. Aus dieser Bedeutung entwickelt sich die kausale (des Ausschlages): halber, wegen. [z. Th. 1, 141, 6.] Οὐδὲν ἂν παρ' ἕνα ἄνθρωπον ἐγένετο τούτων. Λυκ. 63. Οὐδεὶς παρὰ τὴν ἑαυτοῦ ἀμέλειαν οἴεται βλάψειν. Θ. 1, 141, 6.

A. 7. Der komparativen Bedeutung zur Seite geht die adversative: neben, außer, wider. Οὐκ ἔστι παρὰ ταῦτ' ἄλλα. Ἀρ. νε. 698. Ὁ νόμος τύραννος ὢν τῶν ἀνθρώπων πολλὰ παρὰ τὴν φύσιν βιάζεται. Πλ.

Πρω. 337, d. Ὁ παρ' ἡλικίαν νοῦς μῖσος ἐξεργάζεται. Μέ. μο. 690. Οὐδενὶ πώποτε ξυνεχώρησα οὐδὲν παρὰ τὸ δίκαιον. Πλ. ἀπ. 33, a. Πολλὰ παρὰ γνώμην ἐν τοῖς δικαστηρίοις ἀποβαίνει. Ἰσ. 18, 9. Παρ' ἐλπίδας μοῖρα βαίνει. Εὐ. Ὀρ. 977. Εἰκὸς γίγνεσθαι πολλὰ καὶ παρὰ τὸ εἰκός. Ἀγάθων Ἀρλ. ποιητ. 18, 12. Τὸ εὖ πράττειν παρὰ τὴν ἀξίαν ἀφορμὴ τοῦ κακῶς φρονεῖν τοῖς ἀνοήτοις γίγνεται. Δη. 1, 23.

37. *Πρός* mit dem Ge. heißt eig. von — her, von Seiten. [Reg. z. Th. u. *πρός*.]

A. 1. So steht es lokal, wo wir es (wie ab) durch nach — zu übersetzen [z. Th. 1, 62, 1]; ferner von der Abstammung: von Seiten, wie vom Charakter: gemäß, und von der Parteinahme: auf Seiten; dann auch zum Vorteile des. [z. Th. 2, 86, 3.] Ὥσπερ Χαλκὶς τῷ τόπῳ τῆς Εὐβοίας πρὸς τῆς Βοιωτίας κεῖται, οὕτω Χερσονήσου κεῖται πρὸς τῆς Θράκης ἡ Καρδιανῶν πόλις. Δη. 23, 182. Τὸ πρὸς Σικυῶνος καὶ πρὸς ἑσπέρας τεῖχος ἐξετείχισαν. Ξε. Ἑλ. 4, 4, 18. — Ἀλκιβιάδης λέγεται πρὸς πατρὸς μὲν Ἀλκμαιωνιδῶν εἶναι, πρὸς δὲ μητρὸς Ἱππονίκου. Δη. 21, 144. — Χρηστοῦ πρὸς ἀνδρὸς μηδὲν ἐννοεῖν κακόν. Μέ. 773. Πρὸς τοῦ Λακωνικοῦ τρόπου τὸ τὰ βραχύτερα ἀεὶ προτιμᾶν. Πλ. νό. 721, e. — Δεῖ τίθεσθαι τὰ ὅπλα πρὸς τοῦ λογιστικοῦ. Πλ. πολ. 440, e. Καλλίας μοι δοκεῖ πρὸς Πρωταγόρου εἶναι. Πλ. Πρω. 336, a. Πρὸς τῶν ἐχόντων Φοῖβε τὸν νόμον τίθης. Εὐ. Ἄλκ. 57.

A. 2. In der Formel πρὸς (τῶν) θεῶν bei den Göttern u. ä. (bei den Komikern zuweilen, bei den Tragikern immer ohne Artikel) wird das Erflehte eig. als ein von den Göttern zu Veranlassendes vorgestellt. Außerdem heißt πρὸς θεῶν auch vor den Göttern, von ihren Gesinnungen her. Πρὸς παίδων καὶ γυναικῶν καὶ θεῶν ἱκετεύω ὑμᾶς καὶ ἀντιβολῶ, ἐλεήσατέ με. Λυ. 4, 20. Τὴν εὐγένειαν, πρὸς θεῶν, μή μοι λέγε. Εὐ. Αἰο. 4 (22). — Ὅ, τι δίκαιόν ἐστι καὶ πρὸς θεῶν καὶ πρὸς ἀνθρώπων, τοῦτο πράξω. Ξε. ἀν. 1, 6, 6. [Porson z. Eu. Med. 325.]

(A. 3. Von — her, von Seiten heißt πρός auch bei Passiven (§ 52, 5, 2) und in ähnlichen Verbindungen. Αἱ βαναυσικαὶ τέχναι ἀδοξοῦνται πρὸς τῶν πόλεων. Ξε. οἰκ. 4, 2. Ἡ γεωργία δοκεῖ ἐνδοξοτάτη εἶναι πρὸς τῶν πόλεων. Ξε. οἰκ. 6, 10. Εἰκὸς ξύγγνωμόν τι γίγνεσθαι πρὸς τοῦ θεοῦ. Θ. 4, 98, 4.)

38. Mit dem Da. heißt *πρός* bei.

A. So im lokalen Sinne. Daran schließt sich die Formel εἶναι πρὸς πράγματι mit einer Sache beschäftigt sein. Sodann heißt πρός mit dem Da. auch außer. Οἱ ποταμοὶ πρὸς ταῖς πηγαῖς οὐ μεγάλοι εἰσίν. Ξε. Ἑλ. 4, 2, 11. Τήν τε ἀγορὰν κατέλαβον καὶ τὸν λιμένα τὸν πρὸς αὐτῇ καὶ πρὸς τὴν ἤπειρον. Θ. 3, 72. — Πρὸς τῷ λαβεῖν ὧν ὁ νοῦς τἄλλ' οὐχ ὁρᾷ. Δίφ. 93. Πρὸς τῷ εἰρημένῳ λόγῳ ἦν. Πλ. Φαίδ. 84, c. — Τοῦτ' ἐὰν σκοπῇ, κακὰ πρὸς τοῖς κακοῖσιν οὗτος ἕτερα συλλέγει. Φιλή. 87 (90), 8.

39. Mit dem Ac. heißt *πρός* eig. zu. [Reg. z. Th. u. *πρός* III.)

A. 1. So bezeichnet es lokal und temporal eine Richtung: lokal sowohl auf Orte als auf Personen und Sachen bezogen; auf diese auch in uneigentlichem Sinne: zu, nach, gegen, auf, auch von anzugreifenden Geschäften. Σικελοὶ τὰ μέσα καὶ τὰ πρὸς βορρᾶν τῆς νήσου ἔχουσιν. Θ. 6, 2, 5. — Ἦν πρὸς ἡμέραν. Λυ. 1, 14. Ἔφυγον πρὸς (εἰς) τὴν γῆν. Ξε. Ἑλ. 1, 1, 17. Ἐνόμιζεν οὕτω πρὸς τοὺς φίλους καὶ εἰς τὴν πόλιν τοὔνομα μεῖζον ἀφίξεσθαι. Ξε. ἀν. 5, 9, 20. Ὅταν ἴδῃς πρὸς ὕψος ἠρμένον τινά, τούτου ταχεῖαν νέμεσιν εὐθὺς προσδόκα. Εὐ. ἀποσ.

181 (1027). Φιλεῖ πρὸς τὰ χρηστὰ πᾶς ὁρᾶν. Σο. Ἠλ. 972. Κακὸν γυναῖκα πρὸς νέαν ζεῦξαι νέον. Εὐ. Αἴολ. 8 (24). Ἃ ἂν μάθῃ τις, ταῦτα σῴζεσθαι φιλεῖ πρὸς γῆρας. Εὐ. Ἱκ. 916. — Παύσασθε καὶ πρὸς ἔργον ἐξορμώμεθα. Εὐ. Ὀρ. 1240. Ἀθύμως μὲν ἦλθον ἐπὶ τὰ ὅπλα, ἀθύμως δὲ πρὸς τὰς φυλακάς. Ξε. ἀν. 3, 1, 40. Ὦι μανθάνομεν πρὸς τὸ εἰδέναι τὴν ἀλήθειαν ὅπῃ ἔχει πᾶν ἀεὶ τέταται. Πλ. πολ. 581, b. Ἡ φιλοτιμία μάλιστα παροξύνει πρὸς τὰ καλὰ καὶ ἔντιμα. Ξε. ἀν. 3, 3, 13. Φιλονεικείτω ἡμῖν πᾶς πρὸς ἀρετὴν ἀφθόνως. Πλ. νό. 731, a.

A. 2. So steht πρός τινα auch bei Begriffen des Sprechens, Überlegens u. ä. vgl. § 48, 7, 13. (Bei unpersönlichen Begriffen nie der bloße Dativ.) Verwandt ist die Formel οὐδέν ἐστι τούτων πρὸς ἐμέ nichts von dem trifft mich. (Δη. 18, 21.) Bei λογίζεσθαι und ἐνθυμεῖσθαι erscheint (neben παρ' ἑαυτῷ) auch πρὸς ἑαυτόν. Τί φῄς; λαθεῖν ζητῶν τι πρὸς γυναῖκ' ἐρεῖς; Ἀντιφά. 284 (253). Εἰρήσεται πᾶσα πρὸς ὑμᾶς ἡ ἀλήθεια. Δη. 32, 26. Σιγῇ μου ἀκούσατε διηγουμένου ἅπαντα πρὸς ὑμᾶς. Δη. 50, 3. Τῶν ἀπόντων φίλων μέμνησο πρὸς τοὺς παρόντας. Ἰσ. 1, 26. Γοργίας πρὸς ἅπαντα ἔφη ἀποκρινεῖσθαι. Πλ. Γο. 447, c. Ἕτερος λόγος οὗτος, οὐ πρὸς ἐμέ. Δη. 18, 44. — Λογίσασθε πρὸς ὑμᾶς αὐτοὺς τί συμβήσεται. Δη. 20, 163. Ἐνθυμεῖσθε πρὸς ὑμᾶς αὐτοὺς εἴ τινας πώποτε ἠκούσατε οἶνον Ἀθήναζε ἐκ τοῦ Πόντου κατ' ἐμπορίαν εἰσάγοντας. Δη. 35, 35.

A. 3. Die Richtung kann als Anstreben auch feindselig gedacht werden: gegen, wider. Vgl. § 48, 9, 2. Ἐν τῇ ἑκάστου γνώμῃ φιλανθρωπία πρὸς φθόνον καὶ δικαιοσύνη πρὸς κακίαν ἀντιτάττεται. Δη. 20, 165. Πρὸς τὴν ἀνάγκην πάντα τἄλλ' ἔστ' ἀσθενῆ. Εὐ. Βελ. 15 (301). Πρὸς τοὺς πολεμίους ἐστὶν ἀνδρίας κρίσις. Φιλωνίδ. 16, 2. Πρὸς υἱὸν ὀργὴν οὐκ ἔχει χρηστὸς πατήρ. Μέ. μο. 451. — Οὐ δικαζόμεθα πρὸς αὐτούς. Θ. 3, 44, 3. Πρὸς κέντρα μὴ λάκτιζε τοῖς κρατοῦσί σου. Εὐ. Πελ. 4 (607). Θάρσος γε πρὸς τὰς συμφορὰς μέγα σθένει. Εὐ. Βελ. 14 (304). Οἱ Πέρσαι πεπαίδευνται καὶ πρὸς λιμὸν καὶ πρὸς ῥῖγος καρτερεῖν. Ξε. Κυ. 2, 3, 13.

A. 4. Eine Beziehung, ein Verhältnis überhaupt bezeichnet πρός mit dem Ac. bei den Begriffen des Verkehrs und der Gesinnung: mit, gegen vgl. § 48, 9. Ὁμίλει τῶν πόλεων πρὸς τὰς ἥττους ὥσπερ ἂν τὰς κρείττους πρὸς σεαυτὸν ἀξιώσειας. Ἰσ. 2, 24. Ἡδέως μὲν ἔχε πρὸς ἅπαντας, χρῶ δὲ τοῖς βελτίστοις. Ἰσ. 1, 20. Νῦν πρὸς ἀλλήλους δι' ἀντιλογιῶν πειρώμεθα καταλλαγῆναι. Θ. 4, 59, 3. — Δεινὸν εὐτυχῶν ἀνὴρ πρὸς κακῶς πράσσοντας. Εὐ. Ὀρ. 1553. Ὁ σκληρότατος πρὸς υἱὸν ἐν τῷ νουθετεῖν τοῖς μὲν λόγοις πικρός ἐστι, τοῖς δ' ἔργοις πατήρ. Μέ. 627 (662). Πρὸς τὸν τελευτήσανθ' ἕκαστος, κἂν σφόδρα πρὶν ἐχθρὸς ᾖ τις, γίγνεται φίλος τότε. Διον. 6. — Τὴν εὔνοιαν τὴν πρὸς ἡμᾶς ἐν τοῖς ἔργοις ἐνδείκνυσθε μᾶλλον ἢ ἐν τοῖς λόγοις. Ἰσ. 3, 61. Βεβαιόταται δοκοῦσι φιλίαι εἶναι γονεῦσι πρὸς παῖδας. Ξε. Ἱέρ. 3, 7. Ἐν ταῖς πρὸς ἀλλήλους συνουσίαις ἢ λοιδοροῦσιν ἢ λοιδοροῦνται. Ἰσ. 2, 47. Ἰσ. 2, 47. Ἄγει τὴν πρὸς ὑμᾶς εἰρήνην. Δη. 9, 17. Τὰς συνθήκας τὰς πρὸς ἀλλήλους ἀπιστίας ἕνεκα ποιούμεθα. Αἰ. 1, 161.

A. 5. Die Beziehung erscheint oft bloß als Berücksichtigung oder Vergleichung: mit Rücksicht auf, gemäß; in Vergleich mit. [Ggs. καθ' ἑαυτό Xe. Mem. 3, 10, 12.] Vgl. § 49, 2, 8. Ἐλευθέρου τὸ μὴ πρὸς ἄλλον ζῆν. Ἀρλ. ῥήτ. 1, 9. Οἶδα τοὺς ἀνθρώπους πρὸς τὰς ξυμφορὰς καὶ τὰς γνώμας τρεπομένους. Θ. 1, 140, 1. Χρὴ πρὸς τὸ παρὸν ἀεὶ βουλεύεσθαι. Ἰσ. 6, 34. Οὐ πρὸς τὸ ἀργύριον τὴν εὐδαιμονίαν ἔκρινον. Ἰσ. 4, 76. — Οὐδὲν ἡ εὐγένεια πρὸς τὰ χρήματα. Εὐ. Ἀλκμή. 8 (96). Τὰ σμικρὰ πρὸς τὰ μεγάλα σμικρά ἐστιν. Πλ. πολ. 575, c. Ἐν Ἀθήναις χρήματ' ἔνεστιν ὀλίγου δέω πρὸς ἁπάσας τὰς ἄλλας εἰπεῖν πόλεις. Δη. 14, 25. — Ἐθέλω σοι εἰπεῖν ὥσπερ οἱ γεωμέτραι, ὃ ὀψοποιικὴ πρὸς ἰατρικήν, τοῦτο ῥητορικὴ πρὸς δικαστικήν. Πλ. Γο. 465, b. Δοκεῖς μοι τὸ εὔρυθμον οὐ καθ' ἑαυτὸ λέγειν ἀλλὰ πρὸς τὸν χρώμενον. Ξε. ἀπ. 3, 10, 12.

A. 6. Ähnlich bezeichnet πρός mit dem Ac. unpersönlicher Begriffe das Objekt, in Bezug auf das eine Eigenschaft oder Handlung vorgestellt wird: zu, in Bezug auf. Τιμόθεος ἀφυὴς ἦν πρὸς τὴν τῶν ἀνθρώπων χρείαν. Ἰσ. 15, 131. Πρὸς ἕκαστα δεῖ ἢ ἐχθρὸν ἢ φίλον μετὰ καιροῦ γίγνεσθαι. Θ. 6, 85, 1. Τὰ γυμνάσια πρὸς τὰς στάσεις χαλεπά. Πλ. νό. 636, b. Τὸ τοὺς πολλοὺς ἀγυμνάστως ἔχειν πρός τε ψύχη καὶ πρὸς θάλπη οὐ δοκεῖ σοι πολλὴ ἀμέλεια εἶναι; Ξε. ἀπ. 2, 1, 6. — Οὐ τῷ πλήθει τῶν ἐτῶν πρὸς τὸ φρονεῖν εὖ διαφέρομεν ἀλλήλων. Ἰσ. 6, 4. Οὐ τῷ ἀριθμῷ οὔτε τὰ πολλὰ κρίνεται οὔτε τὰ ἱκανά, ἀλλὰ πρὸς τὰς χρήσεις. Ξε. Ἱέρ. 4, 8. Τόλμησόν ποτε πρὸς τὰς παρούσας συμφορὰς ὀρθῶς φρονεῖν. Αἰσ. Προ. 1000 (4).

A. 7. Der Bezug kann auch als etwas zu Erreichendes gedacht werden: zu, zum Behuf. [Reg. z. Th. u. πρός II.] Πεπαιδεύμεθα πρὸς ἀρετήν. Ἰσ. 6, 102. Τίθεται ἑκάστη ἡ ἀρχὴ τοὺς νόμους πρὸς τὸ ἑαυτῇ συμφέρον. Πλ. πολ. 338, e. Ἄσκει τῶν περὶ τὸ σῶμα γυμνασίων μὴ τὰ πρὸς τὴν ῥώμην, ἀλλὰ τὰ πρὸς τὴν ὑγίειαν συμφέροντα. Ἰσ. 1, 14. Τοῖς δούλοις καὶ ἡ δοκοῦσα θηριώδης παιδεία εἶναι πάνυ ἐστὶν ἐπαγωγὸς πρὸς τὸ πείθεσθαι διδάσκειν. Ξε. οἰκ. 13, 9. Πρὸς τί με ταῦτ' ἐρωτᾷς; Ξε. ἀπ. 3, 7, 2.

A. 8. Von einzelnen Formeln bemerke man besonders πρὸς βίαν mit Gewalt, πρὸς ἡδονήν, χάριν (zum) nach Gelüst, nach Gefallen, schmeichlerisch. [z. Th. 3, 42, 5.] Τὸ πίνειν πρὸς βίαν ἴσον κακὸν πέφυκε τῷ διψῆν βίᾳ (λίαν?). Σο. ἀποσ. 701 (665). Ἔπινον πρὸς ἡδονήν. Πλ. συ. 176, e. Οὐκ ἐθέλετ' ἀκούειν πλὴν τῶν πρὸς ἡδονὴν δημηγορούντων. Ἰσ. 8, 9. Οὐ πρὸς χάριν λέγω τοὺς λόγους οὓς λέγω, ἀλλὰ πρὸς τὸ βέλτιστον, οὐ πρὸς τὸ ἥδιστον. Πλ. Γο. 521, e. Τὸ πρὸς χάριν ῥηθὲν ἐπισκοτεῖ τῷ καθορᾶν ὑμᾶς τὸ βέλτιστον. Ἰσ. 8, 10. Ὅπως μὴ πρὸς ὀργὴν ἀντιλέξεις. Ἀρ. βά. 998. Über πρὸς φιλίαν freundschaftlich z. Xe. An. 1, 3, 19.

A. 9. Über πρός ohne Kasus § 68, 2, 2.

40. *Ἐπί* mit dem Ge. heißt eig. auf. [Reg. z. Th. u. *ἐπί*.]

A. 1. So im lokalem Sinne, auch metaphorisch. Πᾶς ὅ, τ' ἐπὶ γῆς καὶ ὑπὸ γῆς χρυσὸς ἀρετῆς οὐκ ἀντάξιος. Πλ. νό. 728, a. Θεοῦ θέλοντος κἂν ἐπὶ ῥιπὸς πλέοις. Μέ. μο. 671. Λεπτή τις ἐλπίς ἐστ' ἐφ' ἧς ὀχούμεθα. Ἀρ. ἱπ. 1244.

A. 2. Demnächst bezeichnet es auch eine unmittelbare Nähe: an, bei, vor. Daher τὰ ἐπὶ Θρᾴκης (χωρία) die griechischen Pflanzstädte an der thrakischen Küste. Λέπρεον κεῖται ἐπὶ τῆς Λακωνικῆς καὶ Ἠλείας. Θ. 5, 34, 1. Ποτίδαια ἐπικαιρότατον χωρίον πρὸς τὰ ἐπὶ Θρᾴκης ἀποχρῆσθαι. Θ. 1, 68, 4. Εἴωθα λέγειν ἐν ἀγορᾷ ἐπὶ τῶν τραπεζῶν. Πλ. ἀπ. 17, d. — Ὠιόμεθα τὰ ὡμολογημένα ἐπὶ τοῦ δικαστηρίου κύρια ἡμῖν ἔσεσθαι. Ἰσαῖ. 5, 1.

A. 3. Auch bei Verben der Bewegung erscheint ἐπί mit dem Ge., nicht, wie mit dem Ac., bloß die Richtung, sondern das erreichte oder zu erreichende Ziel bezeichnend. Daher gew. ἐπ' οἴκου nach Hause; aber Xen. Kyr. 7, 2, 1 u. Hell. 7, 1, 29 war nur ἐπ' οἶκον statthaft. [Προσωτάτω τῆς ἐπ' οἶκον ὁδοῦ ἀπεχώρει. Ξε. Κυ. 7, 2, 1.] Ἀνεχώρησαν ἐπ' οἴκου. Θ. 1, 30, 2. Ἠπόρησεν ὁποτέρωσε διακινδυνεύσῃ χωρήσας ἢ ἐπὶ τῆς Ὀλύνθου ἢ ἐς Ποτίδαιαν. Θ. 1, 63, 1. Ἀφικνοῦνται ἐπὶ Θρᾴκης. Θ. 1, 60, 2. Πολὺν γέλωτα παρέξομεν καὶ ἐπὶ τῶν ἵππων καθήμενοι, οἶμαι δὲ καὶ ἐπὶ τῆς γῆς καταπίπτοντες. Ξε. Κυ. 4, 5, 54.

A. 4. In vielen Verbindungen ist ἐπί mit ἐν synonym, auch in temporaler Bedeutung, selbst bei persönlichen Objekten (vgl. § 47, 4, 6), besonders von deren Leitung der Angelegenheiten: unter. [z. Arr. 2, 1, 4 lat. A.] Οἱ Ἀθηναῖοι πολλὰς ἐφ' ἑκατέρας τῆς ἠπείρου πόλεις ἔκτισαν. Ἰσ. 4, 35. Οἱ μὲν ἐν ταῖς αὑτῶν ἀνόμως ἀπόλλυνται, οἱ δὲ ἐπὶ ξένης

ἁλῶνται. Ἰσ. 4, 168. Ἀρχὴν ἄρχεις ἢ ἐπὶ στρατιᾶς τοῖς συσσίτοις ἀγοράζεις. Ἀρ. σφ. 557. Τοὺς λόγους ἐν εἰρήνῃ ἐπὶ σχολῆς ποιοῦνται. Πλ. Θε. 172, d. — Ἐπὶ τελευτῆς ἐπὶ τὴν δικαιοσύνην παρακαλῶ. Ἰσ. 15, 65. Τελευτῶν ἐπὶ γήρως, οὐ γὰρ ἐφ' ἥβης, ἐξεβλήθη. Ἀρ. ἱπ. 524. Ἠιδ' ἐφ' ἑσπέρας. Ἀρ. σφ. 102. Ἐπὶ τοῦ Δεκελεικοῦ πολέμου τὸ ναυτικὸν τῶν Ἀθηναίων ἀπώλετο. Δη. 22, 15. Πότερον ὑμῖν ἐνδοξοτέρα δοκεῖ ἡ πόλις εἶναι ἐπὶ τῶν νῦν καιρῶν ἢ ἐπὶ τῶν προγόνων; Αἰ. 3, 178. — Ἐπὶ Κέκροπος καὶ τῶν πρώτων βασιλέων ἡ Ἀττικὴ ἐς Θησέα ἀεὶ κατὰ πόλεις ᾠκεῖτο. Θ. 2, 15, 1. Ἐπὶ Κύρου ἄρχοντος ἦν καθεστηκὸς οὐδὲν φόρου πέρι. Ἡρ. 3, 89, 2. [z. Th. 8, 97, 2.] Οἱ Λακεδαιμόνιοι πολὺ ἐπικυδέστεροι ἐγένοντο ἐκ τῆς ἐπ' Ἀνταλκίδου εἰρήνης καλουμένης. Ξε. Ἑλ. 5, 1, 36.

A. 5. In manchen Verbindungen wird durch ἐπί der Begriff als ein von der Handlung betroffener bezeichnet: in, bei, an; bei λέγειν von. Τὸ δίκαιον ἄν τ' ἐπὶ μικροῦ τις, ἄν τ' ἐπὶ μείζονος παραβαίνῃ, τὴν αὐτὴν ἔχει δύναμιν. Δη. 9, 16. Ὁρῶ ἐπὶ πάντων ὁμοίως καὶ φύσει διαφέροντας ἀλλήλων τοὺς ἀνθρώπους καὶ ἐπιμελείᾳ πολὺ ἐπιδιδόντας. Ξε. ἀπ. 3, 6, 9. Συμφέρει ἐπί τε τῶν ἄλλων ἁπάντων καὶ μάλιστ' ἐπὶ τῶν λόγων μὴ τὰς εὐτυχίας, ἀλλὰ τὰς ἐπιμελείας εὐδοκιμεῖν. Ἰσ. 15, 292. — Ἃ ἐπὶ τῶν ἄλλων ὁρᾶτε, ταῦτ' ἐφ' ὑμῶν αὐτῶν ἀγνοεῖτε. Ἰσ. 8, 114. Προσήκει ἐπὶ μὲν τῶν κινδύνων τὴν ἀνδρίαν ἐνδείκνυσθαι, ἐν δὲ τῷ συμβουλεύειν φρονιμώτερα τῶν ἄλλων εἰπεῖν ἔχειν. Δη. 14, 8. — Ὅπερ ἐπὶ τῶν δούλων γε ἐλέγομεν, ταὐτὸν δραστέον τοῦτό γε καὶ ἐπ' ἐλευθέροισιν. Πλ. νό. 793, e.

A. 6. Ähnlich ist ἐφ' ἑαυτοῦ für sich, und ἐπὶ τεττάρων rc. vier Mann hoch oder tief; auch ἐπὶ τέτταρας, wenn eine Bewegung gedacht wird. Αὐτοὶ ἐφ' ἑαυτῶν ἐχώρουν. Ξε. ἀν. 2, 4, 10. Πᾶσα πρᾶξις αὐτὴ ἐφ' ἑαυτῆς πραττομένη οὔτε καλὴ οὔτε αἰσχρά. Πλ. συ. 180, e. — Ἐγένοντο τὸ μὲν μέτωπον ἐπὶ τριακοσίων, τὸ δὲ βάθος ἐφ' ἑκατόν. Ξε. Κυ. 2, 4, 2. Ἐτάχθησαν ἐπὶ τεττάρων. Ξε. ἀν. 1, 2, 15. Ἵστασθ' ἐφεξῆς πάντες ἐπὶ τρεῖς ἀσπίδας. Ἀρ. ἀποσ. 47 (69). (Ἐπὶ μιᾶς ἀσπίδος παρετάξαντο. Ἰσ. 6, 99.)

41. Auch mit dem Da. heißt *ἐπί* eig. auf (an, bei). [Reg. z. Th. u. *ἐπί* II.)

A. 1. Bei ἐπί mit dem Ge. wird eine mehr zufällige, freiere Verbindung gedacht; bei ἐπί mit dem Da. schwebt mehr der Begriff der Zugehörigkeit vor. So findet sich neben dem gew. ἐπὶ νεώς auch ἐπὶ νηΐ mit dem Begriffe einer Bestimmung zur Anführung oder Bemannung. [z. Xe. An. 1, 4, 2 u. z. Th. 2, 80, 2. vgl. z. 8, 74, 1.] Ἐπὶ τῆς κεφαλῆς τὰ ὅπλα ἔφερον. Ξε. ἀν. 4, 3, 6. Οἱ Θρᾷκες ἀλωπεκίδας ἐπὶ ταῖς κεφαλαῖς φοροῦσι καὶ τοῖς ὠσὶ καὶ ζειρὰς μέχρι τῶν ποδῶν ἐπὶ τῶν ἵππων ἔχουσιν. Ξε. ἀν. 7, 4, 4. Κνῆμον, ναύαρχον ἔτι ὄντα, καὶ τοὺς ὁπλίτας ἐπὶ ναυσὶν ὀλίγαις εὐθὺς πέμπουσιν. Θ. 2, 80, 2.

A. 2. Mit einer ähnlichen Nebenbeziehung bezeichnet ἐπί mit dem Da. auch die Nähe (von der Lage franz. sur). Ebenso von der Zeit. Ἐξελαύνει εἰς Ἰσσούς, τῆς Κιλικίας ἐσχάτην πόλιν, ἐπὶ τῇ θαλάττῃ οἰκουμένην. Ξε. ἀν. 1, 4, 1. [z. Arr. 1, 29, 5 lat. A.] Ἔστι μεγάλου βασιλέως βασίλεια ἐν Κελαιναῖς ἐρυμνὰ ἐπὶ ταῖς πηγαῖς τοῦ Μαρσύου ποταμοῦ ὑπὸ τῇ ἀκροπόλει. Ξε. ἀν. 1, 2, 8. — Πάντες οἱ τῶν ἀρίστων Περσῶν παῖδες ἐπὶ ταῖς βασιλέως θύραις παιδεύονται. Ξε. ἀν. 1, 9, 3. — Ἦν ἥλιος ἐπὶ δυσμαῖς. Ξε. ἀν. 7, 3, 34.

A. 3. Wie die Nähe bezeichnet ἐπί mit dem Da. auch die anschließende Folge, nach, lokal und temporal: οἱ ἐπὶ πᾶσι die zuletzt Gestellten, der Nachtrab; ἐπὶ τούτῳ, τούτοις hierauf. Ἐπανέστη ἐπὶ πᾶσιν. Αἰ.

2, 122. Ὀλίγοι τῶν ἐπὶ πᾶσιν ὑπὸ τῶν φίλων ἀπέθανον. Ξε. Ἑλ. 1, 1, 34. — Ἐπὶ κατειργασμένοις ἐλθεῖν βούλομαι. Λυ. 31, 9.

A. 4. **Vorsteherschaft** bezeichnet ἐπί mit dem Ge., insofern allgemeine **Leitung**, mit dem Da., insofern bestimmte **Einwirkung** zu denken ist. Τὰ πλεῖστα Φίλιππος διῳκήσατο τῷ διαφθείρειν τοὺς ἐπὶ τῶν πραγμάτων. Δη. 18, 247. Τοὺς ἐπὶ τοῖς πράγμασιν ὄντας αἰτιῶνται. Δη. 9, 2. Κατελέγη μετὰ Θρασύλλου τοῦ ἐπὶ τῶν ὁπλιτῶν. Λυ. 32, 5. Ἐπὶ τῷ θεωρικῷ τότε ὢν ἐπέδωκα τὰ χρήματα. Δη. 18, 113.

A. 5. Analog dem Falle 40 A. 5 findet sich auch ἐπί mit dem Da., mehr ein **Anschließen** bezeichnend. Ἡσυχίαν ἐποίησεν ἔχειν τὴν ψυχὴν μένουσαν ἐπὶ τῷ ἀληθεῖ. Πλ. Πρω. 356, c. (Εἰ καὶ κατὰ τὸν λογισμὸν ἐκεῖνα φανείη βελτίω, τῆς γε τύχης ἕνεκα, ᾗ παρὰ ταῦτ' ἀγαθῇ κέχρησθε, ἐπὶ τούτων ἄξιον μεῖναι. Δη. 20, 110.) Δεῖ καρτερεῖν ἐπὶ τοῖς παροῦσι καὶ θαρρεῖν περὶ τῶν μελλόντων. Ἰσ. 6, 48. Οἱ προέχοντες ποιηταὶ ἐπὶ ταῖς καλουμέναις γνώμαις μάλιστ' ἐσπούδασαν. Ἰσ. 2, 44. — Τὸ θῆλυ γένος ἀνδρῶν ἐν τοῖς καλοῖς πολλῷ λέλειπται κἀπὶ τοῖς αἰσχροῖς πλέον. Εὐ. Ἰνώ 9 (405). Προςήκει ἐπαινεῖν τοὺς ἐπ' ἀγαθῷ τινι διαφέροντας. Ἰσ. 10, 15. Ἀεὶ πεινῶμεν ἐπὶ ταῖς ἐλπίσιν. Ἀντιφά. 122, 3 (7). — Ἐπὶ πολλοῖς δὴ λεγόμενον εὖ τὸ μὴ κινεῖν τὰ ἀκίνητα καὶ περὶ τούτου λέγοιτ' ἄν. Πλ. νό. 913, b. Διαφορὰ ἐπὶ τῇ τοῦ οἰκείου ἔχθρᾳ στάσις κέκληται, ἐπὶ δὲ τῇ τοῦ ἀλλοτρίου πόλεμος. Πλ. πολ. 470, b.

A. 6. Ähnlich steht ἐπί mit dem Da. bei den Begriffen der Gefühle und Ansichten wie der verwandten Äußerungen: über, ob, wegen. Χαίρειν ἐπ' αἰσχραῖς ἡδοναῖς οὐ δεῖ ποτε. Σο. ἀποσ. 665 (841). Οὐδεὶς ἐπὶ σμικροῖσι λυπεῖται σοφός. Χαιρή. 38. Ἀποδέχου τῶν ἑταίρων μὴ μόνον τοὺς ἐπὶ τοῖς κακοῖς δυςχεραίνοντας, ἀλλὰ καὶ τοὺς ἐπὶ τοῖς ἀγαθοῖς μὴ φθονοῦντας. Ἰσ. 1, 26. Τί δεῖ ἃ πάλαι προςεδοκῶμεν πείσεσθαι, ὑπὲρ τούτων νῦν ἄχθεσθαι ἢ λίαν οὕτω βαρέως φέρειν ἐπὶ ταῖς τῆς φύσεως συμφοραῖς; Λυ. 2, 77. Εὐλαβεῖσθαι δεῖ ποιεῖν ταῦτα ἐφ' οἷς τοῖς ἄλλοις χαλεπῶς τις ἔχων ὁρᾶται. Δη. 20, 135. Τὸν ἐπὶ ταῖς δωροδοκίαις προτρεπόμενον τοὺς δικαστὰς ὀργίζεσθαι αὐτὸν χρὴ τῶν τοιούτων πολὺ ἀφεστάναι. Αἰ. 2, 3. Ἐπὶ τίνι μάλιστα ἀγάλλῃ; Ἐπὶ φίλων ἀρετῇ καὶ δυνάμει καὶ ὅτι τοιοῦτοι ὄντες ἐμοῦ ἐπιμέλονται. Ξε. συ. 3, 14. Μὴ φαίνου φιλοτιμούμενος ἐπὶ τοῖς τοιούτοις ἃ καὶ τοῖς κακοῖς διαπράξασθαι δυνατόν ἐστιν, ἀλλ' ἐπ' ἀρετῇ μέγα φρονῶν, ἧς οὐδὲν μέρος τοῖς πονηροῖς μέτεστιν. Ἰσ. 2, 30. Οὐχὶ νοῦν ἔχειν ἡγοῦμαι, εἴ τις ἐν ἀφθόνοις τραφεὶς ἐπὶ τούτῳ σεμνύνεται. Δη. 18, 256. Ἐπὶ ἐπῶν ποιήσει Ὅμηρον ἔγωγε μάλιστα τεθαύμακα, ἐπὶ δὲ τραγῳδίᾳ Σοφοκλέα. Ξε. ἀπ. 1, 4, 3. Δεῖ σκωπτόμενον ἐφ' ἑαυτῷ γελᾶν. Νικόλ. 1, 31. Κέρδη τοιαῦτα χρή τινα κτᾶσθαι βροτῶν ἐφ' οἷσι μέλλει μήποθ' ὕστερον στένειν. Εὐ. Κρεσ. 8 (461). Ἐλεεῖν ἐπὶ τοῖς ἀκουσίοις παθήμασι μᾶλλον προςήκει ἢ τοῖς ἑκουσίοις καὶ ἐκ προνοίας ἀδικήμασι καὶ ἁμαρτήμασιν. Ἀντ. 1, 27. — Ἐπὶ μὲν τοῖς ἀγαθοῖς φαιδροί, ἐπὶ δὲ τοῖς κακοῖς σκυθρωποὶ γίγνονται. Ξε. ἀπ. 3, 10, 4. — Προειλόμην τῶν ἡδονῶν τὰς ἐπὶ ταῖς δόξαις ταῖς δι' ἀνδραγαθίαν γιγνομέναις. Ἰσ. 3, 44. Ἔρως ἐμποιεῖ τὴν ἐπὶ μὲν τοῖς αἰσχροῖς αἰσχύνην, τὴν δὲ ἐπὶ τοῖς καλοῖς φιλοτιμίαν. Πλ. συ. 176, d. Οἱ ἐπὶ τοῖς καλῶς πραχθεῖσιν ἔπαινοι τῶν οὕτω τελευτηκότων ἴδιον κτῆμά εἰσιν. Δη. 19, 313.

A. 7. So bezeichnet ἐπί mit dem Da. auch allgemein den **Beweggrund** einer Handlung: **wegen, aus**; insofern etwas Bevorstehendes gemeint wird, **Beabsichtigung: zu**; oft eine Tendenz zu schaden andeutend [z. Th. 3, 93, 2 vgl. 4, 98, 1], besonders bei persönlichen Begriffen. Χρὴ ἐπ' ἀξίοις πονεῖν. [Εὐ. Ῥῆσ. 182.] Δίκαιος ἂν εἴης, ὅτι οὐκ ἐξαπατᾷς ἐπὶ πλεονεξίᾳ. Ξε. ἀπ. 1, 6, 12. Ταῦτα ἐπ' εὐνοίᾳ φασὶ τῇ ὑμετέρᾳ παρανομῆσαι. Λυ. 22, 13. — Οὐκ ἂν πολλὴ ἀμαθία εἴη τοῖς ἐπ' ὠφελείᾳ πεποιημένοις ἐπὶ βλάβῃ χρῆσθαι; Ξε. ἀπ. 2, 3, 18. Δῶρα ἐπὶ τῷ ἑαυ-

τοῦ κακῷ ἑκὼν οὐδεὶς λαμβάνει. Ξε. Κυ. 1, 6, 21. Ἐπὶ τῷ κερδαίνειν πᾶν ἂν οὗτος ποιήσειεν. Δη. 45, 66. Οὐκ ἐπὶ τέχνῃ ἔμαθες, ὡς δημιουργὸς ἐσόμενος, ἀλλ' ἐπὶ παιδείᾳ. Πλ. Πρω. 312, b. vgl. 315, a. Κύλων κατέλαβε τὴν ἀκρόπολιν ὡς ἐπὶ τυραννίδι. Θ. 1, 126, 3. — Ἔνιοι ἐπὶ τοῖς ὑμετέροις ἐδωροδόκουν. Λυ. 25, 19. Χρήματα ἔχουσιν ἐφ' ὑμῖν. Δη. 19, 205. Οἱ νόμοι ἀπαγορεύουσι μηδὲ νόμον ἐξεῖναι ἐπ' ἀνδρὶ θεῖναι, ἂν μὴ τὸν αὐτὸν ἐφ' ἅπασιν Ἀθηναίοις. Δη. 46, 12. vgl. 24, 59 u. And. 1, 89. (Über ἐπὶ θανάτῳ u. ἐπὶ θάνατον z. Xe. An. 1, 6, 10, u. A. 1, 89. ἐπὶ τούτῳ u. ἐπὶ τοῦτο z. Th. 4, 3, 2.)

A. 8. Ähnlich bezeichnet es, worauf als seiner Bedingung etwas beruht: auf, unter der Bedingung, daß. Über ἐφ' ᾧ (τε) § 65, 3, 3. Οἱ δανειζόμενοι ῥᾳδίως ἐπὶ τοῖς μεγάλοις τόκοις μικρὸν εὐπορήσαντες χρόνον ὕστερον καὶ τῶν ἀρχαίων ἀπέστησαν. Δη. 1, 15. Ἠλεῖοι παρεκλήθησαν ὑπὸ Λεπρεατῶν ἐπὶ τῇ ἡμισείᾳ τῆς γῆς. Θ. 5, 31, 2. Πρότερον ἦσαν ἐπὶ ῥητοῖς γέρασι πατρικαὶ βασιλεῖαι. Θ. 1, 13, 1. Ἀλκιβιάδης τὴν Καλλίου ἔγημεν ἀδελφὴν ἐπὶ δέκα ταλάντοις. Ἀνδ. 4, 13. — Οὐκ ἂν ξυμβαῖμεν ἄλλως ἢ ἐπὶ τοῖς εἰρημένοις. Εὐ. Φοί. 590. Ἠρώτα ἐπὶ τίσιν ἂν ξύμμαχος γένοιτο; ὁ δ' ἀπεκρίνατο ἐφ' ᾧ τε τοὺς πολίτας ἐλευθέρους τε καὶ αὐτονόμους ἐᾶν. Ξε. Ἑλ. 3, 1, 20.

A. 9. Ἐπί τινι εἶναι, γίγνεσθαι heißt in jemandes Gewalt sein, kommen (einstweilig, während bei ὑπό τινι dauernde Unterwürfigkeit gedacht wird vgl. z. Xe. An. 1, 1, 4 lat. A.); über ἔν τινι § 68, 12, 6). Ähnlich steht τὸ ἐπὶ τούτῳ (τοῦτον), mit und ohne εἶναι, so viel an ihm lag (so weit es ihn betraf). Vgl. § 53, 10, 5. Τὰ ὑμέτερα αὐτῶν ἐφ' ὑμῖν δικαίως ἐστὶ καὶ εὖ καὶ κακῶς, ἐὰν βούλησθε, διατίθεσθαι. Ἀνδ. 2, 19. Εἰ ἐπὶ τοῖς πολεμίοις ἐγένοντο, τί ἂν ἔπαθον; Ξε. ἀν. 5, 8, 17. — Τὸ ἐπὶ τούτοις εἶναι ἐν τοῖς δεινοτάτοις κινδύνοις καθεστήκασιν. Λυ. 28, 14. Ἐκέλευε τὸ ἐπὶ σφᾶς εἶναι ἐπιχειρεῖν. Θ. 4, 28, 1. Τὸ ἐπὶ τούτῳ ἀπολώλαμεν ἅπαντες. Ξε. ἀν. 6, 4, 23. Σώθηθ' ὅσον γε τοὐπ' ἐμέ. Εὐ. Ὀρ. 1345. [Porson z. Eu. Or. 1338.]

42. Mit dem Ac. heißt ἐπί auf, gegen, nach.

A. 1. Zunächst bezeichnet es eine Richtung nach oben: auf; sodann eine Richtung überhaupt: nach, zu (vgl. 40 A. 3): auch, besonders von Personen, mit feindseliger Tendenz: gegen [z. Th. 1, 5, 1]; endlich auch ein Erstrecken: über — hin, dies sowohl temporal als lokal; taktisch 40 A. 6. Ἀναβάντες ἐπὶ τοὺς ἵππους ἡγοῦντο. Ξε. Κυ. 5, 5, 37. — Οὐκ ἔχει φύσιν τοὺς σοφοὺς ἐπὶ τὰς τῶν πλουσίων θύρας ἰέναι. Πλ. πολ. 489, b. Οὐ χρὴ πῦρ ἐπὶ πῦρ ὀχετεύειν. Πλ. νό. 666, a. — Ὁ εἰς τὸ σῶφρον ἐπ' ἀρετήν τ' ἄγων ἔρως ζηλωτὸς ἀνθρώποισιν· ὧν εἴην ἐγώ. Εὐ. Οἰδ. 3 (671). Πολλοὶ τῶν ἀνθρώπων ἀμελήσαντες τοῦ συμφέροντος ἐπὶ τὰς ἡδονὰς ὁρμῶσιν. Ἰσ. 15, 221. Προτρέπετε τοὺς νεωτέρους ἐπ' ἀρετήν. Ἰσ. 3, 57. — Ὁ χρόνος χαίρει μεταπλάττων πάντας ἐπὶ τὰ χείρονα. Διφ. 78 (83). Πᾶν κτῆμα καὶ θρέμμα τὸ ἐπὶ τὸ βέλτιον ἰόν (ἐπιδιδόν), τοῦτο καὶ εὐφραίνειν μάλιστα ᾤετο. Ξε. οἰκ. 20, 23. — Οὐκ εἰκὸς ἀρχὴν ἐπὶ ἀρχὴν στρατεῦσαι. Θ. 6, 11, 2. Οὐδέν ἐστ' ὄφελος πόλεως ἥτις μὴ νεῦρα ἐπὶ τοὺς ἀδικοῦντας ἔχει. Δη. 19, 283. — Τὸ ὄμμα δύναται ἐπὶ πολλὰ στάδια ἐξικνεῖσθαι. Ξε. ἀπ. 1, 4, 17. Λακεδαιμόνιοι οὐκ ἐπὶ πολὺ τὰς διώξεις ποιοῦνται. Θ. 5, 73, 5. Τὴν γῆν ἀπεμίσθωσαν ἐπὶ δέκα ἔτη. Θ. 3, 68, 3. Vgl. § 43, 4, 3 u. 8. Über ἐφ' ἡμέραν z. Th. 4, 69, 3, ἐπὶ πᾶν überhaupt z. 2, 51, 1.

A. 2. Das zu Erreichende kann auch ein zu Erlangendes, zu Holendes sein: nach. Πέμπουσιν ἐπὶ Δημοσθένην καὶ ἐπὶ τὰς εἴκοσι ναῦς τῶν Ἀθηναίων. Θ. 3, 105, 3. [z. Xe. An. 5, 10, 2 lat. A.]

A. 3. Hieran schließt sich der Begriff des Bezweckten: zu, für. [z. Th. 6, 9, 3.] Ἔπλει ἐφ' Ἱερὸν ἐπὶ τὴν παραπομπὴν τοῦ σίτου. Δη. 50, 17. Οἱ διάκονοι τὴν τοῦ σώματος ἰσχὺν ἱκανὴν ἐπὶ τοὺς πόνους ἔχουσιν. Πλ.

πολ. 371, e. — Εἰς τὴν ἀγορὰν χειροτονεῖτε τοὺς ταξιάρχους, οὐκ ἐπὶ τὸν πόλεμον. Δη. 4, 26. Αἱροῦνται αὐτὸν ἐπὶ τὰς μεγίστας ἀρχάς. Πλ. Μέ. 98, b.

43. Ὑπό (sub) mit dem Ge. heißt unter, von, vor.

A. 1. Unter heißt es zunächst räumlich mit dem Begriffe des Überdeckens, meist nur in ὑπὸ γῆς; dann bei Objekten, unter deren Zuthun etwas geschieht: ὑπὸ μαστίγων unter Geißeln, dadurch angetrieben; ὑπὸ κήρυκος unter Heroldsruf, dadurch ausgeboten. Ἡγοῦντο τῷ τοὺς αὐτοῦ αἰσχύναντι οὔτε τινὰ ἀνθρώπων οὔτε θεῶν φίλον εἶναι οὔτ' ἐπὶ γῆς οὔθ' ὑπὸ γῆς τελευτήσαντι. Πλ. Μενέξ. 246, d. — Οἱ βάρβαροι ἐτόξευον ὑπὸ μαστίγων. Ξε. ἀν. 3, 4, 25. Μόνον οὐχ ὑπὸ κήρυκος πωλοῦσι τὰ κοινά. Δη. 51, 22. Vgl. z. Th. 5, 70; von, her z. Xe. An. 6, 2, 22.

A. 2. Über ὑπό bei Passiven § 52, 5, bei Neutren § 52, 3, 1. So steht es auch bei passivartigen Ausdrücken, besonders bei Substantiven. [z. Th. 1, 130, 1.] Ἐγίγνετο ἔργῳ ὑπὸ τοῦ πρώτου ἀνδρὸς ἀρχή. Θ. 2, 65, 6. Παυσανίας ἦν ἐν μεγάλῳ ἀξιώματι ὑπὸ τῶν Ἑλλήνων. Θ. 1, 130, 1. Ἥδεται τῇ ὑπὸ πάντων τιμῇ. Ξε. Κυ. 3, 3, 2. — Δίκαιοι ὄντες ἀζήμιοι ὑπὸ θεῶν ἐσόμεθα. Πλ. πολ. 366, a.

A. 3. Analog bezeichnet es, besonders bei sachlichen Begriffen, die wirkende Ursache (gew. ohne Artikel): vor, aus, wegen. [Reg. z. Th. u. ὑπό.] Τῶν ἀποβαλλόντων τι ὄψει οὐδένα δυνάμενον καθεύδειν ὑπὸ λύπης. Ξε. Κυ. 8, 3, 42. Ἡ ψυχὴ ὑπὸ ἡσυχίας οὔτε τι μανθάνει, ἅ, τε ἂν μάθῃ ἐπιλανθάνεται. Πλ. Θε. 153, b. Ὑπὸ ἀνανδρίας ἢ γήρως ἤ τινος ἄλλης ἀσθενείας ψέγει τὸ ἀδικεῖν. Πλ. πολ. 366, d. Ὑπ' ἐλπίδων ἄνδρας τὸ κέρδος πολλάκις διώλεσεν. Σο. Ἀντ. 221. — Ὑπὸ πνευμάτων οὐ δυνάμεθα βοηθεῖν. Δη. 8, 17. Οὐκέτι οἷόν τε ἦν ἀποχωρεῖν ὑπὸ τῶν ἱππέων. Θ. 7, 78, 4.

44. Mit dem Da. heißt ὑπό unter.

A. Lokal bezeichnet es teils eine Lage, teils ein Verdecken; sodann auch Unterwürfigkeit, bei Verben der Bewegung ein herbeigeführtes Resultat ausdrückend. Τυγχάνει τὰ ἐπὶ γῆς ὑπὸ τῷ οὐρανῷ ὄντα. Πλ. Φαίδ. 110, b. Εὐκλεὴς θανεῖ γυνή τ' ἀρίστη τῶν ὑφ' ἡλίῳ μακρῷ. Εὐ. Ἄλκ. 150. Ἔστι βασίλεια ἐν Κελαιναῖς ὑπὸ τῇ ἀκροπόλει. Ξε. ἀν. 1, 2, 8. Τί ἔχεις ὑπὸ τῷ ἱματίῳ; Πλ. Φαῖδ. 228, d. — Ἦν ἔτι ὑπὸ νόμοις καὶ πατρί. Πλ. πολ. 574, e. Τῶν Ἑλλήνων οἱ μὲν ὑφ' ἡμῖν, οἱ δ' ὑπὸ Λακεδαιμονίοις εἰσίν. Ἰσ. 4, 16. — Οἱ πρόγονοι ὑπὸ τοῖς τυράννοις ἐγένοντο. Λυ. 26, 22. Εὐαγόρας τοὺς φίλους ταῖς εὐεργεσίαις ὑφ' ἑαυτῷ ἐποιεῖτο. Ἰσ. 9, 45.

45. Mit dem Ac. heißt ὑπό eig. unter — hin.

A. 1. Lokal bezeichnet es das Erstrecken; bei Verben der Bewegung auch das Erreichen mit Bezug auf höher Gelegenes; ein Erstrecken auch in ὑπὸ τὸν ἥλιον wie in ὑπ' αὐγάς bei Lichte; auch temporal: während, u. m. Ἐπορευόμην τὴν ἔξω τείχους ὑπ' αὐτὸ τὸ τεῖχος. Πλ. Λύ. 203, a. Ἐν ταῖς ὑπὸ τὸ ὄρος κώμαις ηὐλίζοντο. Ξε. ἀν. 7, 4, 5 u. die A. — Ἀνακεχωρηκότες ὑπὸ τὸ τεῖχος καὶ τὰς πύλας ἡσυχίαν ἦγον. Ξε. Ἑλ. 6, 5, 8. Ὑπὸ τὴν σκιὰν ἐκαθέζετο. Ἀνδ. 1, 38. — Τὸν Φίλιππον τῶν ὑπὸ τὸν ἥλιον ἀνθρώπων ἔφη πάντων εἶναι δεινότατον. Αἰ. 2, 41. Ταῦτα ὑπ' αὐγὰς μᾶλλον ἴδωμεν. Πλ. Φαῖδ. 267, a. — Θυρέαν ἔδοσαν Λακεδαιμόνιοι Αἰγινήταις ἐκπεσοῦσιν ἐνοικεῖν διά τε τὰς ὑπὸ τὸν σεισμὸν σφίσι γενομένας καὶ τῶν Εἱλώτων τὴν ἐπανάστασιν εὐεργεσίας. Θ. 4, 56, 4. [z. 1, 100, 3.]

A. 2. Von Unterwürfigkeit gebraucht bezeichnet ὑπό mit dem Ac. die Herbeiführung derselben bei Verben der Bewegung; ein Erstrecken der

Gewalt bei Begriffen der Ruhe. Οἱ φρόνιμοι πόλεις τε καὶ ἔθνη δύνανται ἀνθρώπων ὑφ' ἑαυτοὺς ποιεῖσθαι. Πλ. πολ. 348, c. Ὁποῖοί τινες ἂν οἱ προστάται ὦσι, τοιοῦτοι καὶ οἱ ὑπ' αὐτοὺς ἐπὶ τὸ πολὺ γίγνονται. Ξε. Κυ. 8, 8, 5. [vgl. z. Th. 6, 86, 3.]

V. Die Präpositionen in Kompositen.

46. In Kompositen haben die Präpositionen gew. eine oder die andere ihrer lokalen Grundbedeutungen, zum Teil jedoch eigentümlich schattiert.

A. 1. Ἔν heißt gew. in, darin, dabei: ἔγγειος, ἐνοικεῖν, ἐμμένειν; über ἔν für εἰς § 48, 11, 3. 4.

A. 2. Σύν bezeichnet teils Verbindung (§ 68, 13, 1), teils Mitwirkung: συμπορεύεσθαι, συλλέγειν; συμπράττειν.

A. 3. Μετά bezeichnet gew. Genossenschaft, Teilnahme oder Umwandelung: μεταδιδόναι, μετέχειν; μεθιστάναι, μετανοεῖν.

A. 4. Ἀντί bezeichnet besonders Gegensatz oder auch Vergeltung: ἀντιλέγειν, ἀντιδιδόναι.

A. 5. Πρό heißt vor, vorwärts; vor auch von Veröffentlichung, Vorsteherschaft, Vorzug, Zeit: προτάττειν, προβαίνειν; προγράφειν, προστατεύειν, προαιρεῖσθαι, προειπεῖν.

A. 6. Ἀπό bezeichnet gew. Trennung oder Sonderung (ab, se —): ἀπέρχεσθαι, ἀποτιθέναι, ἀπομανθάνειν verlernen. Ἀπαιτεῖν, ἀποδιδόναι, ἀπολαμβάνειν heißen Schuldiges fordern, abtragen, erhalten.

A. 7. Ἔκ bezeichnet gewöhnlich das Ausgehen: ἐξιέναι, ἐκβάλλειν; zuweilen Vollendung oder Genauigkeit: ἐξοπλίζεσθαι sich völlig bewaffnen, ἐκλογίζεσθαι genau berechnen.

A. 8. Das korrelate εἰς heißt hinein: εἰσιέναι. vgl. A. 1.

A. 9. Ἀνά heißt auf, hinauf; auch, wie ἄνω, die Richtung von der Küste nach dem Binnenlande bezeichnend; ferner zurück, wieder: ἀνέχειν emporragen, ἀναβαίνειν, ἀνελίττειν; ἀναχωρεῖν; ἀναμάχεσθαι.

A. 10. Κατά als Gegensatz von ἀνά heißt herab; auch, wie κάτω, die Richtung aus dem Binnenlande nach der Küste bezeichnend, καταβάλλειν, καταβαίνειν. Von der Zurückführung und Rückkehr Verbannter sagte man κατάγειν, κατιέναι, κατέρχεσθαι, κάθοδος. Gegen heißt κατά besonders in den § 47, 24 angeführten Verben u. ä., wie in den von ihnen abgeleiteten Substantiven. Mit dem Begriffe der Vervollständigung entspricht es oft unserm ver —: καταπιμπράναι, καταπράττειν, καταναλίσκειν.

A. 11. Διά heißt durch und über, trans: διέρχεσθαι, διάγειν, διαβαίνειν. Sodann bezeichnet es temporale Vollendung: διαμένειν, διατελεῖν; ferner Scheidung und Verteilung (ver-, zer-, dis-): διέχειν, διΐστασθαι; διαδιδόναι, διανέμειν.

A. 12. Ὑπέρ heißt über von einer Höhe: ὑπερέχειν, ὑπερβαίνειν; dann vom Übermaß: ὑπερμισεῖν, ὑπέρσοφος, ὑπέρευ; doch auch von Mißachtung: ὑπερορᾶν, ὑπερφρονεῖν.

A. 13. Ἀμφί heißt eig. von zwei Seiten: ἀμφίστομος.

A. 14. Περί heißt um, eig. von allen Seiten: περιέρχεσθαι, περιβλέπειν; dann mit dem Begriffe der Auszeichnung: περίβλεπτος, περιχαρής; aber auch mit dem der Vernachlässigung: περιορᾶν übersehen.

A. 15. Παρά hat teils die Bedeutung des lat. ad mit dem Begriffe des Anschließens oder Anlangens: παρεῖναι, παρέρχεσθαι, παρακαλεῖν, παραλαμβάνειν; teils die des praeter, neben: παρακαθῆσθαι, παριέναι, παραπλεῖν längs der Küste schiffen. Uneigentlich bezeichnet es auch Übertretung oder Verletzung von Verbindlichkeiten: παραβαίνειν z. B. νόμον, παρασπονδεῖν, παραπρεσβεύειν.

A. 16. Πρός bezeichnet teils die Bewegung nach einem Orte: hinzu, herzu: ad: προσιέναι, προσάγειν, προσκαλεῖν; teils ein Hinzufügen: zu, noch dazu: προστιθέναι, προσαποβάλλειν.

A. 17. Ἐπί heißt teils auf: ἐπιτιθέναι, ἐποικοδομεῖν; teils zu: gegen: ἐπέρχεσθαι, ἐπιστρατεύειν; teils nach, hinten, auch temporal: ἐπιτάττειν, ἐπιστάτης Hintermann (sonst auch Vorsteher), ἐπίγονος. Ein Hinzufügen bezeichnet es in ἐπίκτητος, ἐπιμετρεῖν u. a.

A. 18. Ὑπό heißt teils unter: ὑπόγειος, ὑποχείριος, ὑπόσπονδος; teils hat es den Begriff des Unvermerkten, Langsamen: ὑποχωρεῖν, ὑπάγειν.

A. 19. Nicht selten finden sich zwei, ja selbst drei Präpositionen in Kompositen: ἀντεπεξελαύνειν, ἐπεκδιηγεῖσθαι, προεξανίστασθαι; doch nicht in beliebiger Folge, z. B. ἀνεκ —. [Kr. De auth. praef. p. 1.]

A. 20. Bei zwei verbundenen Kompositen erscheint die beiden gemeinschaftliche Präposition zuweilen nur beim ersten: συμπονεῖν καὶ φέρειν für συμφέρειν. [Schäfer z. Dem. 1 p. 246.]

§ 69. Konjunktionen (*σύνδεσμοι*).

1. Konjunktionen (*σύνδεσμοι*) im engern Sinne sind Wörter, die einen Zusammenhang zwischen Begriffen oder Sätzen ausdrücken. Die Hauptarten sind

1) kopulative (*συμπλεκτικοί*): *καί, τέ.*
2) disjunktive (*διαζευκτικοί*): *ἤ* oder, *εἴτε, οὔτε, μήτε, οὐδέ, μηδέ.*
3) adversative (*ἐναντιωματικοί*): *ἀλλά, ἀτάρ, μέν, δέ, μέντοι, καίτοι, καίπερ, ὅμως, (αὖ).*
4) komparative (*συγκριτικοί*): *ἤ* als, *ὡς* wie und *ὥσπερ, (ὅπως).*
5) hypothetische (*ὑποθετικοί*): *εἰ, ἐάν, (ἤν, ἄν).*
6) temporale (*χρονικοί*): *ὅτε, ὁπότε, ὡς, ἐπεί, ἐπειδή, ἔστε, ἕως, ἄχρι, μέχρι, πρίν.*
7) finale (*τελικοί?*): *ἵνα, ὡς, ὅπως, μή.*
8) konsekutive (*συλλογιστικοί*): *ὡς, ὥστε, ἄρα, δή, τοίνυν, οὖν.*
9) kaussale (*αἰτιολογικοί*): *ἅτε, ὡς, ὅτι, διότι, ἐπεί, ἐπειδή, ὅτε, ὁπότε, γάρ.*

A. Über parataktische Verbindungen § 59, 2 mit den Anm.; über die verschiedenen Arten von Satzgefügen § 65.

2. Gewöhnlich rechnet man zu den Konjunktionen auch die Partikeln, welche die Realität positiv oder negativ bestimmen oder modificieren: *γέ, δή, τοί, δῆτα, δήπου, δήπουθεν, ἄν, εἴθε, μέν, ἦ; μά, νή, ναί,* wie die Fragewörter *ἆρα, ἦ, μή, μῶν, πότερον, πότερα,* auch indirekt neben *εἰ.*

3. Postpositiv sind außer den Enklitiken *γέ, πέρ, τέ, τοί,* noch das dynetische *ἄν, ἄρα, αὖ, γάρ, δαί, δέ, δή, δήπου, δήπουθεν, δῆτα, μέν, μέντοι, μήν, οὖν, τοίνυν.*

A. Über die Stellung vgl. § 68, 5. Das folgende Verzeichnis, hauptsächlich für das praktische Bedürfnis berechnet, führt die Konjunktionen in

alphabetischer Folge auf und fügt auch manche Adverbia hinzu, die syntaktisch wichtig sind.

4. *Ἀλλά* sondern, aber, doch, indessen. [Reg. z. Kr.'s Ausgaben.]

A. 1. Von ἄλλος stammend beseitigt es eben Ausgesprochenes (wohl auch nur Angedeutetes), um etwas Anderes einzuführen. So erscheint es besonders häufig nach einer Negation, die aber auch in einer Frage liegen kann. Über die Ergänzung eines οὐδείς aus ἕκαστος § 61, 4, 2. Οὐκ ἀνδρὸς ὅρκοι πίστις, ἀλλ' ὅρκων ἀνήρ. Αἰσ. ἀποσ. 276 (385). Τί δεῖ λέγειν περὶ τῶν παλαιῶν; ἀλλὰ τοὺς ἐφ' ἡμῶν αὐτῶν ἀναλογίσασθε. Δη. 26, 7. [z. Xe. An. 4, 6, 19 u. Schäfer z. Dem. 3 p. 464.] — Αἰσχρὰν γυναῖκ' ἔγημας, ἀλλὰ πλουσίαν. Φίλιππ. 29. — Ἀλγεινὰ Πρόκνη δῆλον, ἀλλ' ὅμως χρεὼν τὰ θεῖα θνητοὺς ὄντας εὐπετῶς φέρειν. Σο. ἀποσ. 521 (523). (Über ἀλλά sondern bloß z. Xe. An. 1, 4, 18.)

A. 2. Ἀλλ' οὐ, ἀλλὰ μή heißt nicht aber, und nicht (vielmehr) § 59, 1, 10, auch nach einer Frage mit οὐ; nach einer andern Frage wie nach ὡς und ὥσπερ ist es unser und nicht vielmehr, ac non, [z. Xe. An. 2, 1, 10]; ἀλλ' οὐδέ ja auch (selbst) nicht, nicht einmal. Οὐ τότε ἀντιλέγειν αὐτοὺς ἐχρῆν, ἀλλὰ μὴ νῦν ἐμὲ κρίνειν; Αἰ. 2, 161. — Τί τῶν τοιούτων ἔργων καλόν ἐστιν ἢ σεμνόν, ἀλλ' οὐκ αἰσχύνης ἄξιον; Ἰσ. 12, 213. Γίγνου πρὸς τοὺς πλησιάζοντας ὁμιλητικός, ἀλλὰ μὴ σεμνός. Ἰσ. 1, 30. Ὧν αὐτοὶ λαμβάνετε χάριν ἴστε, ὥσπερ ὑμεῖς τὰ τούτων μισθοφοροῦντες, ἀλλ' οὐ τούτων τὰ ὑμέτερα κλεπτόντων. Λυ. 27, 11. — Τὸν καὶ λόγῳ καὶ ἔργῳ πειρώμενον ἐμὲ ἀνιᾶν οὐκ δυναίμην οὔτ' εὖ λέγειν οὔτ' εὖ ποιεῖν, ἀλλ' οὐδὲ πειράσομαι. Ξε. ἀπ. 2, 3, 8.

A. 3. Nach οὐ (μή) μόνον steht für ἀλλὰ καί bloß ἀλλά, wenn der Gegensatz hervorzuheben ist. [Heindorf z. Plat. Prot. 28.] — Oft ist das bloße ἀλλά unser sondern nur. Ἱμάτιον ἠμφίεσαι οὐ μόνον φαῦλον, ἀλλὰ τὸ αὐτὸ θέρους τε καὶ χειμῶνος. Ξε. ἀπ. 1, 6, 2. — Οὐδένα ἄνθρωπον δεσπότην, ἀλλὰ τοὺς θεοὺς προσκυνεῖτε. Ξε. ἀν. 3, 2, 13. [Vgl. z. Xe. An. 1, 4, 18.]

A. 4. Eine Rede kann man mit ἀλλά anfangen, wenn sie der eines andern entgegensteht, wie Xen. An. 1, 7, 6. 2, 1, 4. 5, 16. Vgl. § 69, 16, 5. Für unser oder steht es in Reden, wenn man sich Fragen einwirft, bei der zweiten und den folgenden. [z. Xe. An. 2, 5, 18.] Τίνα καὶ ἀναβιβάσωμαι δεησόμενον ὑπὲρ ἐμαυτοῦ; τὸν πατέρα; ἀλλὰ τέθνηκεν· ἀλλὰ τοὺς ἀδελφούς; ἀλλ' οὐκ εἰσίν· ἀλλὰ τοὺς παῖδας; ἀλλ' οὔπω γεγένηνται. Ἀνδ. 1, 148.

